„Ἦος Τιθωνοῖο λέχος προλιπῶσα κροκόχρων.

Στίχ: 482. ΤΥΡΝΟΣ ΕΦ ΟΠΛΑ ΚΑΛΕΙ. ΑΥΤΟΣ Τ ΕΝΕΔΥΣΑΤΟ ΠΡΩΤΟΣ. Οὕτω καὶ Ἀγαμέμνων παρ' Ὁμήρῳ. Ἰλ: Λ στίχ. 15.
„Ἀτρείδης δ' ἐβόησεν, ἰδὲ ζώννυσθε ἄνωγεν
„Ἀργείους· ἐν δ' αὐτὸς ἐδύσατο νώροπα χαλκόν.

Στίχ: 483 ΧΑΛΚΟΦΟΡΟΥΣ Δ' ΕΙΛΑΣ Χαλκοφόρους, ὅτι τοῖς παλαιοῖς προτέρα τε μᾶλλον καὶ σωνήθης ἦν ἡ τῶ χαλκῶ χρῆσις ἐν ὅπλοις, ἤπερ ἡ τῶ σιδήρω, ὡς μαρτυρεῖ καὶ Ἡσίοδος ἐν Ἔργοις:
„Τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεος δέ τε οἶκος,
„Χαλκῷ τ' ἐργάζοντο, μέλας δ' οὐκ ἔσκε σίδηρος.
Καὶ Παυσανίας δ' ἐν τοις Λακωνικοῖς παράγεται ἱστορῶν, ὅτι, ἐπὶ τῶν Ἡ-
„ρώων, τὰ ὅπλα ὁμοίως χαλκᾶ ἦν πάντα. Ἀλλὰ περὶ τούτου Φείτιος πλείονα σωείρας παρέθετο, ἐν τοῖς περὶ τῶν καθ' Ὁμηρον Ἀρχαιοτήτων. Βιβλ: Δ Κεφαλ: Γ

Στίχ: 485. . . . . ΔΟΡΑΤΩΝ ΕΠΙ ΑΚΡΩΝ . . . . Οὐχ' ὡς θρίαμβον ἐκπομπεύοντες οἱ Ῥῶτολοι ἐπὶ δοράτων τὰς κεφαλὰς ἐπεδείκνυον τοῖς πολιορκουμένοις, πολλῷ γὰρ πλείους οἱ ἐξ ἐκείνω ἦσαν πεσόντες· ἀλλ' ἵνα τῇ θέᾳ τῶν οἰκείων, τούτοις τὸ φρόνημα καταξείλαντες, τλιῶ εὐψυχίαν κολὲ

Λάμψε δὲ τ' ἠέλιος, κνέφαὸς τ' ἀπελύετο πάντα,
Τύρνος ἐφ' ὅπλα κάλει, αὐτὸς τ' ἐνεδύσατο πρῶτος.
Χαλκοφόρυς δ' ἕιλας ὤτρωεν ἕκαστος ἑταίρων,
Σεύων ἐς χάρμιν, ὀργάς τε θρόοις ὑποθήγων.
Πρὸς δ' ἔτι καὶ δοράτων ἐπὶ ἄκρων (οἰκτρὸν ἰδέσθαι.)
Ἀυτὰ πεπηγυῖα ὕψι ἄραντες δοιὰ κάρηνα,
Νῖσα, Εὐρυάλυ θ' ὁμάδῳ πολλῷ προτιβαῖνον.
Ἄντιον δ' Αἰνεάδαι ταλακάρδιοι, ἐξ ἄρα λαιῶν
(Δεξιὸν ἦν γὰρ ὕδωρ,) εἰληδὸν παρταχθέντες,
Εὐρείας τάφρους, πύργοις τ' αἰπεῖς ἐπιέσαν
Σφόδρα κατηφιόωντες, ἐπεὶ ἅμα ὄψιας ὥρων
Τὰς σφὶν ἀριγνώτυς, λύθροις οἰκτροῖσι ῥεούσας.
Μεσφα φάτις πτερόεσσα ἐσέπτη χέτλιον Ἄξυ.
Ἀγγελίη τε φθᾶσα ἐνήχησ' ἅασι μητρὸς
Εὐρυάλυ· ὀξᾶ τῇ δ' ἄΐφνης ψύχθε ταλαίνῃ.
Ἔκπεσε δ' οἱ χειρῶν κερκὶς, καὶ νήμαθ' ὑφώσῃ,
Πτῆ δ' ἄρ δειλαίῃ ὀλολυγαῖς θηλυτέρῃσιν,
Ἐκτίλωσα κόμιω, ἀνὰ τείχεα, ἠδ' ἀνὰ ἕλας
Ἄϊξε πρώτη, ἀνδρῶν τ' ἀλογῶσα βελῶν τε.
Εἶτ' ὀλοφυρομενη ἀέρα κραυγαῖς ἀνεπίμπλα:
Τοῖον σ' Εὐρύαλ' ὦ τεκος, ἡμοῖς ὄμμασι λεύσσω,

❁ ❁ ❁

κολύσωσι. Καὶ προσφυῶς ὁ Κέρδης ἐνταῦθα τὸ Παρθυαίων στρατήγημα παρατίθησιν: οἱ τῶν Ποπλίυ κεφαλῶν (τῶ Κράσσυ παιδὸς) ὑπὲρ αἰχμῆς „ἀναπεπηγυῖαν ἐγγὺς προσελάσαντες ἀνέδειξαν . . . . τῦτο (γαρ) τὸ θέαμα Ῥωμαίων, ὑπὲρ ἅπαντα τ' ἄλλα δεινὰ, τὰς ψυχὰς κατέκλασε καὶ παρέλυσε. (Πλάτ: εἰς Βί. Μ. Κράσσυ.)

Στίχ: 496. ΕΚΠΕΣΕ Δ' ΟΙ ΧΕΙΡΩΝ ΚΕΡΚΙΣ . . . . Ὡσαύτως καὶ ἡ Ἕκτορος Ἀνδρομάχη ἀναιρεθέντος, ἐν ᾧ ἰσὸν ἴφαινε μυχῷ δόμυ ὑψηλοῖο: Ἰλ: Χ. στίχ. 447.

„Κωκυτῆ δ' ἦκεσε, καὶ εἰμωγῆς ἀπὸ πύργυ,
„Τῆς δ' ἐλελίχθη γυῖα, καμαὶ δὲ οἱ ἔκπεσε κερκὶς.

Στίχ: 497. ΠΤΗ Δ' ΑΡ ΔΕΙΔΙΗ κτ: Καὶ ἡ Ἀνδρομάχη: Αὐτ: στίχ. 460.

„. . . . . Μεγάροιο διέσσυτο μαινάδι ἴση
„Παλλομένη κραδίῃω . . . . . .

Ὅ δὴ καὶ πρότερον αὐτὴ πεποίηκει: Ἰλ. Ζ'. στίχ. 388.

„Ἡ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει
„Μαινομένῃ εἰκυῖα . . . . . .

Στίχ: 499. . . . . ΑΝΔΡΩΝ Τ' ΑΛΟΓΟΥΣΑ, ΒΕΛΩΝΤΕ Μήτ' αἰδεμένη ὡς θῆλυς ἀνδρῶν ὁμίλω συναναχρώννυθαι, μήτε πτήσσυσα. Εἰρήκει δὲ τὸ αὐτὸ καὶ Ὅμηρος περὶ Ἀνδρομάχης εἰπὼν Ἰλ: Χ: στίχ. 462.

„Λυτάρ ἐπὶ πύργον τε καὶ ἀνδρῶν ἶξεν ὅμιλον.

Στίχ: 500 ΕΙΤ' ΟΛΟΦΥΡΟΜΕΝΗ κτ: Οὐδὲν ὁ Ποιητὴς παρέλιπε, τῶν ὅσα εἰς πάθος οἷά τε κινῆσαι ἰῶ, ψυχὶω μητρὸς ἐπὶ τοιᾶδε τῇ περιστάσει ἀπολοφυρομένης, ἦλθε δὲ διὰ πάντων τεχνικώτατα Ἐγὼ γοῦν τὰ ὀκτωκαίδεκα ἔπη τὰ ἐφεξῆς, διελθεῖν εὐδέποτε ἔχον μὴ παθηνάμενος.

Στίχ 501 ΤΟΙΟΝ . . . . ΛΕΥΣΣΩ, Ἐκ τῆ παρ' ἐλπίδα συμβάντος, ὃ πρὸ ὀφθαλμῶν ἔχει, τὸ πάθος.

Affari extremum miſeræ data copia matri?
Heu, terrâ ignotâ, canibus data præda Latinis,
Alitibuſque jaces! nec te tua funera, mater
Produxi, preſſive oculos, aut vulnera lavi,
Veſte tegens: tibi quam noctes feſtina dieſque
Urgebam, & telâ curas ſolabar aniles.
Quò ſequar? aut quæ nunc artus, avulſaque membra,
Et funus lacerum tellus habet? hoc mihi de te,
Nate, refers? hoc ſum terrâque, marique ſequuta?
Figite me, ſi qua eſt pietas; in me omnia tela
Conjicite, ô Rutuli: me primam abſumite ferro.
Aut tu, magne pater Divûm, miſerere, tuoque
Inviſum hoc detrude caput ſub Tartara telo:
Quando aliter nequeo crudelem abrumpere vitam.
Hoc fletu concuſſi animi, mœſtuſque per omnes
It gemitus: torpent infractæ ad prælia vires.
Illam incendentem luctus Idæus, & Actor,
Ilioneï monitu; & multum lacrymantis Jüli,
Corripiunt, interque manus ſub tecta reponunt.
At tuba terribilem ſonitum procul ære canoro
Increpuit: ſequitur clamor, cœlumque remugit.
Accelerant actâ pariter teſtudine Volſci,
Et foſſas implere parant, ac vellere vallum.
Quærunt pars aditum, & ſcalis aſcendere muros,
Quà rara eſt acies, interluceteque corona
Non tam ſpiſſa viris. Telorum effundere contra

Omne

❁ ❁ ❁

Στίχ: 502. . . . . ΠΑΡΜΥ'ΘΙΟΝ 'ΟΨΙΟΝ . . . . Ἐκ τῦ ἀπ' ἐλπίδος ἦν γὰρ ὁ ἰὸς αὐτῃ, τὸ μόνον καὶ ἔχατον, ὧν ἄν ἐπὶ γῆς ἀγαθῶν ἀπολαίσειε, ὡς μηδὲν ἐξῆς ἕτερον ἐπελπίζειν παρὸν εἰς παραμυθίαν.

Στίχ: 503 'ΕΣΧΕΣ . . . . ΝΗΛΗ'Σ . . . . Καταφορικῶς, δι' ἐπιπλήξεως ἀσεργίαν οἷον κατηγορεῖ τῦ ἰέος, ὡς εἰ δεινότερα ἦν, ἂν αὐτὸς πεπόνθει, ἄττα αὐτῷ ἐδρασεν.

Στιχ. 505 ΛΟΙ'ΣΘΙ' 'ΕΠΙΦΘΕΊΞΑΣΘΑΙ . . . . Καὶ ὧν ἀδὲν ἂν ἦν ὄνειαρ ἀποδύρεται 'Ομικα τα Ανδρομάχης ἐφ' 'Εκτορι: Ἰλ: Ω. στίχ. 743.

„Οὐ γάρ τοι θηήσκων λεχέων ἐκ χεῖρας ὀρέξας,
„Οὐδέ τι μοι εἶπες πυκινὸν ἔπος, ἔτε κεν αἰεὶ
„Μεμνήμην νύκτας τε καὶ ἤματα δακρυχέουσα.

Στίχ: 506. . . . . ΚΥ'ΝΕΣΣΙ ΛΑΤΙ'ΝΟΙΣ
507 . . . . 'ΟΙΩΝΟΊΣΙ Θ 'ΕΛΩΡ. . . . . Συχνὴ παρ' 'Ομήρῳ ἡ χρῆσις: Καὶ γὰρ Ἰλ: Α στίχ. 4

„ . . . . . Αὐτὰρ δ' ἔλωρια τεῦχε κυσὶν

„Οἰωνοῖσί τε πᾶσι . . . . . .

Καὶ Ἰλ: Ν. στίχ. 831.

„ . . . . . Ἀτὰρ Τρώων κορέσεις κυνας, ἠδ' οἰωνούς.

Καὶ Ἰλ: Ρ. στίχ. 241

„Ὅς κε τάχα Τρώων κορέσεις κυνας, ἠδ' οἰωνούς.

Καὶ Ἰλ: Σ στίχ 271.

„ . . . . . Πολλοὺς δὲ κυνες, καὶ γύπες ἔδονται.

Καὶ Αὐτ στίχ. 253.

„ . . . . . Πρὶν μὲν κυνες ἀργοὶ ἔδονται.

Στίχ:

Ὅς τὲμὲ γήρως παρμύθιον ὄψιον ἔσκες;
Ἔχες καλλιπέμεν μέν'ιω, νηλὴς, με ἐρήμιω;
Οὐδ' ἄρα παρβάλλοντ' ἀκμὶὼ κινδώνε ἐπ' ἄκρε,
Λοίθὶ ἐπιφθέγξαθαι ἔἶω οἰκτρῶς σε τεκόσῃ;
Οἴμοι! ἐπ' ἀγνώτῳ γαίῃ σὺ κώεσσι Λατίνοις
Κάσεαι, οἰωνοῖσι θ' ἕλωρ, ὐδ' ἡ σὴ Μήτηρ
Κήδευσ', ἣ πίεσ' ὄσσε τεὼ, ἣ Τρώματα λῦσα,
Φάρεϊ ἠὲ κάλυψα, τὸ 'γώ τοι νύκτα καὶ ἦμαρ
Σπεῦδον, μείλισσόν τε ὑφῇ λυγρὰ κήδεα γήρως.
Πᾷ βῶ; νωῖ δ' ἄναπας ἄρα τίς ποτε γαῖα σὰ γυῖα,
Καὶ δέμας ἀμφίδρυπτον ἔχει; τόδ' ἐμοὶ γ' ἀπὸ σεῖο
Τέκνον ἐνεῖκας; τῷ ῥ' ἑπόμιω διὰ γῆς, διὰ πόντε;
Τιὼ δ' ἐμὲ ὑπᾶτ', αἶκε τις οἶκτος ἐμὲ κατὰ πάντες
Ἰθὺ

❀ ❀ ❀

Στίχ: 508 ΚΗΔΕΥΣ', Ἦ ΠΙΕΣ' ὌΣΣΕ. . . . . Τὸ γὰρ τῷ θνήσκοντος ἁβλέφαρα καθαιρεῖν, καὶ τ' ἄλλα τῆς κηδείας ἐπιμελεῖσθαι, τοῖς οἰκειοτάτοις καθῆκον μάλιστα ἐνομίζετο, ἥ τε τῆς ἐπιμελείας ταύτης ἀπότευξις, εἰς συμφορὰν τιὶὼ ἐχάτιω ἐτίθετο τοῖς ἀκηδεύτως ἀποιχομένοις. Διὸ καὶ ἐν ταῖς συχαδὸν μάχαις, τῦτο τοῖς ἀντιπαριζαμένοις εἰώθεσαν ἀπειλεῖν, ὥσπερ Ὀδυσσεὺς Σώκω τῷ Ἱππασίδη. Ἰλ: Λ. στίχ. 452.

„Ἆ δειλ', ἦ μέν σοί γε πατὴρ καὶ πότνια μήτηρ
„Ὄσσε καθαιρήσεσι θανόντι περ, ἀλλ' οἰωνοί
„Ὠμησαι σ' ἐρύσσασι, περὶ πτερὰ πυκνὰ βαλόντες.

Ταύτῃ τοι καὶ Ἀγαμέμνων ἐν Ἅιδε ποτνιώμενος κατα τῆς ὁμολέκτρε εἰσάγεται: Ὀδ. Λ. στίχ. 423

„. . . . . Ἡ δὲ κιωῶπις
„Νοσφίσατ', ὐδέ μοι ἔτλη, ἰόντι περ εἰς Ἄϊδαο
„Χερσὶ κατ' ὀφθαλμὲς ἑλέειν, σιὼ τε στόμ' ἐρεῖσαι.

Καὶ Λαέρτης δὲ τὸν ὑὸν, ὡς τῦτε μηδαμῶς τυχόντα οἰκτείρει: Ὀδυσ. Ω. στίχ. 291.

„. . . . . Οὐδὲ ἑ μήτηρ
„Κλαῦσε περισείλασα πατὴρ θ', οἳ μὶν τεκέμεθα'
„Οὐδ' ἄλοχος πολίδωρος ἐχέφρων Πιωελόπεια
„Κώκυσ' ἐν λεχέεσσι φίλον πόσιν, ὡς ἐπέοικεν,
„Ὀφθαλμὲς καθελεῖσα· τὸ γὰρ γέρας ἐστὶ θανόντων.

Στίχ: 509. ΦΑΡΕΙ' ΗΕ' ΚΑΛΥΨΑ, ΤΟ' ΓΩ ΝΥΚΤΑ ΚΑΙ' ΗΜΑΡ Οὕτω καὶ Ἀνδρομάχη πενθῆσα τὸν αὐτῆς Ἕκτορα, ὡς γυμνὸν δῆθει κειτόμενον: Ἰλ: Χ. στίχ. 510.

„. . . . . Ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροισι κέοντα.
„Λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.
„Ἀλλ' ἤ τοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ,
„Οὐδὲν σοὶ γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς

Ἡ δὲ Πιλελόπη καὶ τῆ Ἐκυρῆ ἔτι προμηθεμένη καὶ πρὸ τελευτῆς: Ὀδυσ. Β. στίχ: 97:

„. . . . . Εἰς ὅκε φάρος (ἔλεγε)
„Ἐκτελέσω . . . . . .
„Λαέρτῃ Ἥρωϊ ταφήϊον. . . . . .

Στίχ: 511. . . . . ΤΙΣ ΠΟΤΕ ΓΑΙΑ ΣΑ' ΓΥΙΑ, Καὶ δεύτερον ἐπαναπεμπάζεται ὅπερ ἤδη ἔφθη εἰπῆσα: στίχ 506. 507. ψυχῆς γὰρ ἴδιον καθ' ὑπερβολιὼ ἀχαλέσης, τὰ αὐτὰ πολλάκις ἐπανείρειν.

Στίχ: 512. . . . . ΤΟΔ' ΕΜΟΙ Γ' ΑΠΟ' ΣΕΙΟ. Ἐκ τῆ παῤ ἐλπίδα αὖθις, ὡς ἀνωτ: στίχ. 501.

Στίχ: 514.—518. . . . . ΤΗΝ Δ' ΕΜΕ' ΟΥΤΑΤ' κτ: Ὑπὸ τῆς τῆ πάθες σφοδρότητος περαιτέρω τὸ ζιῶ ἀπολεγομένη, τὸ παρὰ τῶν πολεμίων κταν-

Omne genus Teucri, ac duris detrudere contis,
Aſſueti longo muros defendere bello.
Saxa quoque infeſto volvebant pondere, ſi quà
Poſſent tectam aciem perrumpere: cum tamen omnes
Ferre libet ſubter denſâ teſtudine caſus.
Nec jam ſufficiunt: nam quà globus imminet ingens,
Immanem Teucri molem volvuntque, ruuntque;
Quæ ſtravit Rutulos late, armorumque reſolvit
Tegmina. Nec curant cæco contendere Marte
Amplius audaces Rutuli; ſed pellere vallo
Miſſilibus certant.
Parte alâ horrendus viſu quaſſabat Etruſcam
Pinum, & fumiferos infert Mezentius ignes.
At Meſſapus equûm domitor, Neptunia proles,
Reſcindit vallum, & ſcalas in mœnia poſcit.
Vos, ô Calliope, precor, aſpirate canenti;
Quas ibi tum ferro ſtrages, quæ funera Turnus
Edid.rit; quem quiſque virûm demiserit Orco:
Et mecum ingentes oras evolvite belli
Et meminiſtis, enim, Divæ, & memorare poteſtis.
Turris erat vaſto ſuſpectu, & pontibus altis,

Oppor-

❀ ❀ ❀

κταν θιῶαι ὡς χάριν αὐτεῖται, ἢ παρὰ τῦ Διὸς ἐκταρταρωθιῶαι, ὡς ἔλεγν. Πολλὼ δὲ τλὼ ἔμφασιν ἔχει, ἐπὶ μὲν τῦ στίχ. 515 προσεθὲν τὸ (πρώτλω) ἐπὶ δὲ τῦ 517. τὸ (συγγερὸν κάρη) Διὰ μὲν γαρ ἐκείνου δηλῦται, ὅτι τὰ τῶν Τρώων ἤδη ἐξεργάσθαι δοκῦντα, καὶ πέρας ἔχειν, τῦ ὑέος αὐτῦ εἰκτρῶς ἅτω πεπτωκότος, ἑαυτῦ πρώτη, τετέσι προ τῶν ἄλλων ἁπάντων, αἰρεῖται τὸν ὄλεθρον· διὰ δὲ τῦ δευτέρυ δυσμενεύειν πως καθ' ἑαυτῆς ποτνιᾶται τὸν Ζῆα, καὶ τοι τοῖς ἄλλοις ἐυνοῦντα, καὶ μέγα ἄριστον πατέρα τυγχάνοντα Σημειώδης δ' ἐνταῦθα. καὶ ἡ τῦ (ἐλέαιρε) πρὸς τὸ (ὑπὸ τάρταρα νέρτατ' ἀπώσαις) ἀντίθεσις· βαρυτέρα γαρ τῇ γυναικὶ τίθεται ἡ ἐισκήψασα συμφορὰ καὶ αὐτῆς τῆς ἐκταρταρώσεως.

Στίχ: 52. . . . . ΑΓΗΜΑΤΙ ΤΩΙ ΡΑ' ΧΕΛΩΝΗΣ Τὰ περὶ τῆς ἐν πολιορκήσεσι κατὰ σωματισμὸν σχηματιζομένης χελώνης, καὶ εἰδῶν τῶν αὐτῆς, καὶ χρήσεων, ὅρα ἐν Β. τῆς Αἰν. στίχ. 470.

Στίχ: 530. ΤΕΙΧΕΑ Τ' ΑΜΒΑΙΝΕΙΝ κτ: Ὥσπερ καὶ Τρῶες ἐκεῖ: Ἰλ: Μ. στίχ. 443.

„Ἴθυσαν δ' ἐπὶ τεῖχος ἀολλέες· οἱ μὲν ἔπειτα
„Κρασσάων ἐπέβαι ον, ἀκαχμένα δόρατ' ἔχοντες.

Στίχ: 532. . . . . ΕΠΙΧΕΥΝΤΕΣ. Τλὼ πυκνότητα τῶν ἀπὸ τῦ τείχυς ἐπαφιεμένων βελῶν, σημαίνει διὰ τῆς ἐπιχύσεως. Συνήθης δ' ἡ μεταφορὰ Ὁμήρῳ. Ἰλ: Ε. στίχ. 618. Οἷον κατὰ Αἴαντος ἐπιδραμόντος τὰ Ἀμφὶς τεύχη συλήσαι·

„. . . . . Τρῶες δ' ἐπὶ δόρατ' ἔχευαν
„Ὀξέα παμφαίνοντα· σάκος δ' ἀνεδέξατο πάλλα.

Καὶ Ἰλιὰς Μ. στίχ 156, κτ:

„. . . . Νιφάδες δ' ὡς πίπτον ἔραζε,
„Ἅς τ' ἄνεμος ζαὴς, νέφεα σκιόεντα δονήσας,
„Ταρφειας κατέχευεν ἐπὶ χθονὶ πολυβοτείρῃ·
„Ὡς τῶν ἐκ χειρῶν βέλε' ἔρρεον, ἠμὲν Ἀχαιῶν,
„Ἠδὲ καὶ ἐκ Τρώων . . . . . .

Στίχ:

Ἰθὺ τιτύσκεθ', ὦ Ῥοτόλοι· τιὼ κτείνατε πρώτιω.
Ἦ σὺ, Θεῶν μέγ' ἄριστε πάτερ, σύμε νιῶ ἐλεαιρε,
Καὶ ϛυγερὸν τὸ κάρη ὑπὸ τάρταρα νέρτατ' ἀπώσαις,
Ὁππότε ἠκ ἄλλως αἰνὸν βίον ἔξ' ἀποριῆξαϛ.
Ψυχαὶ τοῖς δε γόοισι δόνηθεν, ἀτὰρ διὰ πάντων,
Πένθος ἐχώρει· ἅπας θραυσθεὶς δ' ἐπὶ δῆριν ἐνάρκει.
Τιὼ δ' ὀλοφυρομένιω, ὑπὸ τ' ἐξάπτησαν θριώης
Ἄκτωρ τ, Ἰδαῖος τε ἐφετμῇσ' Ἰλιονῆος,
Πολλά τε καὶ αὐτὸ καταδακρυχέοντος Ἰάλε,
Χερσὶν ἀειραμένω φοράδιω ὑπὸ δώμασι θέντο.
Ἀμφὶ δὲ χαλκείη δεινόντι ἐπήχεε σάλπιγξ·
Ὦρτο δὲ δὴ ὅμαδος, βράχε δ' ἀντίον ἠρανὸς εὐρύς·
Σπεῦδον ὁμῶς δ' Οὐόλσκοι, ἀγήματι τῷ ῥὰ χελώνης
Τάφρης πιμπλᾶν, πᾶν δέ τε ἔρκατον ἐμμεμαῶτες·
Οἱ δ' εὑρεῖν πάροδον δίζον, καὶ κλίμακας ἆρσαν,
Τείχεά τ' ἀμβαίνειν λόχος ἦχι μανώτερος ἔσκε,
Κρόσσαϛ τ' ἐνδιαχαῖνον, ἐπεὶ ϛίχες ὄτι θαμειαὶ.
Τοῖς δὲ βελῶν Τεῦκροι παντοῖα γένη ἐπιχεῦντες,
Ἶφι ἀνερομένως ταναοῖς κοντοῖς ἀποσεῦον,
Ἠθάδες ἐν πολέμῳ δηρὸν δὴ τείχεσ' ἀμυνειν.
Πρὸς δ' ἐπὶ καὶ βριθει μάλ' ἀναιδεὶς λᾶας ἐκυλίνδων,
Αἰκὲν πως χοΐεν διαρῆξαϛ ὑπόσεγον ἔλιω.

❁ ❁ ❁

Στίχ: 533. . . . . ΤΑΝΑΟΙΣ ΚΟΝΤΟΙΣ ΑΠΠΟΣΕΥΟΝ Σεσημείωται Εὐσταθίῳ, ὅτι κοντὸν, ὅπλον οἷδε ναυτικὸν Ὅμηρος, ἐμοὶ πολεμικὸν· τοιοῦτον δὲ ὅπου ὑπῆρχεν, ὅπερ ἐχρήσατο Ὀδυσσεὺς πετροβολοῦντος κατὰ τῶν νηῶν τὸ Κύκλωπος. Καὶ γάρτοι (I. Ὀδυσ ϛίχ. 487.)

„ —— Χείρεσσι λαβὼν περιμήκεα κοντὸν,
„Ὦσε παρὲξ. . . . . .

Ἀλλ' ὁ Μάρων ἀντὶ τοῦ πολεμικοῦ ἐξείληφεν ὧδε, ἤτοι τοῦ δόρατος, ὃ καὶ ἄκων, ἢ ἄκαϛ λέγεται, καὶ ἀκόντιον· τῷ γοῦν ἀκοντι καὶ Ὅμηρος κέχρηται ὡς πολεμικῷ· Ὀδ. Ξ ϛίχ. 531.

„Εἵλετο δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν.

Ἡ δ' ὕϛερον χρῆσις καὶ πολεμικὸν κοντὸν ἔγνω, καὶ τοῦτον διττὸν (ὡς Στράβ. ἐν Γ. τῶν Γεωγρ. φησὶν.) ὃν τε πόρρωθεν ὁ ὁπλίτης ἀφίησι, καὶ „ᾧ χρῆται σαδίας. Κοντὸς γὰρ ἀμφοτέρας τὰς χρείας ἀποδίδωσι, καὶ „γὰρ συσάδην χρώμεθα, καὶ κοντοβολοῦντες.

Στίχ: 534. . . . . ΕΝ ΠΟΛΕΜΩι . . . . Τῷ Τρωϊκῷ δηλονότι εἰς δεκαετίαν αὐτοῖς παρατεινάντι.

Στίχ: 535. . . . . ΛΑΣ ΕΚΤΑΙΝΔΩΝ. Ὁμοίως καὶ Ἀχαιοὶ μὲν κατὰ Τρώων παῤ Ὅμ: Ἰλ: Μ. ϛίχ. 154

„ . . . . . Εὐδμήτων ἀπὸ πύργων
„Βάλλον ἀμυνόμενοι σφῶν τ' αὐτῶν, καὶ κλισιάων,
„Νηῶν τ' ὠκυπόρων . . . . . .

Καὶ Τρῶες κατὰ Ἀχαιῶν, παρὰ τῷ Καλαβρῷ, Παραλειπ. ΙΑ'. ϛίχ. 367.

„ . . . . . Καθύπερθε δὲ Τρῶιοι ἶες
„Βάλλον χερμαδίοισι τὰ δ' ὡς ϛυφελὴς ἀπὸ πέτρης
Ἴαινεν ἐπὶ τραφερὴν ἐκυλίνδετο.

Στίχ: 536. . . . . ΥΠΟΣΤΕΓΟΝ ΕΙΛΗΝ. Τιὼ ἐν χήματι χελώνης διὰ τὸ συνασπισμὸν, Ἀνωτ: ϛίχ. 527.

Στίχ:

Opportuna loco: ſummis quam viribus
Expugnare Itali, ſummâque evertere opum vi
Certabant: Troës contra defendere ſaxis,
Perque cavas denſi tela intorquere feneſtras.
Princeps ardentem conjecit lampada Turnus,
Et flammam affixit lateri; quæ plurima vento
Corripuit tabulas, & poſtibus hæſit adeſis.
Turbati trepidare intus, fruſtra que malorum
Velle fugam. Dum ſe glomerant, retroque reſidunt
In partem, quæ peſte caret; tum pondere turris
Procubuit ſubito, & cœlum tonat omne fragore.
Semineces ad terram, immani mole ſequutâ,
Confixique ſuis telis, & pectora duro
Transfoſſi ligno veniunt: vix unus Helenor
Et Lycus elapſi; quorum primævus Helenor,
Mæonia regi quem ſerva Lycimnia furtim
Suſtulerat, vetitique ad Trojam miſerat armis;
Enſe levis nudo, parmâque inglorius albâ.
Iſque, ubi ſe Turni media inter millia vidit,
Hinc acies, atque hinc acies aſtare Latinas:
Ut fera, quæ denſâ venantum ſepta coronâ

Contra

❀ ❀ ❀

Στίχ: 540. Ὃς Ῥοτόλους τ' ἔστρωσε, Ὡσαύτως καὶ ὁ ἀπὸ τῶν Περιάμου Ἀνακτόρων, ὑπὸ Τεύκρων τοῖς ἐφορμήσασι Δαναοῖς ἐπαφεθείς, Β. Αἰν. στίχ. 599.

..Σιὼ δ' ἅπω μεγάλω δὲ, μέγας κατὰ ἤριπε πίργος
„Καδδὲ πεσων ἀθρόας κατὰ ἤλοιπσε φάλαγγας.

Στίχ: 541 . . . . ΤΥΦΛΟΝ ΚΑΤΑ' ΑΡΕΑ. . . . . Τυφλὸν ἀποκαλεῖ, ὃν ἐπολέμων οἱ Ῥοτόλοι ταῖς ἀσπίσι σκεπόμενοι πόλεμον.

Στίχ: 544 . . . . ΜΕΖΕΝΤΙΟΣ . . . . Περὶ ὃ Αἰν. Ζ στίχ 696. Τυρρίλωῦ δὲ Τύρανος ὤν, Τυρρηνίλω καὶ τίλω πίτιω ἐπισείων εἰσάγεται.

Στίχ: 546. ΜΕΣΣΑΠΟΣ . . . . Περὶ τέτε Ζ Αἰν: στίχ. 740

Στιχ: 548 — 552. Ὕμμες ΚΑΛΛΙΟΠΕΙΑ κτ: Ἐπικαλεῖται καὶνταῦθα τὰς Μέσας ὁ Ποιητὴς, ὡς καὶ ἐν Ζ. Αἰν: στίχ. 688 Ὁμήρῳ παρακολεθῶν, Ἰλ: Α. στίχ. 484

„Ἔσπετε νῦν μοι Μῶσαι, ὀλύμπια δώματ' ἔχεσαι,
„Ὑμεῖς γὰρ Θεαὶ ἐστὲ, πάρεστέ τε ἴστε τε πάντα.

Καὶ Ἰλ: Ξ στίχ 508.

„Ἔσπετε νῦν μοι Μῶσαι κτ:
„Ὃς τις δὴ πρῶτος βρῶτέντ' ἀνδράγρι Ἀχαιῶν
„Ἦεατ' . . . . . .

Ὅτι δ' ὑφ' ἑνὶ τῷ τῆς μιᾶς Καλλιόπης ὀνόματι, ἐπὶ πάσας ἁπλῶς τὰς Μέσας ἰθυίει τίλι ἱκεσίαν. (Ὕμμες Καλλιόπεια . . . . πνεῖτε) ὁ μὲν κατὰ χῆμα συλλήψεως τὸ ἔτω ῥηθὲν ἐξεδέξαντο, διὰ τῆς τῦ Ἡσιώδε μέτρε Εὐρέτιδος Καλλιοπείας. καὶ τὰς λοιπὰς γὰρ Φασὶ συνεπινεῦθαι ᾠδαῖς ἠξίωσεν. ὡς δὲ ἅμα παρέσας ἔθεν καὶ Μῶσαι προσείρωται ὡς ὁμῦ ἔσαι· οἱ δὲ καὶ ἄλλως. τίλι τοιάν δε ἀπὸ ἀριθμῦ εἰς ἀριθμὸν μετάπτωσιν τῆς συντάξεως, συνίθη ἐνιοτε εἶναι Φωνῇ τῇ Ἑλλάδι Φασὶ, καὶ τῦ τρόπε δείγματα προχειρίζονται ἐξ ἄλλων τε δὴ, καὶ ἐξ αὐτῦ Ὁμήρε, παρ' ᾧ Ἰλ Ρ στίχ 385 Δαναῶν τε καὶ Τρώων περὶ τὸν Πατρόκλε, ἤδη κειμένε, νεκρὸν διαμαχομένων,

„ . . . . καμάτῳ τε καὶ ἱδρῶ νωλεμὲς αἰεὶ

Γένα-

Οἱ δ' ὁτιῦν τλᾷν καὶπερ ἑτοῖμοι, νέρθεν χελώνης,
Ἄρκιοι ἠν ἔσαν· ἔνθα γὰρ ἄλης πίλνατο τάρφος,
Προπροκυλινδῦντες Τεῦκροι μέγαν ὄγκον ἀφῆκαν,
Ὅς Ῥοτόλης τ' ἔρρωσε, τέγος τε κεδάσσατο ὅπλων.
Οὐκέτι δ' ἄρ Ῥοτόλοι τυφλὸν κατὰ ἄρεα τόλμων,
Ὡς πρὶν δηριάαν· χρῆθαγ γ' ἐξῆς δ' ἐπιέγνων
Τεύχεσι τηλεβόλοις, καὶ Τεύκρης ἕρκεος ἔλσαγ.
Ἔκπαγλος δ' ἐσιδεῖν Μεζέντιος ἄλοθεν ἴξας,
Τυρρίωιὼ ἐπέσευε πίτνω, καὶ πῦρ προτιῆγε.
Μέσσαπος Ἱππόδαμος δέγε, Ποσσειδήϊον ἔρνος,
Θριγκὸν ἀναρρήξας, ἐπὶ τείχεσι κλίμακας ἧπτει.
Ὦτμες Καλλιόπεια, ἀοιδῷ λίσσομαγ πνεῖτε,
Τὰς ἄρ Τύρνος ἐκεῖσε κατακτάνε τόφρα σιδήρῳ·
Ἀνδρῶν θ' ὅς τις δ' ὄντινα εἰς Ἀΐδω προΐαψε·
Ξωύ τε δ' ἐμοὶ πολέμω μακρὰς ἀνελίξατε ὦας.
Ὦτμες γὰρ μέμνηθέ τε, καὶ μνῆσαγ τὲ δυάσθε.
Ἦν πύργος μεγέθει ἐπιόψιος ὑψερεφής τε
Ἐιν ἐπικαίρῳ, ὅνπερ ἀολλέες Ἰταλιῶταγ,
Ἧΐ σφίσιν ἰῷ οἷον τε διεκπέρσαι μενέαινον,
Τρῶες δ' ἀντιβίῳ ἐρίδαινον κάρτ' ἐπαμυέειν,
Ἐκ κοίλων θυρίδων ταρφειὰ βέλη ἀφιέντες.
Τῷ Τύρνος πυρόεντα ἐλὼν δαλὸν προτιρίψεν,
Ἧψε δὲ πῦρ πλευρῇ πύργω, τὸ, βίῃ ἀνέμοιο,
Ἰκρία μὲν μάρπτεν, νέμετο ϛαθμὸς δ' ἀναλίσκον.
Οἱ δ' ἐλέλιχθεν ἔσω θραχθέντες, μάψ δ' ἐπὶ φύζαν
Τρέφθεν· ἐπεὶ δ' οἰῷ ἄψ πειρηδὸν ὄρθαν ἅπαντες,
Ἔνθ' ἀ πῦρ παρέιω, πύργος πολλᾷ ὑπὸ βρίθος
Ἤριπε καὶ πατάγῳ ὅλος ἀρανὸς ἐσμαράγησεν,
Αὐτοὶ δ' ἡμιθανῆες ὑπαὶ ῥ' ἀνύπόϛατον ὄγκον,
Κέατο ἀτάμενοι βελέεσσί γε οἱ μὲν ἔοῖσιν,
Οἱ δὲ πεπαρμένοι ἐν τρηχύσσι ϛήθεα δόροις·

Εἷς

❋ ❋ ❋

„Γένατά τε, κνῆμαι τε, πόδες θ' ὑπένερθεν ἑκάϛε,
„Χεῖρες τ', ὀφθαλμοί τε, παλάσσετο μαρναμένοιϊν. (ἢ σιν.)

Καὶ Ὀδυσ: Μ. στίχ. 82.

„Νῆα παρὰ γλαφυρὴν ἰθυίετε, φαίδιμ' Ὀδυσσεῦ.

Στίχ: 558. . . . . ΠΥΡΟΈΝΤΑ . . . . ΔΑΛΟ'Ν . . . . Ardentem Lampada: (Λαμπάδα καιομένην, φλογόεσσαν.) Εἰκὸς γεμὴν, μὴ ἁπλῶς τὸν πυρίφλεκτον δαλὸν, ἢ τὴν λαμπάδα ὧδε σημαίνεθαι· ἀλλὰ σκεῦός τι πίσσης πλῆρες, καὶ θείε, καὶ ὑλῶν τοιούτων, ὃ πῦρ ἐναπτοντες κατηκόντιζον κατὰ τῶν ξυλίνων πυργωμάτων πόρρωθεν τὸν ἐμπρησμὸν ἐπιφέροντες. Σωλιὼ τις ἦν (φησὶν ὁ Des-Fontaines) σιδηρᾶς, προμήκης, ἔτοι μάλα βαρὺς, ἔσωθεν μὲν θείε τε ἔμπλεως καὶ ἀσφάλτε, ἔξωθεν δὲ πίσσῃ τε καὶ ῥητίνῃ ἐπίχρισος, ἀκίσι τε πυκαζόμενος καὶ ἀρπεδόναις, ὡς ἂν, οἷς ἐπισκήψας προσεμπλακείη, ἰσχυρῶς ἐνέχοιτο καὶ δυσαποπάτως.

Στίχ. 561. . . . . ΜΑ'Ψ Δ' ἘΠΙ' ΦΥ'ΖΑΝ, Μάτιω· τὸ γὰρ πῦρ φεύγοντες, ὑπὸ τῷ κατηριπότι διεφθάρησαν πύργῳ, τῶν δύο μόγις διεκσωθέντων, ὡς ἑξῆς δηλῶται. στίχ. 568.

Contra tela furit, ſeſeque haud neſcia mortis
Injicit, & ſaltu ſupra venabula fertur:
Haud aliter juvenis medios moriturus in hoſtes
Irruit, & quâ tela videt denſiſſima, tendit.
At pedibus longe melior Lycus, inter & hoſtes,
Inter & arma, fugâ muros tenet; altaque certat
Prendere tecta manu, ſociûmque attingere dextras.
Quem Turnus pariter curſu teloque ſequutus,
Increpat his victor: Noſtraſne evadere, demens
Speraſti te poſſe manus? ſimul arripit ipſum
Pendentem, & magna muri cum parte revellit:
Qualis ubi aut leporem, aut candenti corpore cygnum
Suſtulit alta petens pedibus Jovis armiger uncis;
Quæſitum aut matri multis balatibus agnum
Martius à ſtabulis rapuit lupus. Undique clamor
Tollitur: invadunt, & foſſas aggere complent.
Ardentes tædas alii ad faſtigia jactant.
Ilioneus ſaxo, atque ingenti fragmine montis,
Lucetium portæ ſubeuntem, igneſque ferentem;
Emathiona Liger, Chorinæum ſternit Aſylas:
(*Hic jaculo bonus, hic longe fallente ſagittâ*)
Ortygium Cæneus, victorem Cænea Turnus;
Turnus Itym, Cloniumque, Dioxippum, Promulumque,
Et Sagarim, & ſummis ſtantem pro turribus Idam:
Privernum Capys: hunc primo levis haſta Themillæ
Strinxerat: ille manum projecto tegmine demens.

Ad

❁ ❁ ❁

Στίχ: 569. ΠΡΕΣΒΥΤΕΡΟΣ . . . . ΤΟΝ ΜΗΙΩΝΙ κτ· Οὐκᾶν ἀδελφὼ ἦσιν· καὶ τέτων ὁ μὲν γνήσιος, ὁ Λύκος, ὁ δὲ Σκότιος ὁ Ελιώνε, καὶ δᾶλος ὁ αὐτὸς, καὶ προγενέτερος, ὡς ἐκ δαλίδος τῆς Λικυμνίας τῷ Μήονι πρὸ τῶν νομίμων γάμων λάθρα καὶ τεχθεὶς καὶ ἀνατραφεὶς, διὸ καὶ ἀθεμίτοις ὅπλοις τρατεύσας, ὡς μὴ ἐξὸν, εἰμὴ τοῖς ἐλευθέροις, ἐν καταλόγοις τοῖς τρατιωτικοῖς ἀναγράφεθαι. Οὗτος οὖν ὑπὸ τῆς τενέτης ἦν πεμφθεὶς ἐπὶ Τρολας, ἐλαφρὸς τὶν ὅπλοιν, ξίφος μόνον φέρων καὶ πελτάριον, ἐφ' ᾧ παράσημον ἐδὲν ἐπεγέγραπτο, δεῖγμα προλαβέσης ἀριτείας ἔτ' ἰδίας, ὡς ἀρτίως τρατεύσας ἔτε προγονικῆς, ὡς διὰ τὶν νοθείαν μηδ' εἰπεῖν ἔχων ἐξ ὧν ἐγένετο.

Στίχ. 575. ΗΥ ΤΕ ΦΗΡ ΠΟΛΛΟΙΣ κτ: Τοιαῦτα καὶ Ὅμηρος περὶ Ἕκτορος Ἰλ: Μ. στίχ. 41.

„Ὡς δ' ὅταν ἔν τε κυέσσι καὶ ἀνδράσι θηρευτῆσι
„Κάπριος, ἠὲ λέων τρέφεται, θένει βλεμεαίνων,
„Οἱ δέ τε πυργηδὸν τφέας αὐτὲς ἀρτιάαντες
„Ἀντίοι ἵτανται, καὶ ἀκοντίζεσι θαμειὰς
„Αἰχμὰς ἐκ χειρῶν τῆ δ' ἔποτε κυδάλιμον κῆρ
„Ταρβεῖ, ἐδὲ φοβεῖται, ἀγλωρίη δέ μιν ἔκτα·
„Ταρφέα τε τρέφεται, τίχας ἀνδρῶν πειρητίζων
„Ὅππη τ' ἰθύσει, τῇ τ' εἴκυτι τίχες ἀνδρῶν. κτ:

Στίχ: 587. ΩΣ ΟΤΕ Η ΠΤΩΚ' . . . . Παρ' Ὁμήρῳ Ἰλ: Χ. στίχ. 308.

„Οἰμησεν δ' ἀλεὶς ὥς τ' αἰετὸς ὑψιπετήεις
„Ὅς τ' ἔσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν
„Ἁρπάξων, ἢ ἄρν' ἀμαλὸν, ἢ πτῶκα λαγωὸν.

Στίχ:

Εἷς μόλις ἤλυξεν Λύκος, ἠδ' ἕτερός τε Ἐλιώωρ.
Πρεσβύτερος δ', ὅδε. Τὸν Μήωνι ἄνακτι θεράπνη
Θρέψε Λυκίμνια λάθρα, καὶ ἀ θεμιτοῖσι δὲ ὅπλοις
Πέμψεν ἐπὶ Τροίης ἐν γυμνῷ ἄορι κῶφον,
Ἠδ' ἀκλειῇ ἐν πέλτῃ ἀργῇ καὶ ἀσήμῳ.
Ὡς δ' ἄρ' ὅ χιλιάδων μέσον ἑξὼς ἤθετο Τύρνα,
Δέρξατο δ' ἔνθα ἰδ' ἔνθα Λατίνων κύκλοθεν ἴλας,
Ἠΰ τε φὴρ πολλοῖς ὅς ἐπακτῆρσι ξιφεέρχθη
Μήνατο κατ' βελέων· ὁ δὲ ἔμπας πρῶπτον ἐς οἶτον
Ἔμβαλεν αὐτὸν ἑ, ἰθὺ ὑπὲρ θήρατρα δ' ἐπᾶλτο·
Οὐκ ἄλλως αἰζηὸς ὅδ' αὐταῖς ἐν δηΐοις
Τεθνήξων ἐνόρασ', ὅθι ταρφέα τόξα ἐσεῖδεν.
Ὠκύτερος δὲ πόδεσσι Λύκος διὰ δήϊα ὅπλα
Ἐκδρὰς τείχε' ἐφῖκτο, ἐπιφθὰς πευῦδε δ' ἐρέψεις
Χειρὶ καταχέμεναι, καὶ δεξιτερὰς δε ἑταίρων·
Τύρνος ὁμῶς δὲ ὄπιθε θεῶν ποδὶ ἠδὲ βελέμνῳ
Τὸν δ' ἐνέκιπτεν ἔπει: Ἦ ῥ' ἡμὰς νήπιε χεῖρας
Ἔλπεαι ἐκφυγέειν; ἅμα δ' αὐτῷ δράσσετο ἀπρὶξ
Ἐκκρεμέας, πολλῷ δ' ἑ ξυγκαταπάσατο τείχει.
Ὡς ὅτε ἢ πτῶκ', ἢ κύκνον τινὰ ἀργινόεντα,
Ἥρπασεν ὑψιπέτης ὄρνις Διὸς ἀγκυλοχήλης,
Ἢ μητραίτητον πυκνοῖς βληχήμασιν ἄρνα,
Αἱμοχαρὴς λύκος ἐκ ϛαθμῶ ἔλεν. Ἴφι δ' ἄϋσαν
Πάντες, ὀράσαντες τάφρας δ' ἐν χώμασι πίμπλων.
Οἱ δὲ πυριφλεγέας δᾷδας κορυφώμασ' ἐρίπτεν.
Ἰλιονεὺς τῆμος δὲ ἀναιδεῖ τμήματι ἄρευς
Βάλλε Λυκήτιον, ὄφρ' ὅγε πῦρ πυλεῶνι ὑφῆπτεν.
Ἡμαθίωνα Λίγηρ, Χοριναῖον Ἀσύλας δ' ἕκτα·
Ἔγχος ὁ μὲν τ' εἰδὼς, ὁ δὲ τόξον τῆλ' ἀπαφίσκον.
Καινεὺς δ' Ὀρτύγιον, νικῶντα δὲ Καινέα Τύρνος.
Τύρνος Ἴτων, Κλόνιόν τε, Διόξιππον, Πρόμυλόντε.
Καὶ Σάγαριν δὲ, καὶ, ὅς πύργον ὑπερίϛατο, Ἴδαν.
Πρίβηνον δὲ Κάπυς δορὶ πρὶν νυχθέντα Θεμίλλῃ.
Ὡς γὰρ ὁ ἄββαλ' ἄνας σάκος, ἐκδὺς τρώματι χεῖρα
Πτηνὸς οἰϛὸς τῇ διὰ λαιῆς πλευρῆς ἦχθη,

❁ ❁ ❁

Στίχ: 589. Ἦ ΜΗΤΡΑΙΤΗΤΟΝ . . . . ΑΡΝΑ Ἰλ: Ε. στίχ. 161.
„Ὡς δὲ λέων ἐν βουσὶ θοῶν ἐξ αὐχένα ἄξει
„Πόρτιος, ἠὲ βοὸς, ξύλοχον καταβοσκομενάων.

Στίχ: 592. ΟΙ ΔΕ, ΠΥΡΙΦΛΕΓΕΑΣ ΔΑΔΑΣ κτ: Οὕτω καὶ Τρῶες κατὰ τῶν Πριάμε ἀνακτόρων ἐν τῷ Β. Λίν. στίχ. 512.
„Ἴθυσαν τ' ἀθρόοι, καὶ πῦρ ὀρόφοισιν ἐφῆκαν.

Στίχ: 594. ΒΑΛΛΕ ΛΥΚΗΤΙΟΝ κτ: Καὶ Ἰλ: Ο. στίχ. 419 Ὁμοίως:
„Ἔνθ' ἅ γα Κλυτίοιο Καλήτορα φαίδιμος Αἴας
„Πῦρ ἐς νῆα φέροντα, κατὰ ϛῆθος βάλε δουρὶ.

Στίχ: 602. . . . . ΔΙΑ ΛΑΙΗΣ ΠΛΕΥΡΗΣ . . . . Τὰ γὰρ λαιὰ τῶ ὁπλίτε, ἀπαχθέντος τῶ Σάκες, ἀσκεπῆ παρελείφθη.

Στίχ:

Ad vulnus tulit: ergo alis allapſa ſagitta,
Et lævo infixa eſt lateri manus, abditaque intus
Spiramenta animæ lethali vulnere rumpit.
Stabat in egregiis Arcentis filius armis,
Pictus acu clamydem, & ferrugine clarus Iberâ,
Inſignis facie: genitor quem miſerat Arcens,
Eductum Martis luco, Symethia circum
Flumina, pinguis ubi & placabilis ara Palici,
Stridentem fundam poſitis Mezentius armis,
Ipſe ter adducta circum caput egit habenâ:
Et media adverſi liquefacto tempora plumbo
Diffidit, ac multâ porrectum extendit arenâ.
Tum primum bello celerem intendiſſe ſagittam
Dicitur, ante feras ſolitus terrere fugaces,
Aſcanius; forteſque manu fudiſſe Numanum.
Cui Remulo cognomen erat, Turnique minorem
Germanam, nuper thalamo ſociatus, habebat.
Is primam ante aciem, digna atque indigna relatu
Vociferans, tumiduſque novo præcordia regno
Ibat, & ingentem ſeſe clamore ferebat.
Non *pudet obſidione* iterum valloque teneri,
Bis capti Phryges, & morti *prætendere* muros?
En qui noſtra ſibi bello connubia poſcunt.
Quis Deus Italiam, quæ vos dementia adegit?
Non hic Atridæ, nec fandi fictor Ulyſſes.
Durum àb ſtirpe genus: natos ad flumina primum

De-

❀ ❀ ❀

Στίχ: 605. . . . . ΑΛΟΥΡΓΙΔΙ ΛΑΜΠΡΟΣ ΙΒΗΡΩι, Κατὰ λέξιν ὧδε ὁ Μάρων: Ferrugine clarus Ibera Λατινιστὶ δὲ Ferrugo ἐστὶν ὁ τῆ σιδήρῳ ὁμοῖος· μετείληπται δ' ἐνταῦθα εἰς σημασίαν ἄνθους, ἤτοι χρώματος τῆ ἰοειδῆς, οἷον τὸ ἀλφιτῶδες, τὸ τῆς ἐπὶ τὸ μελάντερον δηλονότι ἀποκλινούσης πορφύρας χρῶμα, ὥσπερ ἡ τῆ νεανίσκη χλαμὺς κατηγλάϊσε. Ἴβηρος δὲ, ὅπερ ἐστὶν Ἰβηρικὴ ἡ τοιάδε πορφύρα, ὡς τῆ Ἰβηρίδι Ἱσπανίᾳ, ἢ τῆ Κολχικῆ ἐπώνυμος· τοῖς περὶ τούτῳ διαφερομένοις τῶν Λατίνων Σχολιασταῖς παραλείψομεν, ἄλις ἔχειν ἡγούμενοι τὴν τῆς χροιᾶς διὰ τῆς ἀλφιτώδους ἀπόδοσιν.

Στίχ: 607. . . . . ΑΝΑ ΡΕΓΟΡΑ. ΣΥΜΑΙΘΟΥ. Ποταμὸς ἐστὶν ὁ Σύμαιθος τῶν ἐπὶ Σικελίας ὁ μέγιστος, Κατάνης μεταξὺ καὶ Λεοντίνων ἐκβάλλων· ὁ καθ' ἡμᾶς Jaretta. Σύμαιθα δὲ (κατὰ Στέφανον τὸν Βυζ.) Πόλις Θετταλίας, εἴτε Ὁμώνυμος τῆ Σικελικῆ, εἴτε τῆς Θετταλίας τυχὸν παραγραφείσης ἀντὶ τῆς Σικελίας.

Στίχ: 608 . . . . . ΠΑΛΙΚΟΥ. Τοῦτον ἕνα μὲν ὁ Μάρων τίθεται Σικελικὸν γενέσθαι Θεὸν οἱ δὲ δύο φέρουσι τοὺς Παλικοὺς Δαίμονας, Διὸς υἱοὺς καὶ Θαλείας τῆς Ἡφαίστου, ἤ (ὡς ἄλλοι) Αἴτνης τῆς ὠκεανοῦ, καὶ Ἡφαίστου Παλικοὺς δ' ἐπικληθῆναι. διὰ τὸ καὶ ἐξ ἀνθρώπων γενομένους, εἰς ἀνθρώπους πάλιν μετὰ τὴν τελευτὴν παλινόρσους ἰκέσθαι. Ἡνεῶχθαι δὲ ἐκεῖ, φησὶ Μάρων, τῷ Παλίκῳ νεὼν ἱλασμοῦ χάριν τοῖς προσιοῦσιν ἰδιαιτερόνπως, ὅτι ἀνθρωποθυσίαις ἀρεσκόμενος τὰ πρῶτα, εἰς τὸ ἀγαπᾶν ὕστερον ταῖς ἐκ τῶν ἄλλων ζώων ἐξιλεωθεὶς κατένευσεν· οἱ δὲ ἄλλως, ὅτι ἄσυλος ἦν ὁ ναὸς ὥστε τοῖς ὡς αὐτὸν καταφεύγουσιν.

Στίχ:

Πληγῇ κηρυλικῷ δ' ἔνδον διὰ πνεύμονα ῥῆξεν.
Ἴσατο παῖς δ' Ἄρκεντος ἀριπρεπέεσσιν ἐν ὅπλοις,
Ἐν χλαμύδι φρυγίῳ καὶ ἀλυργίδι λαμπρὸς Ἰβήρῳ,
Ἀγλαὸς εἶδος, τὸν ῥ' Ἄρκης ἑ πατὴρ προπεπόμφει,
Ἄρεος ἐν τεμένει ἀχθέντ' ἀνὰ ῥεῖθρα Συμαίθι,
Ἦχι νεὼς πίων, ἱλασκομένοισι Παλίκοις.
Αὐτὸς δ' ἄρ' κατθὰς Μεζέντιος ὅπλα χαμᾶζε,
Τριττάκι δὴ σφενδῶνα λιγύθρων κὰρ πέρι ἧξεν,
Ἀντία δ' ἱσαμένα κόρσας ταπερῷ γε μολύβδῳ
Ἤλοισε μέσας, πολλῆς ἑ δ' ἐτάννυσ' ἐπ' ἄμμα.
Πρῶτα τότ' ἐν πολέμῳ βέλος ὠκὺ ἀφεῖναι Φέρται,
Φῆρας φυζακινὰς πάρος εἰωθὼς ἀνασεύειν,
Ἀσκάνιος δαμάσας βριαρόν χέρεσσι Νυμάνον,
Τὰπίκλιν Ῥεμύλον, κάσις ᾧ Τέρνα ἦ μείων,
Ἐν γαμικοῖς θαλάμοισιν ἀκόιτη ἄρτι σωῆπτο.
Ὅς προμολῶν μάψ ῥητάτε ἠδ' ἄῤῥητα πιφάυσκειν,
Βάξεν ἐπεσβολέων, γαῦρος καινῇ βασιλείῃ.
Οὐκ αἰδὼς Φρύγες, οἱ δὶς ἁλόντες χώμασιν αὖθις

Καὶ

❁ ❁ ❁

Στίχ: 609. . . . . ΟΠΛΑ . . . . Δῆλον ὅτι τὸ δόρυ καὶ τὴν ἀσπίδα. Οὐδὲ γὰρ ἰῷ τῷ Μεζέντῃ δορυφορεῖντι τε καὶ ἀσπιδοφοροῦντι, ἐυπετῶς ἅμα καὶ μετὰ θέσεως ἐκσφενδονήσαθαι.

Στίχ: 610 ΤΡΙΤΤΑΚΙ . . . . . Ἡ τριττὴ τῆς σφενδόνης περιαγωγὴ πρὸ τῆς ἀφέσεως, σφοδροτέραν πάντως τῆς βολίδος τὴν ὁρμὴν ἀπεργάζετο.

Στίχ: 611. . . . . ΤΑΚΕΡΩΙ ΓΕ ΜΟΛΥΒΔΩι. Ἀρις. περὶ Οὐραν. Βιβλ. Β: Κεφ: Ζ. Πέφυκε γὰρ ἡ κίνησις ἐκπυρεῖν καὶ ξύλα, καὶ λίθους, καὶ σίδηρον· „εἰον καὶ ἐπὶ τῶν φερομένων βελῶν· ταῦτα γὰρ αὐτὰ ἐκπυρεῖται ὥστε τήκεσθαι τὰς μολυβδίδας.

Στίχ: 612. ΗΛΟΙΗΣΕ ΜΕΣΑΣ . . . . Ἔτυχεν ἄρα ἡ βολὶς τῷ μετώπῳ, αὐτὸ γὰρ τῶν κροτάφων ἐστὶ τὸ μεσαίτατον.

Στίχ: 614 ΦΗΡΑΣ ΦΥΖΑΚΙΝΟΥΣ ΠΑΡΟΣ κτ: Ἡ γὰρ περὶ τὰ κωνηγέσια ἄσκησις, ἡ φαύλητις ἐστὶ πρὸς τὰ πολεμικὰ προκαταβαλλομένη μελέτη τε καὶ προγυμνασία.

Στίχ: 615. . . . . ΒΡΙΑΡΟΝ ΧΕΙΡΕΣΣΙ ΝΥΜΑΝΝΟΝ, Ἡ τῷ πεσόντι ἀπονεμομένη βριαρότης, θαυμαστὸν ὅσον τὸν τοῦ καταβαλόντος παιδὸς Ἀσκανίου ἐξαίρει ἄεθλον.

Στίχ: 619. . . . . ΓΑΥΡΟΣ ΚΑΙΝΗΙ ΒΑΣΙΛΕΙΗι· Ἐπὶ τῇ ἀρτίως πρὸς τὸν βασιλεύοντα Τύρνον, διὰ τῶν γάμων τῶν μετὰ τῆς ἐκείνου ὁμαίμονος, ὡς δηλῶσαι. (στίχ. 616. 617.)

Στίχ: 620. ΟΥΚ ΑΙΔΩΣ ΦΡΥΓΕΣ, κτ: Ἐντεῦθεν τὸν Νυμάνον ὁ Ποιητὴς εἰσάγει ἀφρόνως διακομπάζοντα καὶ μεγαλορρημονοῦντα, διὰ τῶν ἑξῆς ἐπῶν δύο πρὸς τοῖς εἴκοσι· τὸ δέ τοι Φρύγες αὐτίκα πρῶτον ἐπιτετόξευται τοῖς Τρωσὶ πρὸς ἐξευτελισμὸν. Ὅρα Αἰν: Ζ. στίχ. 621.

Στίχ: Αὐτ: . . . . ΔΙΣ ΑΛΟΝΤΕΣ κξ: Ὁ μὲν Κέρδης Κέκλῳ ἀντεπάγει τρὶς λέγοντα: Α. ὑπὸ Ἡρακλέους, Β. ὑπὸ τῶν Ἀμαζώνων, Γ. δὲ ὑπὸ Ἑλλήνων. Ὁ δὲ Σέρβιος τῷ ὑπὸ τοῦ Ποιητοῦ ῥηθέντι στοιχῶν, δὶς φησὶ, πλὴν ὑπὸ τῶν Ἀμαζώνων παρατρέχων ἅλωσιν. Οἱ δὲ τελευταῖον τὸ δὶς οὕτως ἐξειληφότες εἰσὶν, ὡς τὸ μὲν πρόσθεν ὑπὸ τῶν Δαναῶν γεγενῆσθαι ἐπὶ τῆς Ἰλίου ἐκπορθήσεως γεγονὼς, τὸ δὲ τετὶ δεύτερον τὸ ὑπὸ τῶν Λατίνων κατὰ τῆς Τρωϊκῆς ταύτης ἀποικίας, ὅσον ἔπω ἐσόμενον. Κατὰ γοῦν τὴν ἐκδοχὴν τὴνδε οὐδὲν ἂν εἴη ἐπιεικῶς ἀσειότερον, εἰς ἔνδειξιν τῆς τοῦ Νυμάνου μεγαλορρημοσύνης, ἢ θρασυνομένης μᾶλλον εἰπεῖν κυφότητος, τοῦ ὡς ἥδη ἑαλωκό-

Deferimus, fævoque gelu duramus, & undis:
Venatu invigilant pueri, ſylvasque fatigant:
Flectere ludus equos, & ſpicula tendere cornu.
At patiens operum, parvoque aſſueta juventus,
Aut raſtris terram domat, aut quatit oppida bello.
Omne ævum ferro teritur, verſâque juvencûm
Terga fatigamus haſtâ: nec tarda ſenectus
Debilitat vires animi, mutatque vigorem:
Caniciem galeâ premimus: ſemperque recentes
Comportare juvat prædas, & vivere rapto,
Vobis picta croco, & fulgenti murice veſtis;
Deſidiæ cordi; juvat indulgere choreis,
Et tunicæ manicas, & habent ridimicula mitræ.
O verè Phrygiæ, (neque enim Phryges) ite per alta
Dindyma, ubi aſſuetis biforem dat tibia cantum.
Tympana vos, buxuſque vocant Berecynthia matris
Idææ: ſinite arma viris, & cedite ferro.
Talia jactantem dictis, ac dira canentem

Non

❁ ❁ ❁

λωκότας αὐτῷ τὺς Τρῶας ὑποτιθεμένυ, καὶ πρὸ τῆς νίκης τὸ τρόπαιον καταγέλασα παιανίζοντος.

Στίχ: 622. ΗΝΙ Δ' ΟΙ ΗΜΕΤΈΡΟΥΣ . . . . ΓΆΜΟΥΣ . . . . Ἰδὲ δὴ, οἱ τίνες, καὶ τίνων τοῖς γάμοις ἐπιβελεύοντες καὶ ςφετεριζόμενοι! Ἀναγνωτέον δὲ θαυμασικῶς· τὸ δὲ τὺς ἡμετέρυς, τὺς μετὰ τῆς Λαουινίας δῆλον ὅτι σημαίνει, τὺς Τύρνῳ δῆθεν ἀνήκοντας. Ὡς δὲ κέρτομος, ἡ διὰ τὲ κατ' ἐπιςροφὴν χήματος ὑπὸ τὲ ἠπεροπευτὲ ὧδε Νυμάνυ καταχεομένη τῶν Τρῶων χλεύητε καὶ διαμυκτήρισις.

Στίχ: 624. . . . ΑΤΡΕΙΔΑΙ, ΛΟΓΟΔΑΙΔΑΛΟΣ . . . . ΟΔΥΣΣΕΥΣ. Καὶ ὑπὲρ τὺς Ἑλλήνων ἀρίςυς Νυμάνος ἑαυτὸν τίθησι. Κακείνων γὰρ, φησὶν, ἥσσονες ὑμεῖς ὀφθέντες, μὴ δὴ ἐλπίσητε ἀντιςῆναι ἡμῖν δυνήσεσθαι τοῖς ἐκείνων κρείττοσιν. Ὁ δὲ λογοδαίδαλος, ἄλις ἔδοξεν ἐκφέρειν τὸ κατὰ Μάρωνα (Fandi fictor:) ἐπιτεθὲν τῷ Ὀδυσσεῖ γνώρισμα.

Στίχ: 625 — 635. ΗΜΕΙΣ ΕΚ ΡΙΖΗΣ κτ: Τλὺ ἐξ ἀπαλῶν ὀνύχων ἀγωγλὺ ἴδε ἰδίᾳ ἔθυες, εἰς τε Φερεπονίαν, καὶ τλὺ ἐν πολέμοις προαπαιτεμέλειν ἄσκησιν καὶ τριβλὺ, Νυμάνος καυχητιῶν διὰ λεπτὲ περιγράφει.

Στίχ: 626. ΒΑΠΤΟΜΕΝ ΑΤΤΙΚΑ κτ. Ἀρις. ἐν Η. Πολιτ. Παρὰ πολλοῖς (ἰςό-„ρησε) τῶν βαρβάρων ἔθος, τοῖς μὲν εἰς ποταμὸν ἀποβάπτειν τὰ γινό-„μενα ψυχρὸν, τοῖς δὲ σκέπασμα μικρὸν ἀμπίχειν, οἷον Κελτοῖς. Οἱ δὲ „Λάκωνες, ἔδε ὕδατι τὰ βρέφη, ἀλλ' οἴνῳ περιέλουν αἱ γυναῖκες, βάσανόν „τινα ποιέμεναι τῆς κράσεως αὐτῶν· λέγεται γὰρ ἐξίςαθαι τὰ ἐπιλημ-„τικὰ καὶ νοσώδη, πρὸς τὸν ἄκρατον ἀποσφακελίζοντα· τὰ δ' ὑγιεινὰ, μᾶλ-„λον ςομῶθαι καὶ κρατιώεθαι τλὺ ἕξιν. Ἦν δὲ περὶ τὰς τροφὰς ἐπιμέ-„λειά τις μετὰ τέχνης, ὥςε ἄνευ παραγάνων ἐκτρεφόσας τὰ βρέφη, τοῖς „μέλεσι καὶ τοῖς εἴδεσιν ἐλευθέρια ποιεῖν. κτ: Καὶ τῆς ἡλικίας δὲ προερ-„χομένης ἐπέτεινον αὐτῶν τλὺ ἄσκησιν, ἐν χρῷ τε κείροντες, καὶ βαδίζειν „ἀνυποδήτυς, παίζειν τε γυμνὺς ὡς τὰ πολλὰ σωεθίζοντες. Γινόμενοι δὲ „δεκαετεῖς, ἄνευ χιτῶνος ἤδη διετέλυν, ἓν ἱμάτιον εἰς τὸν ἐνιαυτὸν λαμ-„βάνοντες, αὐχμηροὶ τὰ σώματα, καὶ λετρῶν, καὶ ἀλειμμάτων ἄπειροι. (Πλέτ: ἐν Βίῳ Λυκέργυ.)

Στίχ: 627. . . . . ΣΟΒΈΕΙΝ ΘΉΡΑΣ ΚΑΤΑ' ΛΌΧΜΑΣ. Ἡ γὰρ διὰ τῶν κωηγεσίων ἄσκησις προπαίδειά τις ἐςὶν οἷον πρὸς τὰ πολεμικὰ· ὥσπερ εἴρη-ται ςίχ. 614.

Στίχ:

Καὶ πύργοις ϑαρσεῖτε μέλαιναν κῆρ ὑπαλύξειν;
Ἠνὶ δ' οἵ ἡμετέρης σφίσιν ὧδε γάμης αἰτῆνται!
Τὶς Θεὸς Ἰταλίῳ δ', ἢ τὶς ῥὰ ἀπόνοια ἐσῆξεν;
Οὐχ ὧδ' Ἀτρεΐδαι, λογοδαίδαλος ἦτ' ἄρ' Ὀδυσσεύς.
Ἡμεῖς ἐκ ῥίζης σκληρὸν γένος· ἀρτιτόκης γὰρ,
Βάπτομεν αὐτίκα ἐν κρυεροῖς ῥείθροις ϛομόωντες.
Παισὶ μὲν ἀχολίη σοβέειν· ϑῆρας κατὰ λόχμας·
Καὶ πώλης δὲ ἄθυρμα δαμᾶν, καὶ τόξα τιταίνειν.
Τλησίπονος δ' ἦβη, ὀλιγαρκὴς κάρτα πέλεσα,
Ἢ βῶλον λίϛροις, ἢ τεύχεσι τείχεα σεύει.
Πᾶς δ' ἡμῖν τρίβεται βίος ὅπλοις· ἠδ' ἀροτῆρων
Νῶτα βοῶν ἔγχει ἐπινύσσομεν· ὄψιον ὐδὲ
Γῆρας σφὶν λύει ϑυμοῖο μένος τ' ἀλκιὼ τε.
Κὰρ πολιὸν κωλεῇ δ' ἐγκεύϑομεν, ἄλλα τ' ἐπ' ἄλλοις
Λάφυρ' ἄγειν ἡδύ σφιν, ληΐδι τ' ἐμβιοτεύειν.
Ὑμῖν γραπτὰ κρόκῳ δέ, καὶ ἀγλαὰ εἵματα κόχλῳ
Ἡδέα, ῥαϛώνητε, χοροιτυπίῃσί τ' ἀνεῖϑαι.

O 2 Χλαῦ-

❀ ❀ ❀

Στίχ: 628. . . . . ΘΥΡΜΑ . . . . Τὸ καθ' αὑτὸ ἄλις ἐπίπονον, καὶ ὐδὲ κινδυνώδη πάντη ἀπηλλαγμένον, εἰς παιδειὰν τῆ σωηϑείᾳ μεταβάλλει, καὶ διατριβὴ καθίϛαται τέρψιν ἐπάγουσα.

Στίχ: 629. . . . . ΟΛΙΓΑΡΚΗΣ ΚΑΡΤΑ Διὰ τὸ περὶ τε τὸν ἱματισμὸν καὶ τὴν σίτησιν ἁπλῶν καὶ ἀπέριττον.

Στίχ: 632. . . . . ΕΓΧΕΙ ΕΠΙΝΥΣΣΟΜΕΝ . . . . Ἔτι καὶ περὶ τὴν γεωργίαν πονοῦντες πολεμικόν τι διαπραττόμεθα, τοὺς ἀροτῆρας βοῦς τῷ δόρατι κατεπείγοντες. Τῆς γὰρ εἰς πόλεμον παρασκευῆς ἀπείϛ ἐχομένοις, ὐδὲ τότε ἡ χεὶρ ἡμῖν ἄοπλος.

Στίχ: 633. . . . . ΘΥΜΟΙΟ ΜΕΝΟΣ. . . . . Τὸ ὀψὲ ἡμῖν ἐπιὸν, φησὶ, γῆρας, τὴν μὲν τοῦ σώματος ῥώμην ὑποκολέει, τὴν δὲ τῆς ψυχῆς ἀκμὴν ὐδαμῶς παραλύει.

Στίχ: 634. ΚΑΡ ΠΟΛΙΟΝ. . . . . Ἤδη γὰρ καὶ πολιωθέντες ἔτι αὐτοὶ ϛρατευόμεθα.

Στίχ: 635. ΛΑΦΥΡ' ΑΓΕΙΝ . . . . Οὐ γὰρ ὁ ληϊϛικὸς βίος ὄνειδος προσέτριβε τοῖς ἀρχαίοις, ὡς ὐδὲ τοῖς ἐφ' ἡμῶν βαρβάροις. Σπαρτιάταις δὲ, καὶ εἰς ἀρετὴν πολιτικὴν ἐτάσσετο ἡ τῶν παίδων περὶ τὰς κλοπὰς δεξιότης, καὶ ἡ κατὰ τῶν εἱλώτων κρυπτία τῶν Εἰρένων· ὅπερ ὐδὲν ἦν ληϊϛείας τε καὶ λαφυραγωγίας ὑπῆρχε γυμνάσιον. (Πλάτ: εἰς Βι: Λυκέργ.)

Στίχ: 636. ΥΜΙΝ ΓΡΑΠΤΑ· ΚΡΟΚΩι κτ: Ἐντεῦϑεν ἡ ἀντιπαράϑεσις τῶν Τρωϊκῶν ἐϑῶν, ἃ πρὸς τὸ ϑηλυπρεπὲς καὶ γυναικῶδες ἦν ἀποκλίνοντα. (Ὅρα καὶ· Ἰάρβαν τοῖς περὶ Αἰνείαν προσετριφότα τὰ ὅμοια. Δ. Αἰν: ϛίχ. 234.) τῷ ὄντι δὲ ἡ περὶ τὴν ἐσθῆτα χλιδὴ τε καὶ ποικιλία τοῖς Φρυξὶ μάλιϛα ἀπενέμετο. (Γ. Αἰν: ϛίχ, 508.)

Στίχ: 637. . . . . ΡΑΙΣΤΩΝΗ ΤΕ, ΧΟΡΟΙΤΥΠΗΙΣΙ Τ' ΑΝΕΙΣΘΑΙ. Παραπλήσι' ἄττα καὶ Πρίαμος παῤ Ὁμήρῳ τοῖς Τοῖς ἑαυτῷ ἐπεμέμφετο, Ἰλ: Ω. ϛίχ. 261.

„Ψεῦϛαι τ' ἐρχηϛαί τε, χοροιτυπίῃσιν ἄριϛοι.

Καὶ Ἀλκίνοος δὲ τοῖς αὐτῷ Φαίαξιν ἀπεδίδα ταῦτα οἷον πλεονεκτήματα:

„Αἰεὶ δ' ἡμῖν δαὶς τε φίλη, κίθαρίς τε, χοροί τε,
„Εἵματά τ' ἐξημοιβὰ, λοετρά τε ϑερμὰ, καὶ εὐναί.

Στίχ:

Non tulit Aſcanius: nervoque obverſus equino,
Intendit telum: diverſaque brachia ducens,
Conſtitit, ante Jovem ſupplex per vota precatus:
Juppiter omnipotens, audacibus annue cœptis.
Ipſe tibi ad tua templa feram ſolemnia dona,
Et ſtatuam ante aras auratâ fronte juvencum,
Candentem, pariterque caput cum matre ferentem:
Jam cornu petat, & pedibus qui ſpargat arenam.
Audiit, & cœli Genitor de parte ſerenâ
Intonuit lævum: ſonat unâ ſatifer arcus:
Effugit horrendum ſtridens elapſa ſagitta,
Perque caput Remuli venit, & cava tempora ferro
Trajicit. I, verbis virtutem illude ſuperbis:
Bis capti Phryges hæc Rutulis reſponſa remittunt.
Hoc tantum Aſcanius: Teucri clamore ſequuntur,
Lætitiâque fremunt, animoſque ad ſidera tollunt.
Ætheriâ tum forte plagâ crinitus Apollo
Deſuper Auſonias acies, urbemque videbat,

Nube

❁ ❁ ❁

Στίχ: 638. ΧΛΑΪΝΑΙ ΧΕΙΡΙΔΟΤΑΪ, ΚΑΪ ΤΑΙΝΙΑΙ ΆΜΦΙ ΓΕ ΜΙΤΡΑΙΣ. Εἴτις τὰς χειριδωτὰς καλυμένας χλαίνας, πρὸς τὰ Κολόβια λεγόμενα ἀντιπαραβάλοι, εὑρήσει δήπου τοῖς ῥαιωτευομένοις τε καὶ ἀργοῖς ἐκείνας εἶναι προσφυεστέρας, ὥσπερ ἰαῦτα ἰοῖς ἐργάζεσθαί τι ἐπιβαλλομένοις ἐσὶ προσφορώτερα. Διὸ καὶ Ῥωμαῖοι τὸν ἀρχαῖον ἱματισμὸν ἀμείψαι ἰσόρλωται τρυφᾶν ἐναρξάμενοι· τὰς γὰρ ἐθήτας τὰς χειριδωτὰς προείλοντο ὕστερον, δέλεαρ κολοβίοις χρῆσθαι ἐάσαντες, ὡς ἑτοιμοτέρους ἐν τούτοις ἐσομένους ἐπὶ τὰ ἔργα. Αἱ δέ τοι Μίτραι πίλοι ὑπῆρχον ταινίαις ὑπὸ τὸν ἀνθερεῶνα, ἤτοι σειραῖς τισι συνεχόμενοι· ἔχαιρον δὲ Μίτραις τοιαύταις κοσμεῖσθαι οἱ πάλαι Μήονες, τετέσιν οἱ Λυδοὶ. (Δ. Αἰν: στίχ. 235)

Στίχ: 639. Ὦ ΦΡΥΓΙΆΔΕΣ κτ: Φρυγίδας ἀποκαλεῖ ἐν ὀνόματι θηλυτέρῳ· ὡς εἰ μικρὸν ἦν τὸ Φρύγες, ὅπερ εἰς περίψημα φθάσας ἀνωτέρω (στίχ. 620.) αὐτὸς ἐξωνόμασεν. Εἰρηται οὖν, κατὰ τὸ ὑπὸ Θερσίτου παρ' Ὁμήρῳ (Ἰλ: Β. στίχ. 235.)

„Ὦ Πέπονες, κακὸ ἐλέγχε', Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοὶ.

Καὶ Ἰλ: Η. στίχ. 96. ὑπὸ Μενελάου:

„Ὤμοι ἀπειλητῆρες, Ἀχαιΐδες οὐκέτ' Ἀχαιοὶ.

Στίχ: 640. ΔΙΝΔΥΜΑ . . . . Ὄρη Τρωάδος, ἀφ' ὧν Δινδυμιὴν ἐκαλεῖτο ἡ Ῥέα (Στεφ: Βυζ.) ὡς ἐν αὐτοῖς τιμωμένη καὶ ἐνικῶς τὸ Δίνδυμον (παρὰ Στράβ. Γεωγρ. ΙΒ.) Ἡδὲ Ῥέα καὶ Δινδυμένη, καὶ Δινδύμιος· καὶ Δίνδυμον δὲ τὸ ὄρος, ἢ παρὰ τὸ εἰς δύο κορυφοῦσθαι μαστούς, ἤτοι ἄκρας· (οἷον Δίδυμον εἰπεῖν·) ἢ παρὰ τὴν τῶν θεοφορουμένων δίνησιν, καθότι πρῶτον ἐκεῖσε ἤρξαντο Θεοῖς κατοχοι γίνεσθαι ἄνθρωποι, ὡς ἄλλως ἐτυμολόγηται· ἢ καὶ κατὰ μῦθον, ὅτι Αὔρα τις ὑπὸ Βάκχε ἐπ' ἐκείνε διακορευθεῖσα τῷ Ὄρει, καὶ συλλαβοῦσα, δίδυμα τέτοκεν.

Στίχ: Αὐτ: . . . . ΔΙΘΥΡΟΝ ΜΕΛΟΣ ΑΥΛΟΣ ΕΠΗΧΕΙ· Δίθυρον, ὡς διὰ δυοῖν αὐλῶν ἐμπνεομένων, τὸ μὲν βαρύτερον ἀποδιδόντος τὸν ἦχον, τὸ δὲ ὀξύτερον. Τοιοῦτω δὲ μάλισα Φρύγες αὐτῇ ἐχρῶντο τῇ τῶν Θεῶν μητρὶ ὀργιάζοντες· τό τε ἐξ αὐτοῦ μέλος ἐκ ἠθικὸν ἰώ, ἀλλ' ὀρχισικὸν, ὡς Ἀριστ. φησὶν ἐν Η'. τῶν Πολιτικῶν, διὸ καὶ τῷ τοιούτῳ αὐλησιν ἐδοκίμαζε τὸς παῖδας διδάσκεσθαι, ὡς πάθος μὲν ὑπεγείρουσαν τῇ ψυχῇ, ἦθος δὲ μὴ ἔχουσαν.

Στίχ:

Χλαῖναι χαριδοταὶ, καὶ ταινίαι ἀμφί γε μίτραις.
Ὦ Φρυγίδες· (Φρύγες ἃ γάρ πα') ἴτε, βάσκετ' ἀν' αἰπὰ
Δίνδυμα, ἔνθ' ἐθάσιν δίθυρον μέλος αὐλὸς ἐπηχεῖ.
Τύμπανα, καὶ πυξὸς Βερεκυντίου Ἰδαίης σφᾶς
Μητρὸς κικλήσκει· ἐκχωρεῖτ' ἄνδρεσιν ὅπλων.
Τὼς μεγαλιζόμενον, βάλλοντά τ' ὀνειδείοισιν,
Οὐ φέρεν Ἀσκάνιος, νευρῇ δ' ἄντιον ἱππείῳ
Τόξον ἐπεντείνας, καὶ βραχίονας δ' ἀνερύσσας,
Στῆ ῥὰ πρὸς Διὸς, ἠδ' ἱκέτης προτιήυξατο τοῖα:
Ὦ Ζεῦ παγκρατέων, ἔργοις τολμήεσι νεῦσον!
Σοῖσιν ἐγὼ νηοῖσιν ἑόρτια δῶρα ἀνόισω,
Στήσω πρὸς βωμοῖσι δὲ μόχον χρυσομέτωπον,
Λευκὸν, μητέρι κρὰς τ' ἄροντα ἑῆπερ ἐπίσης,
Καὶ

❁ ❁ ❁

Στίχ: 641. ΤΥΜΠΑΝΑ, ΚΑΙ ΠΥΞΟΣ ΒΕΡΕΚΥΝΤΙΟΣ ΙΔΑΙΗΣ . . . . .
Τύμπανα μὲν, τὰ ἐκ βύρσης τεταμένης καὶ τὸ ὑγρὸν ἀποθεμένης, ἢ δακτύλοις χειρὸς, ἢ ῥαπίσι κατακροτέμενα. Πυξὸς δὲ Βερεκυντίου, τὸ ἐκ τῆ Βερεκυντα τῆ ὄρες ξύλον, ἐξ ἃ τὲς παῤ αὐτοῖς αὐλὲς οἱ Φρύγες, ὡς οἱ Ἀφροι ἐκ τῆ Λωτῆ ἐτεκταίνοντο. Ταῦτα τοιγαροιῶ (Νυμάνος ἔφασκε) τὰ πρὸς τὰ ὄργια τῆς τῶν Θεῶν Μητρὸς, τὲς Φρύγας ὑμᾶς ἐκκαλέμενα, τῆς ἐξ Ἴδης, τῆ Φρυγίας ὄρες, οὕτως ἐπιλεγομένης. Τὰ γὰρ ὄρη, τό τε Δίνδυμον, καὶ ὁ Βερέκυντος, καὶ ἡ Ἴδη, ἱερὰ ἐπίσης ὑπῆρχε Κυβέλη, ἐξ ὧν, Δινδυμιὼη τε (ὡς εἴρηται) καὶ Βερεκυντίου, καὶ Ἰδαίη, ἄλλοτε ἄλλως προσηγορέυετο.

Στίχ: 642. . . . . ΕΚΧΩΡΕΙΤ' ΑΝΔΡΕΣΙΝ ΟΠΛΩΝ. Οὐ γὰρ ὑμῖν ὁπλίταις σοβεῖν προσήκει τοῖς ἐκτομίαις, ἢ θλαδίαις, καὶ γυίσιν.

Στίχ: 644. . . . . ΝΕΥΡΗΙ Δ' ΑΝΤΗΝ ΙΠΠΕΙΩι. Τῇ ἐκ τριχῶν ἱππείων πεπλεγμένη.

Στίχ: 645. . . . . ΒΡΑΧΙΟΝΑΣ Δ' ΑΝΕΡΥΣΣΑΣ, Ὡς οἷον τε ἰᾷ ἀπ' ἀλλήλων τὲς βραχίονας διαςήσας, τὸν μὲν ἐπ' εὐθείας πρὸς τὸν σκοπὸν διατείνας, τὸν δ' ἀνελκύσας ὡς ἔγγιςα τῆ ςήθες, ἐφ' ᾧ σφοδρότερον τὸ βέλος ἀφεῖναι.

Στίχ: 646. ΣΤΗ ΡΑ ΠΡΟΣ ΔΙΟΣ . . . . Τί δ' ἐχὶ μᾶλλον πρὸς τῆ ἑκατηβόλε; ἢ, διὰ τὸ φθάσαν ἀνωτέρω ῥηθεῖσαι: ςίχ. 613.
„Πρῶτα τότ' ἐν πολέμῳ βέλος ὠκὺ ἀφεῖναι φέρται.
Ἐκ Διὸς δὲ, φασὶν, ἀρχόμεθα. Ἐπαίνε δὲ καὶ μιμήσεως ἅμα ἄξιον τὸ παρὰ τοις παλαιοῖς ἔθος, οἳ πρὸ παντὸς ἐπιχειρήματος Θεὸν ἐπευδον ἐπικαλεῖθαι, καὶ τιὼ ἄνωθεν αἰτεῖθαι ῥοπὴν, τὸ πυθαγορικὸν ἐκεῖνο τηρῆντες:
„Ἔρχευ ἐπ' ἔργον Θεοῖσιν ἐπευξάμενος.
Καὶ γὰρ καθ' Ὅμηρον, Ὀδυς. Γ. ςίχ. 48.
„. . . . . Πάντες Θεῶν χατέεσιν ἄνθρωποι.
Ἐξ οὗ καὶ Ἄρατος ἐν Φαινομ. ςίχ. 4.
„, ... Πάντως δὲ Διὸς κεχρήμεθα πάντες.
Μετὴ δὲ τῶν τοιέτων παραδειγμάτων ἡ Ποίησις. Ὅρα Φεὼθ· περὶ τῶν καθ' Ὅμηρ. Ἀρχαιοτ: Βιβλ: Α. Κεφ: Ζ. πολλὰ προβαλλόμενον.

Στίχ: 649. ΣΤΗΣΩ ΠΡΟΣ ΒΩΜΟΙΣΙ κτ: Ὅμοιον τῷ ἐπὶ τῆς ἐυχῆς τῆ Νέςορος, Ὀδ. Γ. ςίχ. 382.
„Σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν, ἐυρυμέτωπον,
„Ἀδμήτιν, ἣν ἔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνὴρ.
„Τιὼ τοι ἐγὼ ῥέξω, χρυσὸν κέρασιν περιχεύας.

Nube ſedens, atque his victorem affatur Jülum:
Macte novâ virtute puer: ſic itur ad aſtra,
Diis genite, & geniture Deos: jure omnia bella
Gente ſub Aſſaraci fato ventura reſident:
Nec te Troja capit. Simul hæc effatus, ab alto
Æthere ſe mittit; ſpirantes dimovet auras,
Aſcaniumque petit. Formam tum vertitur oris
Antiquum in Buten: hic Dardanio Anchiſæ
Armiger ante fuit, fiduſque ad limina cuſtos.
Tum comitem Aſcanio pater addidit: ibat Apollo
Omnia longævo ſimilis; vocemque, coloremque,
Et crines albos, & ſæva ſonoribus arma;
Atque his ardentem dictis affatur Jülum:
Sit ſatis, Æneide, telis impune Numanum
Oppetiiſſe tuis: primam hanc tibi magnus Apollo
Concedit laudem, & paribus non invidet armis;
Cætera parce, puer, bello. Sic orſus Apollo,
Mortales medio aſpectus ſermone reliquit,
Et procul in tenuem ex oculis evanuit auram.

Agno-

❁ ❁ ❁

Στίχ: 651. . . . . ΠΟΔΕΣΙΝ ΚΟΝΙΩΝΤΑ. Κονιορτὸν αἴροντα, ὅτε εἰς ἀλκὴν τρέποιτο· οὕτως ἐν Γ. Γεωργ. στίχ. 272. περὶ Ταύρε εἰς μάχην παρασκευαζομένε, ὁ Μάρων ἔφασκε:

„Ψάμμον ἀτὰρ κεδανὺς χεδιάζει τὰ πρὸ ἀγῶνος.

Στίχ: 652. ΚΑΥΤΩΝ Δ' ΟΥΡΑΝΟΘΕΝ κτ: Κατ' ἐκεῖνο: Ἰλι: Ο στίχ. 377.

„Ὣς ἔφατ' ἐυχόμενος, μέγα δ' ἔκτυπε μητίετα Ζεὺς
„Ἀραῶν αἴων Νηληϊάδαο γέροντος.

Στίχ: Αὐτ: , . . . ΈΞ ΑΪΟΘΡΗΣ . . . . Ὅρα καὶ Αἰν: Ζ. στίχ. 150. καὶ Η, Αἰν: στίχ. 545.

Στίχ: 653. ΒΡΟΝΤΗΣ ΈΝ ΛΑΙΟΓΣ Περὶ τῆς λαιόθεν βροντῆς, εἰρηταίτι καὶ Β. Αἰν: στίχ. 748 Ἦν δ' ἄρα σημεῖον Ῥωμαίοις μὲν αἴσιον τὸ λαιόθεν ἀστράψαι, Ἕλλησι δὲ τἐναντίον τὸ δεξιόθεν. Ὀδυσσεὺς γὰρ πρὸς Ἀχιλλέα πρεσβεύων, περὶ Τρώων φησὶ, τῶν κατὰ τῶν νηῶν τιὼ ἔφοδον μελετώντων: Ἰλ: Ι. στίχ. 236.

„Ζεὺς δέ σφιν Κρονίδης ἐνδέξια σήματα φαίνων
„Ἀστράπτει . . . . . .

Ἔστι δ' ὁ πραγματιώδης, ὀνοματικὴ δ' ἁπλῶς ἡ ἐναντιότης, ὡς ἐκ τῆς τῶν παρατηρέντων θέσεως τιὼ ἀρχιὼ ἔχουσα. Ἕλλησι μὲν γὰς πρὸς Ἄρκτον βλέπουσι, δεξιὰ πίπτει τὰ πρὸς ἡλίε Ἀνατολὰς, ἀριστερὰ δὲ τὰ πρὸς Δύσεις. Ἰλ: Μ. στίχ. 239.

„Εἴτ' ἐπὶ δεξιὰ ἴωσι πρὸς ἠῶτ' ἠέλιόν τε,
„Εἴτ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόντα.

Ῥωμαίοις δ' ἐπιστρεφομένοις πρὸς Νότον, τὰ Ἀνατολικὰ λαιὰ γίνεται. Κατὰ γὰρ Οὐάρρωνα Βιβλ: Ε. τῶν Ἐπιστολ. Ζητημ. Cum in meridiem ſpectes ad ſiniſtram ſunt partes mundi exorientes. Διὸ καὶ παρὰ Πλιν: Βιβλ: Β. Φυσ. Ἱστορ. Κεφ: ΙΔ. Læva proſpera exiſtimantur, quoniam lævâ parte mundi ortus. Ἄλλως τε δὲ, καὶ εἴτις πρὸς Ἀνατολὰς τρέψει τὰς ὄψεις, λαιὰ τέτῳ ἔσαι τὰ ἐπὶ τιὼ πρὸς Ἄρκτες κλίσιν συμβαίνειν παρατηρέμενα, καὶ γίνεται καὶ ἔτως αἴσια τὰ σημεῖα, ὡς ἀπὸ τῦ κρατιστέρε (φασὶ) τῶν ἐν τῷ παντὶ μέρες ἥκοντα· περὶ τέτε μέτιθι καὶ Πλέτ: περὶ Ῥωμ. Ζητημ. ΟΖ. Καὶ πρὸ πάντων Διονύσ. τὸν Ἁλικαρν; ἐν τῷ Β. τῶν Ἀρχαιολ: τιὼ φαινομένιω ταύτιω διαφορὰν συμβιβάζοντα· ἐξ οὗ καὶ τὸ ἐφεξῆς ἀποσπάσαι ὧδε ἀδαμῶς κατοκνήσω τεμμάχιον, ὡς καὶ τῦ ἐνταῦθα

Καὶ κερατιζὼ ἄρτι τε, καὶ πόδεσιν κονιῶντα.
Κλύων δ' ἀρανόθεν γ' ἐξ αἴθρης Ζεὺς ἐρίδηπος
Βρόντησ' ἐν λαοῖς, βιὸς ἄλοσς αἶψα δὲ λίγξε,
Δεινὸν δὲ πτερόεις διασίζων ὤχετ' οἰζὸς,
Καὶ διὰ καὶρ Ῥεμύλε, κοίλας κροτάφως τε τόρησε. 655
Νωῦ ἴθι νεικείειν, ἀτὰρ ἰωρέιω μωκᾶθαι.
Τὼς ἐπαμείβονται Ῥοτόλας Φρύγες οἱ δὶς ἁλόντες.
Τόσσα μὲν Ἀσκάνιος: Μέγα τόφρα δ' ἄϋσαν Τεῦκροι,
Γηθεῦντες θ' ὁμάδησαν, ἐς ἄστρα δὲ ἦτορ ἐπῆραν.
Τῆμος ἀπ' αἰθερίε κλίτεός γε κομῆτα Ἀπόλλων, 660
Ὑψόθεν Αὐσονίας ἔλας θηεῖτο καὶ Ἄσυ,
Ἥμενος ἐν νεφέλῃ δ' ἐπιῆνεσεν ὧδε Ἰὰλον:
Ἠνορέης, παῦ, ὄναιο· ὅδ' οἶμος ἀν' ἄστρα ἀγινεῖ,
Θειογενὲς σὺ, Θεὸς τε γενήσων· ἦ ῥ' ὑπὸ φύτλῃ

P 2 Ἀσσα-

❁ ❁ ❁

Θαι συμβάντος Ἀσκανίῳ μνείαν ποιέμενον. „Καθέδρα μὲν οὖν (φησὶν) ἀρίστη τῶν οἰωνοῖς μαντευομένων ἡ βλέπουσα πρὸς Ἀνατολὰς . . . . „τέτοις δ' ἀριστερὰ μὲν γίνονται τὰ πρὸς τὴν Ἄρκτον ἐπιστρέφοντα μέρη, „δεξιὰ δὲ τὰ πρὸς Μεσημβρίαν φέροντα· τιμιώτερα δὲ τὰ πρῶτα πέφυ„κε τῶν ὑστέρων. . . . . εἰκὸς δὲ κράτιστα τῶν μεταρσίων καὶ ὑρανίων „σημείων ὑπάρχειν ὅσα ἐκ τῆ κρατίστε γίνεται μέρες . . . . Ὡς δέ „τινες ἱστορέσιν, ἐκ τῆ παλαιῆ τε, καὶ πρὶν ἢ παρὰ Τυρρίλων μαθεῖν, „τοῖς Ῥωμαίων προγόνοις αἴσιοι ἐνομίζοντο αἱ ἐκ τῶν ἀριστερῶν ἀστραπαί. „Ἀσκανίῳ γὰρ τῷ ἐξ Αἰνείε γεγονότι, καθ' ὃν χρόνον ὑπὸ Τυρρίλων, ἔς „ἦγε βασιλεὺς Μεζέντιος, ἐπολεμεῖτο, καὶ τειχήρης ἦν, περὶ τὴν τελευ„ταίαν ἔξοδον, ἣν ἀπεγνωκὼς ἤδη τῶν πραγμάτων ἔμελε ποιεῖσθαι, μετ' „ὀλοφυρμῆ τόν τε Δία καὶ τὰς ἄλλας αἰτεμένῳ Θεὰς, αἴσια σημεῖα δέ„ναι τῆς ἐξόδε, φασὶν, αἰθρίας ἄστης, ἐκ τῶν ἀριστερῶν ἀστράψαι τὸν ὑρα„νὸν· τῆ δὲ ἀγῶνος ἐκείνε λαβόντος τὸ κράτιστον τέλος, διαμεῖναι παρὰ „τοῖς ἐγγόνοις αὐτῆ νομιζόμενον αἴσιον τόδε τὸ σημεῖον.

Στίχ: Λύτ: . . . . ΒΙΟΣ . . . . ΔΕ ΛΙΓΞΕ. Ἰλ: Δ. στχ. 125.
„Λίγξε βιὸς, νευρὴ δὲ μέγ' ἴαχεν, ἄλτο δ' οἰζὸς.

Στίχ: 655. ΚΑΙ ΔΙΑ ΚΑΡ ΡΕΜΥΛΟΥ κτ: Προσφυῶς ἐπέτυχε τὸ τραῦμα τῆς κακῆς κεφαλῆς, τῆς τοιαῦτα φρονέσης τε, καὶ ἐητὰ καὶ ἄρρητα (στχ. 617.) φθεγγομένης.

Στίχ: 657. . . . . ΦΡΥΓΕΣ ΟΙ ΔΙΣ ΑΛΟΝΤΕΣ. Σαρκασμὸς, πρὸς τὸν Ῥεμύλε τωθασμὸν (στχ. 620.) αὐτολεξεὶ ἀντιτοξευθεὶς.

Στίχ: 660. . . . . ΚΟΜΗΤΑ ΑΠΟΛΛΩΝ, Αἱ γὰρ ἀκτῖνες τῷ Ἀπόλλωνι, (ὅς ἀλληγορέμενος ἐστὶν ὁ ἥλιος·) καὶ οἰζοὶ εἰσὶν, οἷς πόρρωθεν βάλλει τοξεύων, ὅθεν ἑκατηβελέτης ἀκέε, καὶ κόμη ἅμα, ἤτοι τρίχες μηδέποτε ἐπιλείπουσαι, ἐν αἷς καλλύνεται διαπρέπων, δι' ἃς καὶ ἀκερσεκόμης προσείρηται.

Στίχ: 662. . . . . ΕΠΙΗΝΕΣΕΝ ΩΔΕ ΙΟΥΛΟΝ: Οὐκ εἰς ἀκολὶ ὠτίε αὐτῷ προσεφθέγξατο προσιὼν, ἀλλ' ἐπευφήμησεν ἀφ' ὑψες ἰδὼν, καὶ οἷον ὡς θεατὴς αὐτῆ καὶ πόρρωθεν ἐπεκρότησε τῇ ἀριστείᾳ, ἐπευδοκήσας τῷ κατορθώματι, καὶ ἐπαινέσας. Αὐτὸς γὰρ ταῦτα εἰπὼν ἔπειτα Ἀπόλλων, καταβὰς ἀφ' ὑψες, ἐνέτυχε τῷ νεανίσκῳ, τὸν γηραιὸν Βάτιν πλασάμενος, καὶ τὰ δέοντα παρήνεσεν.

Στίχ: 664. ΘΕΙΟΓΕΝΕΣ ΣΥ, ΘΕΟΥΣ ΤΕ ΓΕΝΗΣΩΝ: Τὸ μὲν, ὅτι εἰς Ἀφροδίτιν καὶ αὐτὸν Δία τὸ γένος ἀνέφερε· τὸ δὲ, διὰ τὰς ἐξ αὐτῆ ἐσομένας ἔπειτα, καὶ Ἴλιον ἐπὶ πᾶσι τὸν Καίσαρα, οὓς Θεοῖς ἐναριθμίες Ῥωμαῖοι ἔμελλον κατατάξειν. Ἔστι δὲ καντεῦθεν ἡ τῆ Μάρωνος θωπεία, τῆ ἐκθεῖν Καίσαρα ἐφιεμένε, ἀρίδηλος. (Ὅρα καὶ Α. Γεωργ. στχ. 25.)

Στίχ:

Agnovêre Deum proceres, divinaque tela
Dardanidæ, pharetramque fugâ ſenſêre ſonantem.
Ergo avidum pugnæ, dictis ac numine Phœbi,
Aſcanium prohibent: ipſi in certamina rurſus
Succedunt, animaſque in aperta pericula mittunt.
It clamor totis per propugnacula muris:
Intendunt acres arcus, amentaque torquent.
Sternitur omne ſolum telis; tum ſcuta, cavæque
Dant ſonitum flictu galeæ: pugna aſpera ſurgit.
Quantus ab occaſu veniens pluvialibus Hædis
Verberat imber humum: quam multâ grandine nimbi
In vada precipitant, cum Juppiter horridus Auſtris
Torquet aquoſam hyemen, & cælo cava nubila rumpit.
Pandarus & Bitias, Idæo Alcanore creti,
Quos Jovis eduxit luco ſylveſtris Hiera,
Abietibus juvenes patriis, & montibus æquos:
Portam, quæ ducis imperio commiſſa, recludunt
Freti armis, ultroque invitant mœnibus hoſtem.
Ipſi intus dextrâ, ac lævâ pro turribus aſtant

Arma-

❁ ❁ ❁

Στίχ: 665. ΑΣΣΑΡΑ΄ΚΟΥ, ΠΟΛΕ΄ΜΩΝ . . . . ΠΕ΄ΙΡΑΡ . . . . Ὑπὸ τὸ Ἀσσαράκης γένος, τὸ τῶν Αἰνειαδῶν σημαίνει. (Ὅρα Γεωργ. Γ. στίχ. 39.) Καὶ ὁ τῦ Ἀσσαράκης δὲ οἶκος ἅπαντας ἁπλῶς παρίστησι, τὰς ἐξ ἐκείνε κατιόντας ἐκ διαδοχῆς, ἕς γ' ἐπὶ τὸν Καίσαρα Ἰέλιον, καὶ τὸν ἐκ τέτε υἱοθετηθέντα Αὔγεσον, ἐφ' οὗ καὶ πέρας ἤδη ληψομένων Ῥωμαίοις τῶν τε πρὸς ἀλλήλες ἐμφυλίων δυσοσασιῶν, καὶ τῶν πρὸς τὰς ἔξω πολέμων, εἰρηναῖα τὰ ἐπὶ γῆς ἔμελλεν ἔσεσθαι· ὡς Ἀπόλλων τε ὧδε προκαταγγέλλει τῷ Ἰέλῳ σωτυχὼν, καὶ αὐτὸς Ζεὺς ἀνωτέρω (Α. Αἰν: στίχ. 280—323.) τῇ Κυθήρει πλατύτερον φθάσας προαπεφήνατο.

Στίχ: 666. ΟΥ' ΧΑ΄ΔΕ ΣΕ ΤΡΟΙ΄Η κτ: Τουτὶ δ' ὅμοιον τῷ ὑπὸ τῦ Μακεδόνος Φιλίππε πρὸς Ἀλέξανδρον τὸν υἱὸν εἰρημένῳ (παρὰ Πλετ: εἰς Βί: Ἀλεξ:) „Ζήτει σεαυτῷ βασιλείαν ἴσην, Μακεδονία γάρ σε ἐ χωρεῖ.

Στίχ: 668. ΗΝΤΑ Δ' ΑΣΚΑΝΙ΄Ω κτ: Οὕτω καὶ παρ' Ὁμ: Ἰλ: Π. στίχ. 715. Ἕκτορι

„ —— Παρίστατο φοῖβος Ἀπόλλων
„Ἀνέρι εἰσάμενος αἰζηῷ τε κρατερῷ τε
„Ἀσίῳ, ὅς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο.
„Αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος.

Στίχ: 669. ΒΟΥ΄ΤΗΝ ΈΣ ΓΗΡΑΙΟ΄Ν κτ: Τὸν Βέτιν τόνδε εἰς ὃν Ἀπόλλων μεμόρφωται, ἐδαμῆ πλέον, ἢ ἅπαξ ὧδε ὁ Ποιητὴς ἀναφέρει (φησὶ Σέρβιος·) ὥσπερ τῦ Ναύτε δῖος ἐμνήσθη· γνωρίζει γεμὶν παλαχόθεν τὸν ἄνδρα ἐκ τε τῦ γήρως, καὶ τῶν διαφόρων, ὧν μετῆλθεν ἄλλοτε ἄλλων ἐπισασιῶν, καὶ τῦ χήματος, καὶ τῦ ὁπλισμῦ· ὁμώνυμος δὲ τῷ Τρωὶ τῷ δε ἐγένετο ὕσερον ἐν Ἕλλησι Βέτης, ὁ Ἀθήνησιν ἱερᾶσθαι λαχὼν, ἀφ' οὗ καὶ οἶκος περιώνυμος οἱ Ἐτεοβετάδαι κληθέντες, εἰς λόγον εὐγενείας ἐπισήμε παρὰ Ἀθηναίοις τεθρύλληται.

Στίχ: 671. . . . . ΟΠΕ΄ΩΝΑ ΓΕΝΗ΄ΤΩΡ ΤΑ΄ΞΕ. Ὥσπερ καὶ Πηλεὺς Ἀχιλλεῖ τὸν Φοίνικα, Ἰλ: Ι. στίχ. 438.

„ —— Σοὶ δὲ μ' ἔπεμπε γέρων ἱππηλάτα Πηλεύς·

Στίχ: 672. ΤΩΙ΄ ΡΑ' ΑΠΟ΄ΛΛΩΝ ΠΑ΄ΝΤΑ . . . . ΑΔΙΓΚΙΟΣ . . .
673. ΑΤΔΗ΄Ν ΤΕ, ΧΡΟΙΗ΄ΝΤΕ κτ: Ἰλιάδ: Β. στίχ. 57.

„ . . . . Μάλισα δὲ Νέσορι δίῳ
„Εἶδός τε, μέγεθός τε, φυλὴ τ' ἄγχισα ἐῴκει.

Στιχ:

Ἀσσαράκῳ, πολέμων μοιραίων πεῖραρ ἐσεῖται.
Οὐ χάδε σε Τροίη· ἐξ ὕψους, ὦδε δὲ ἔπας,
Βῆ κατὰ αἰθερίῳ, διὰ δ' αὔρης τμῆξεν ἀήτας,
Ἤντα δ' Ἀσκανίῳ μορφώσιος εἶδος ἀμείψας
Βάτιω ἐς γηραιὸν, ὃς ὁπλάχος ποτὲ ἔσκε
Δαρδανίῳ Ἀγχίσῃ, ἀτὰρ πυλέων ἐπίουρος·
Τετάκει δ' Ἀσκανίῳ ὀπέωνα γενήτωρ τάξε.
Τῷ ῥὰ Ἀπόλλων πάντα γέροντι ἀλίγκιος ὤφθη,
Ἀυδιώτε, χροιῇ τε, κόμης πολιὰς δέ τε χαίτας,
Αἰνά τε ἠδ ἔκπαγλα σιδήρεʼ ἐρίβρομα ὅπλα.
Τοίοις δ' ἄρ μετέειπεν ὑπερξείουλα Ἰάλον:
Ἔνθ' ἄλις Αἰνεάδη, ὅτι νηποινεὶ σὺ Νυμάνnον
Δέδμηκάς γε βέλεϊ πρῶτον τόδε, φοῖβος Ἀπόλλων,
Κλεῖος ἐφῆκε σοι, ὀδ' ἴσοις βασκήνατο ὅπλοις.
Ἀλλ', ὦ παῖ, πολέμου νῦν πάυεο. Ὡς ἐκάεργος
Φὰς, τὸ μεταξὺ λέγων ὄψεις θνητῶν παραλεῖπε,
Τῆλε τε ἐξ ὄσσοιν ἐς λεπτὰς ὤχετο ἄυρας·
Δαρδανίδαι δ' ἔγνων, ὡς ῥεῖα Θεὸς ἀπιόντος,
Κλαγξάντων βελέων ἐπὶ δ' ἤθουτ' ἐν ῥὰ φαρέτρῃ.
Δαίμονι δ' ἄρ πίσυνοι Φοίβῳ, ἄτον πολέμοιο,
Ἀσκάνιον μὲν ἔεργον, ἀγώνεσιν οἱ δ' ἐπεσῆλθον,
Ψυχὰς κινδυνίοις παρβαλλόμενοι ποτιόπτοις.
Αὐτίκα δὲ κραυγὴ ἀν' ἐπάλξεις ἦρτο προπάσας.
Ῥίμφ' ἔντεινον τόξα, ἀνεσρόφεόν τε ἰμάντας·

Στόρ-

❁ ❁ ❁

Στίχ: 677. . . . . ΠΡΩΤΟΝ ΤΟ' ΔΕ κτ: Προσεπαγγέλλεται τοίνυν αὐτῷ κλέος, παρὰ τοῦτο, καὶ ἐξῆς ἄλλα ὁ Ἀπόλλων, ὑπομιμνήσκων ὅτι καὶ τὸ παρὸν, αὐτοῦ τέτε δῶρον ἐστὶ, τοῦ ἐνδεδωκότος παραπλησίοις αὐτῷ τοῖς ὅπλοις κεχρῆσθαι, καὶ ἐξ αὐτῶν κλείζεσθαι. Ἐξ αὐτοῦ γὰρ ὡς ἑκατηβόλε ἀνθρώποις ἡ περὶ τοῦτο τοξεία δεξιότης καὶ εὐδοκίμησις.

Στίχ: 679. . . . . ΠΟΛΕΜΟΥ ΝΥΝ ΠΑΥΕΟ. Καίτοι κατὰ νοῦν ἕτερον, ἀλλ' ἐκπέφρασαι κατ' ἐκεῖνο: Ἰλ: Λ. στίχ. 422.

„ —— Πολέμε δ' ἀποπάυεο πάμπαν.

Στίχ: 681. . . . . ἘΣ ΛΕΠΤΑΣ ΩΧΕΤΟ ΑΥΡΑΣ. Ὅμοιον τὸ Ὀδυσ. Δ. στίχ. 838.

„Ὡς εἰπὼν σαθμοῖο παρὰ κληῖδα λιάδη
„Ἐς πνοιὰς ἀνέμων . . . . . .

Στίχ: 683. ΚΛΑΓΞΑΝΤΩΝ ΒΕΛΕΩΝ . . . . Κατὰ τὸ Ἰλ: Α. στίχ. 46.

„Ἔκλαγξαν δ' ἄρ οἰστοὶ ἐπ' ὤμων χωομένοιο
„Αὐτοῦ κινηθέντος . . . . . .

Στίχ: 686. ΨΥΧΑΣ ΚΙΝΔΥΝΟΙΣ ΠΑΡΒΑΛΛΟΜΕΝΟΙ . . . . Ὁμοιόφρασεν τὸ Ἰλ: Ι. στίχ. 322

„Αἰεὶ ἐμῷ ψυχῷ παραβαλλόμενος πολεμίζειν.

Στίχ: 688. . . . . ἈΝΕΣΤΡΟΦΕΟΝ ΤΕ ΙΜΑΝΤΑΣ. Λῶρα δέ τινα ὑπῆρχον οἱ ἱμάντες ἔτοι, περὶ τὰ ἀκόντια φερόμενοι, ὅθεν κατεχόμενα σφοδρότερον ὑπὸ τῶν ἀκοντιζόντων ἀφίεντο. Εἰρηται δ' αὐτὰ καὶ ἀγκύλαι, ἢ ἄμματα, τὰ Λατίνοις Amenta, παρ' οἷς καὶ telum amentatum: οἷον βέλος, ἔτω φάναι, ἀμματωτὸν, ἢ ἱμαντόδετον, οἷον τὸ παρ' Εὐριπ. ἐν Ἀνδρομ. „Μεσάγκυλον. Καί τοι ἄλλως κατὰ τὸν Εὐριπίδε Σχολιαστὴν, Ἀγκύλαι „λέγονται καὶ αὐτὰ τὰ Ἀκόντια παρὰ τὸ ἐπηγκυλίσθαι· ἢ διότι ἀπὸ τῆς „κατὰ μέσον ἀγκύλης λαμβανόμενοι ῥίπτεσιν.

Armati ferro, & criſtis capita alta coruſci.
Quales aëriæ, liquentia flumina circum,
Sive Padi ripis, Atheſim ſeu propter amœnum,
Conſurgunt geminæ quercus, intonſaque cœlo
Attollunt capita, & ſublimi vertice nutant.
Irrumpunt, aditus Rutuli ut videre patentes.
Continuo Quercens, & pulcher Equicolus armis,
Et præceps animi Tmarus, & Mavortius Hæmon,
Agminibus totis aut verſi terga dedere,
Aut ipſo portæ poſuere in limine vitam.
Tum magis increſcunt animis diſcordibus iræ:
Et jam collecti Troës glomerantur eodem,
Et conferre manum, & procurrere longius audent.
Ductori Turno diverſa in parte furenti,
Turbantique viros, perfertur nuncius, hoſtem
Fervere cæde novâ, & portas præbere patentes.
Deſerit inceptum, atque immani concitus irâ
Dardaniam ruit ad portam, fratreſque ſuperbos:
Et primum Antiphaten, (is enim ſe primus agebat)

The-

❁ ❁ ❁

Στίχ: 690. ΒΑΛΛΌΜΕΝΑΙ ΚΌΡΥΘΕΣ ΚΟΝΆΒΟΥΝ. Ὥσπερ καὶ Ἰλ: Μ. στίχ. 160.

„ . . . . Κόρυθες δ' ἀμφ' αὖσιν ἀΰτευν,
„Βαλλόμεναι μυλάκεσσι, καὶ ἀσπίδες ὀμφαλόεσσαι.

Καὶ Αὐτ: στίχ. 338.

„Τόσσος γὰρ κτύπος ἦεν, ἀϋτὴ δ' ἐρανὸν ἶκε
„Βαλλομένων σακέων τε καὶ ἱπποκόμων τευφαλειῶν.

Στίχ: 691. ΟΣΣΟΣ ΕΠ' ΟΜΒΡΟΦΌΡΩΝ ΕΡΊΦΩΝ ΠΈΡΔΥΣΜΌΘΕΝ ΗΚΩΝ. Περὶ τῶ τῶν Ἐρίφων ἀσεριαμῶ τῶδε, Ὄρα Γεωργ. Α. στίχ. 229. τὸ δὲ (δυσμόθεν ἥκων) ὁ μὲν Ποιητὴς ἐνταῦθα περὶ τῶ ἀνέμω λέγειν ἔοικε τῶ ἀπὸ τῶν ἑσπερίων πνέοντος, οἷον εἰπεῖν τῶ Ἀργέστε. Ταύτῃ δὲ καὶ ὁ Ἰταλὸς Κάρος οὕτως ἠρμήνευσε:

Con quella furia, che di pioggia un nembo
Vien dell' occaſo, allor che d' oriente
Fan ſorgendo i Capretti a noi tempeſta.

Ὡσαύτως δὲ καὶ οἱ Γάλλοι: Telle eſt une pluie orageuſe, qui venant du couchant ſous la Conſtellation des Chevreaux. etc: Εἰσὶν ἀλλ' οἱ καὶ οἱ τὸ ἑσπέριον τῶ κλίματος ἅλως, ἐκ ἐπὶ τῆς πνοῆς τῶ ἀνέμω, ἀλλ' ἐπὶ τῆς δύσεως αὐτῶν τῶς Ἐρίφων ἐκληπτέον εἶναι ὑπέλαβον. Εἰσβάλλει δ' ἔτω ἡ ἐκ τῶν Ἀράτε Φαινομένων ὁ Ἐξηγητὴς λέγων: Ὅτι ἡ Αἶξ, καὶ οἱ Ἔριφοι „κατὰ τὸν χεῖρα τῶ ἡνιόχε σημεῖα χειμῶνος φέρεσιν, ὅταν Ἑσπερίαν δύσιν ποιῶνται. Ὁ δὴ καὶ Θεόκριτος ἔφη: Ἐν Εἰδυλ: Ζ.

„Χ' ὥταν ἐφ' Ἑσπερίοις Ἐρίφοις νότος ὑγρὰ διώκῃ
„Κύματα . . . . . .

Ἀλλὰ γὰρ ὁ Σέριος, καὶ τότω σωάδων ὁ Κέρδης, καὶ τὰς τῶν Ἐρίφων Ἀνατολὰς ἀδέντι ἦττον, ἀλλ' ἐπίσης ταῖς Δύσεσιν ὀμβροφόρες εἶναι ἀντιβάλλεσιν: Et ortus, et occaſus graviſſimas tempeſtates faciunt. In ortu et occaſu pluvij ſunt Hœdi.

Στίχ: 693. . . . . ΤΡΗΧΎΣ ΖΕΎΣ ΕΎ ΤΕ ΝΌΤΟΙΣΙ. Καὶ Ὅμηρος δὲ, Ἰλ: Κ. στίχ. 5.

„Ὡς δ' ὅταν ἀστράπτῃ πόσις Ἥρης ἠϋκόμοιο
„Τεύχων ἢ πολλὼ ὄμβρον ἀθέσφατον, ἠὲ χάλαζαν,
„Ἢ νιφετὸν, ὅτε περ χιὼν ἐπάλωεν ἀρούρας

Στίχ

Στόρνυτο πᾶν δ' ὄδας βελέεσσι, σάκη δ', ἰδὲ κοίλας
Βαλλόμεναι κόρυθες κονάβην· αὐτὴ δ' ἔρις ὦρτο.
Ὄσσος ἐπ' ὀμβροφόρων Ἐρίφων περ, δυσμόθεν ἥκων,
Γῆν ὑετὸς τύπτει· ὀπόσῃ δὲ νέφῃ ῥὰ χαλάζῃ
Ἀΐσσσ' ἀγροῖς, τρηχὺς Ζεὺς ἔυ τε νότοισι
Χεῖμ' ὑδαρὸν σρομβεῖ, νεφέλας χαύνας τ' ἐκρήσσει.
Πάνδαρος Ἰδαίδ, Βιτίας τ', Ἀλκάνορος ἔγε,
Τῶ Διὸς ἐν τεμένει τέκεν ὑλαίῃ Ἰήρα
Ὁπλοτέρω, πατρίῃσ' ἐλάτῃσι, κῃ ἄρεσιν ἴσω,
Ἀμπετάσαντε πύλιω φυλάκω τῆς ἔμμεν ἐτάχθεν,
Τεύχεσ' ἐπὶ σφετέροισιν ἄγαν πισώω, δηΐῳς
Ἔντοσε εἰσδῶαι τειχῶν κέκλεθον ἔκητι.
Δεξιτερὸς μὲν ὅ, λαιὸς ὁ δ' ἔξη, πρόπροθι πύργων,
Κατφραχθέντε σιδήρῳ, ἰδ' αἰπὰ κάρη λοφόωντε.

Q 2 Ἠλι-

❁ ❁ ❁

Στίχ: 695—706. ΠΑΝΔΑΡΟΣ ΙΔΑΙΟΥ κτ: Ἐν τέτοις ἀδεὶς ἐςὶν, ὃς μετὰ Μακρόβιον (Βιβλ: Ε' Κεφ: ΙΑ.) ἐ σωσρᾷ, Πολυποίτιω κῃ Λεοντέα, τὸς παρ' Ὁμήρῳ ἐπὶ τῆς τῶν Τρώων κατὰ τὸ τῶν Δαναῶν τείχες ἐφόδε, πρὸ Ἰῶν ἀναπεπταμένων πυλῶν τὸ Ἔρκες ἑσαμένες τε κῃ ἀμιωμένες ταῖς νήεσιν. Ὅρα Ἰλ: Μ. ςίχ. 127—136.

Στίχ: 696. . . . . ΤΕΚΕΝ ΥΛΑΙΗ ΙΗΡΑ. Κεῖται παρὰ Μάρωνι, eduxit: ὅπερ ἀντὶ τὸ educavit (ἀνεθρέψατο') τινὲς ἐξειλήφασι, τῇ Τυρσέβε ὑπονοίᾳ ςιχοῦντες, ὃς ἐν Βιβλ: ΚΒ. Κεφ: Ζ. ἀντὶ τῆς Ἰήρης, τὶω Ὕαιναν φησίπε ἀναγινώσκεθαι· ὡς εἴπερ οἱ δύω ἦτοι Πάνδαρός τε κῃ Βιτίας αὐτίκα τεχθέντες ἀπερρίφθησαν ἐπὶ τῆς ὕλης, κῃ ὑπὸ θηρὸς ἐκεῖ τὶω θηλιῶ παραχόσης ἐτράφησαν, ὅ δὴ κῃ ἄλλοις συμβεβηκέναι ἱςόρηται.

Στίχ: 697. . . . . ΠΑΤΡΙΗΙΣ' ΕΛΑΤΗΙΣΙΝ ΙΣΩ. Ταῖς τὸ ὄρες τῆς Ἴδης, ἥτις ἰῶ αὐτοῖς ἡ πατρὶς. Σημειώσαι δὲ κῃ τὸ προςιθέμενοι (κῃ ἄρεσιν), ὡς εἰ μικρὸν ἦν εἰς λόγον ὑπερφυὲς ἀναδρομῆς ἀνδρικῆ ἀναςήματος, τὸ ἐλάταις παρεξισᾶθαι. Οὕτω δέ τοι κῃ Ὅμηρος περὶ τὸ Κύκλωπος λέγων: Ὀδυσ: Ι. ςίχ. 190.

„Καὶ γὰρ θαῦμ' ἐτέτυκτο πελώριον, ἀδὲ ἐώκει
„Ἀνδρὶ γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι
„Ὑψηλῶν ὀρέων, ὅτε φαίνεται ὄιον ἀπ' ἄλλων.

Οὐδεὶς γᾶν τοῖς περὶ τὶω πόιησιν ὑπερβολῆς ὅρος· Φίλον δ' αὐτοῖς ὑπερβολιὰ ὑπερβολῆ προσεπιφορεῖν κατὰ τὸς ὑὸς τὸ Ἀλωέως, τὸς ὄρη ἔρεσιν ἐπιτιθέντας, ἄλλα ἐπ' ἄλλοις, κῃ βαθμηδὸν προϊόντας ἀπὸ τῶν μεγάλων ἐπὶ τὰ μείζονα. Δεῖ μέντοι τὶω ὑπερβολιὼ προβαίνειν κατ' αὔξησιν, ὡς ὁ Φαληρεὺς ἐπεσημειᾶτο. (ἐν τοῖς περὶ Ἑρμίω. § 52.) Ἀεὶ γαρ, καίτοι μεγάλα ὄντα τὸ πρότερον, ἧττονα φαίνεται, μειζόνων αὐτοῖς τῶν „μετὰ ταῦτα ἐπιφερομένων.

Στίχ: 701. ΔΕΞΙΤΕΡΟΣ ΜΕΝ Ὅ, ΛΑΙΟΣ Ὁ Δ' ΕΣΤΗ, ΠΡΟΠΡΟΘΙ ΠΥΡΓΩΝ. Ὁ μὲν Μάρων ἔχει Pro turribus: ὁ δὲ Σέρβιος ἑρμιωύεσθαι τετὶ ἔφη δισσῶς: Aut vice turrium, aut pro defenſione. (ἤτοι δίκιω πύργων παραβολικῶς, ἢ τῶν πύργων ἔμπροσθεν εἰς ἄμιναν.) τέτων τὶω μὲν προτέραν ἐκδοχλιὰ, ὁ Ἰταλὸς Κάρος ἠπάσατο:

à due pilaſtri
ſembianti, anzi à due torri

Καθ' ὃν κῃ ὁ Γάλλος Lallemand: ſemblables a deux tours. Ὁ δὲ τῶν Γάλλων ἕτερος: Des-Fontaines, πρὸς τὶω δευτέραν ἔοικε νεύειν ἀποδεδωκώς: Vis-à vis de tours, dont elle etoit flanquée. Αὐτὸι δὲ τὶω καθ' ὑπεραπισμὸν ἔννοιαν προειλόμεθα· ἡ γὰρ καθ' ὑπερβολιὼ τὸ λοιπὸ περιττὴ δόξειε, μετὰ

Thebanâ de matre nothum Sarpedonis alti,
Conjecto ſternit jaculo: volat Itala cornus
Aëra per tenuem, ſtomachoque infixa ſub altum
Pectus abit: reddit ſpecus atri vulneris undam
Spumantem, & fixo ferrum in pulmone tepeſcit.
Tum Meropem, atque Erymantha manu, tum ſternit Aphydnum,
Tum Bitian ardentem oculis, animique frementem;
Non jaculo, (neque enim jaculo vitam ille dediſſet)
Sed magnum ſtridens contorta phalarica venit,
Fulminis acta modo: quam nec duo taurea terga,
Nec duplici ſquammâ lorica fidelis, & auro
Suſtinuit: collapſa ruunt immania membra.
Dat tellus gemitum, & clypeum ſuper intonat ingens.
Qualis in Euboico Bajarum littore quondam
Saxea pila cadit, magnis quam molibus ante

Con-

❁ ❁ ❁

μετὰ τὰς ἔκ τε τῶν ἑλατῶν καὶ τῶν ὀρέων προληφθείσας. (στίχ. 697.) Καὶ τιὼ ἔτι ἐφεζῆς (στίχ. 703.) ἐκ τῶν παραποταμίων δρυῶν προσεθεσομένιω. Σημειωτέον δὲ τιὼ εἰκόνα πᾶσαν ἐκ τῆς Ὁμηρικῆς ἀπεξέθαι; ὡς ἀνωτέρω δεδήλωται. (στίχ. 695–706.) Οὕτω γὰρ Ὅμ: Ἰλ: Μ. στίχ. 131.

„Τῶ μὲν ἄρα προπάροιθε πυλάων ὑψηλάων
„Ἔσασαν, ὡς ὅτε τε δρύες ἔρεσιν ὑψικάρηνοι,
„Αἴτ' ἄνεμον μίμνουσι καὶ ὑετὸν ἤματα πάντα
„Ῥίζῃσιν μεγάλῃσι διηνεκέσσ' ἀραρυῖαι.

Στίχ. 703. . . . . ΛΙΚΒΗ΄ΤΙΑ ΄ΑΜΦΙ΄ ΡΕ΄ΘΡΑ, Κατὰ παραλλαγὴν τῶν φερομένων Κωδίκων, οἱ μὲν ἀναγινώσκεσιν ἐπιθετικῶς: Liquentia flumina: (ὑγρὰ ῥέεθρα.) οἱ δὲ κυριωνυμικῶς: Liquetia: (Λικβήτια·) ποταμὸν εἶναί ἔτω καλέμενον ἐκδιδάσκοντες τὸν Λικβήτιον, ἀπὸ τῶν Ὀπιτεργίνων ὀρέων ῥέοντα, οὗ καὶ Πλίνιος μέμνηται (Φυσικ. Ἱστορ: Βιβλ: Γ. Κεφ: ΙΗ.) Καὶ Κλαυδέριος Ἰταλ: Βιβλ: Α. Κεφ: 18.) Καλεῖται δ' ὁ ποταμὸς καθ' ἡμᾶς, Livenza. Οἱ μὲν οὖν Γάλλοι τιὼ διαφορὰν παριδόντες, τὸν ποταμὸν ἐπίσης καὶ τὰ ὑγρὰ ῥεύματα ὑπερνήχονται. ὁ δὲ Ἰταλὸς κυριωνυμεῖ καὶ τόνδε τὸν ποταμὸν συναριθμῶν τοῖς ἐφεζῆς δυσὶν:

In cotal gvisa nate
Ne le ripe si veggon di Liquezio,
De l' Adice, e del Po due quercie altere;

Στίχ: 704. . . . . ΗΡΙΔΑΝΟ΄Υ. . . . . ΄ΑΘΗ΄ΣΙΟΣ . . . . Περὶ τῦ Ἠριδανῦ, ὃς ὁ Παδος ἐστὶν ἐνταῦθα τῷ Μάρωνι, ὅρα ἐν Α. Γεωργ: στίχ. 155. ὁ δ' Ἄθησις Ἐνετῶν ἐστὶ ποταμὸς ἀπὸ τῶν Ῥαιτικῶν προχεόμενος Ἄλπεων, καὶ εἰς τὸν Ἀδριατικὸν κόλπον ἐκβάλλων, τῦ Ἠριδανῦ βορειότερος: οὗτος ὁ νιῦ Adige.

Στίχ: 719. . . . . ΚΑ΄ΣΙΑΣ . . . . Πάνδαρόν τε καὶ Βιτίαν.

Στίχ. 721. ΘΗΒΑΙ΄Σ ΄ΟΝ ΄ΡΑ΄ ΝΟ΄ΘΟΝ ΣΑΡΠΗΔΟ΄ΝΙ . . . . Τῆς Ἀντιφάτα μητρὸς πατρὶς ἦν ἡ Θήβη, ἡ τετάρτη τῶν (παρὰ Στεφ. τῷ Βυζ.) καταλεγομένων ἐννέα πόλεων ὁμωνύμων, ἡ ἐν Κιλικίᾳ τῇ ἐγγὺς Τροίας, ἧς περ καὶ Ὅμηρος μέμνηται: Ἰλ: Ζ. στίχ. 397. Θήβιω καλέσας ὑποπλακίαν· λέγονται δὲ καὶ Θῆβαι πληθυντικῶς, ἅς, ὁ μὲν τῦ Μεγάλυ Ἐτυμολογικῦ Συγγραφεὺς αὐτὸ παρέδωκεν εἶναι τὸ νιῦ Ἀτραμύττειον, ὁ δὲ Στράβων, σαφ. ὀγδώκοντα τῦ Ἀτραμυττείυ διέσησε. Νόθον δὲ ἡ Θηβαΐς αὕτη τεκεῖν εἴρηται Σαρπηδόνι τὸν Ἀντιφάτιω, ἐκ Σκότιον (φησὶ Σέρβιος) κατὰ Βεκολίωνα τὸν τῦ Λαομέδοντος, περὶ ὃ Ὅμηρ. Ἰλ: Ζ. στίχ. 24. —— Σκότιον δὲ ἔ γείνατο μήτης. ἤτοι ἐκ λαθραίας μίξεως. λάθρα γεγεννημένον, ὡς περὶ τούτυ ὁ Σχολιαστὴς εἶπεν· ἡ γὰρ τῦ νόθυ μήτηρ ὁμολογυμένη ἐστὶ, κἂν μὴ ὡς ἄλοχος ἔννομος τέκτυσα.

Στίχ:

Ἠλίκαι αἰθέριοι Λικβήτια ἀμφὶ ῥέεθρα,
Ἠὲ παρ' Ἠριδανῦ, τερπνῦ ἦ Ἀθήσιος ὄχθας,
Ἄνσανται δοιαὶ δρύες, αἳ τ' ἄρσαν ἄκαρτα
Ὕψι κάρηνα, κόμας νέυσι μετήοροι ἄκρας.
Ὦρσαν Ῥοτόλοι πόρον ὡς δέρξαντ' οἰχθέντα.
Αὐτίκα Κέρκης, ἠδ' Ἐκβίκολος ἀγλαὸς ὅπλοις,
Καὶ θυμῷ δ' ἴτης Τμάρος, αὐτὰρ ἀρήϊος Αἴμων,
Ἦτοι φυξακινοὶ προτὶ ἕλας νῶτα γε τρέψαν,
Ἡ ἑδὲ πρὸ πύλης ψυχίῳ αὐτῦ ἀποθέντο.
Τόφρα νεμεσσώσας φρεσὶ μᾶλλον ἀέξετο μῆνις.
Σιὼ δ' ἐλελιχθέντες ἀειρηδὸν Τρῶες ἄγερθεν,
Χεῖρα τε συμβαλέμεν, προτέρω χωρεῖν τ' ἀπετόλμων.
Μαινομένῳ δ' ἄντίω ἑτέρωσ' ἡγήτορι Τύρνῳ,
Ἠδ' ἄνδρας κυκόωντι πιφαύσκων τις γ' ἐπαφῖκτο,
Ἄρξαι δηΐης χάρμης τε, πύλας τε πετάσσαι.
Λεῖπε δ' ὁ τὰν χείρεσσιν, ἀταὶρ δεινὸν χαλεπῆνας,
Δαρδανίῳ τε πύλιω, κάσιὰς τ' ἐπὶ θεῦσ' ἀγερώχας.
Πρῶτον δ' Ἀντιφάτιω, (ὅδε γὰρ πρῶτος προτιήντα.)
Θηβαΐς ὃν ῥὰ νόθον Σαρπηδόνι γείνατο μήτηρ,
Βάλλεν ἄκοντι, κράνεια δὲ ἔπτη Ἰταλιῶτις
Ὑγρῷ εἰν ἀέρι· ϛομάχῳ ἐντὸς δὲ παγεῖσα,
Ἔμμυχος ἦτορ ἔδυ· μέλανος δ' ἄρ' τρώματος ἄντρον,
Ἀφρόεν αἷμ' ἀποδῶκεν· ἀτὰρ τε σίδηρος ἄκοντος
Ἶφι πεπαρμένος, ἐν πνεύμωνι λιαίνετο μείνας.
Εἶτα δὲ καὶ Μερόπιω ἐνάριξεν, καὶ γ' Ἐρυμάνθιω,
Συϛαδὸν· αὐτὰρ Ἄφυδνον, ἀταὶρ Βιτίαν ἐπὶ τοῖσιν,
Ὄμμασι μὲν φλογόεντ', αἰνῶς θυμῷ δὲ βρέμοντα.
Οὐχὶ βέλει τὸν δ' (ἰὼχ ὁ βελέμνῳ ῥᾳϛα δαμείη·)
Ἀλλ'

❁ ❁ ❁

Στίχ: 722. . . . . ΚΡΑΝΕΙΑ . . . . . ΙΤΑΛΙΩΤΙΣ. Κράνεια τὸ ἐκ κρανείας δόρυ. (Σείδ.) καθὰ δὴ καὶ Μελία τὸ ἐκ Μελίας· Ἰταλικὴ δὲ ἡ Κράνεια, ὡς ἐκ τῶν Ἰταλικῶν Ἄλπεων τμηθεῖσα. Οὕτω καὶ Γαισὸς ἀλκαχῆ Ἀλπείας καλεῖ, (Λίν. Η. στίχ. 687.) διὰ τὸ τῶν ξύλων ἔντονον, καὶ σφενδάμνινον.

Στίχ: 724. . . . . ΜΕΛΑΝΟΣ . . . . ΤΡΩΜΑΤΟΣ ΑΝΤΡΟΝ. Διὰ μὲν τὸ ἄντρον, τὸ τῆ ὑπὸ τῆς πληγῆς γενομένη κοιλώματος ὑπεσημήνατο βάθος· ἤτοι τὸ βαθὺ παράγραμμα. Εἰ γὰρ καὶ ἄντρον μὲν τὸ αὐτοφυὲς κοίλωμα, σπήλαιον δὲ τὸ χειροποίητον, Ἀμμώνιος ὑπέθετο διαφέλας, ἀλλ' Ἡσύχιος τιὼ διαϛολιὼ ὑπερεῖδε, τὸ ἄντρον σπήλαιον ὀνομάσας, ἢ σπήλαιον σκοτεινὸν τῆ δὲ τραύματος τιὼ μελανίαν αὐτὸς ἡμιώυσεν ὁ Ποιητὴς, προθεὶς τὸ: (Ἀφρόεν αἷμ' ἀποδῶκε.) διὰ τὸ, καθ' Ὅμηρον, (μέλαν αἷμα.)

Στίχ: 726. . . . . ΕΝ ΠΝΕΥΜΩΝΙ ΛΙΑΙΝΕΤΟ . . . . Καθὰ καὶ Ἰλ: Π. στίχ. 303. εἴρηται:

„Πᾶν δ' ὑποθερμάνθη ξίφος αἵματι . . . .

Στίχ: 728. ΣΥΣΤΑΔΟΝ . . . . Τὲς μὲν γὰρ ἀνωτέρω, πόρρωθεν βάλλων δὶ ἀκοντίϛ ἀνεῖλε, Μερόπιω δὲ καὶ Ἐρυμάνθιω, ἐγγύθεν τέτοις συμβαλὼν διὰ ξίφες.

Στίχ: Αὐτ: . . . . ΒΙΤΙΑΝ ΕΠΙ ΤΟΙΣΙΝ, Τὸν ἕτερον τῶν δύο, τῶν τιὼ πύλιω τῆ ἔρκες ἀναπτυξάντων.

Conſtructam jaciunt ponto: ſic illa ruinam
Prona trahit, penituſque vadis illiſa recumbit:
Miſcent ſe maria, & nigræ attolluntur arenæ:
Tum ſonitu Prochyta alta tremit, durumque cubile
Inarime, Jovis imperiis impoſta Typhœo.
Hìc Mars armipotens animum vireſque Latinis
Addidit, & ſtimulos acres ſub pectore vertit;
Immiſitque fugam Teucris, atrumque timorem.
Undique conveniunt; quoniam data copia pugnæ,
Bellatorque animo Deus incidit.
Pandarus, ut fuſo germanum corpore cernit,
Et quo ſit fortuna loco, qui caſus agat res,
Portam vi multâ converſo cardine torquet,
Obnixus latis humeris, multoſque ſuorum
Mœnibus excluſos duro in certamine linquit:
Aſt alios ſecum includit, recipitque ruentes:
Demens! qui Rutulum in medio non agmine regem
Viderit irrumpentem, ultroque incluſerit urbi,

Im-

❁ ❁ ❁

Στίχ: 731. . . . . ΦΑΛΑΡΙΚΟ῎Ν ῎ΕΓΧΟΣ . . . . Εἶδος τόδ' ἦν βελέμνε, ἐν ξύλῳ ἐντόρνῳ παχυτέρῳ τε καὶ προμήκει, διπηχυαίαν, ἢ τριποδιαίαν τῷ αἰχμῷ προβάλλοντι σιδηρᾶν, ἐπὶ βάσεως τετραγώνε σηριζομένῳ, σύππῃ περιειλημμένης ἐπιχρίσῳ μίγμασιν ἐυκαταφλέκτοις· οἷον πίσσῃτε καὶ θείῳ, καὶ τοῖς τοιούτοις· ὧν ἐξαφθέντων, ἀφεθὲν τὸ βέλος, ποτὲ μὲν ἐκ μηχανῆς, ποτὲ δὲ καὶ ἀπὸ χειρὸς κρατερᾶς ἐξακοντιζόσης, διήει μὲν διατετραῖνον τὸ προσυχόν, καὶ προσαγὲν οἷς ἂν ἐμπέσοι δυσαποσπάστως ἔἰχετο καὶ κατεπίμπρα, εἰς τέλος καταναλίσκον· τοῦτο δὲ Φαλαρικὸν εἰρῆθαι, φασὶ, τὸ βέλος, ὅτι κατὰ τῶν ξυλίνων τὰ πολλὰ ἀφίετο πύργων, ἃς Φάλας ὠνόμαζον.

Στίχ: 732. . . . . ΤΑΎΡΕΑ ΔΈΡΡΑ,
Στίχ: 733. . . . . ΔΈΠΕΙ ΧΡΥΣΩ̃ . . . ΔΊΠΛΑΚΙ ΘΏΡΗΞ Οὗ δ' ὁ ἑπταβόειος θυρεὸς ἀπαντήσας ὄνησέ τι πρὸς ἀτρωσίαν, ἔθ' ὁ θώραξ ὁ λεπιδωτὸς· περὶ ὧν ὕστερα Ζ. Λίν: στίχ. 679. 680. Λεπιδωτοὶ δ' ἦσαν οἱ θώρακες, οἱ ταῖς ἐπαλλήλοις σιδηρέαις λεπίσιν ἰχθυοειδῆ παρέχοντες ὄψιν, οἵους ἐν χρήσει γενέσθαι μάλιστα τοῖς Πέρσαις φησὶν Ἡρόδοτος. Ἐν Ζ. Μέσ.)

Στίχ: 734. ῞ΗΜΥΣΕ ΠΡΗΝΗ῍Σ Δ' ᾽ΗΡΕΙΠΌΤΑ ΓΥ῍Ι᾽ ᾽ΑΠΈΛΕΘΡΑ
735. ΓΑ῎ΙΑ Δ' ῾ΥΠΕΣΤΟΝΆΧΗΣΕ κτ: Ἰλ: Μ. στίχ. 395.
„ . . . . . Ὁ δ' ἑσπόμενος πέσε δουρὶ
„Περιφὴς, ἀμφὶ δὲ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Καὶ Δ. Ἰλ: στίχ. 504.
„Δέπησεν δὲ πεσὼν ἀράβησε δὲ τεύχεὲ ἐπ' αὐτῷ.

Στίχ: 736. . . . . ΒΑΙ῎ΩΝ . . . . ᾽ΕΥΒΟΙ῎ΚΗ῍Σ ᾽ΕΠΙ' ᾽ΑΚΤΗ῍Σ. Πόλις ἦν Ἰταλίας αὐ Βαΐαι, ἐ πρῴρω τῆς Ἰταλικῆς Καμπανίας, ὑπὸ τῶν ἐκ τῆς κατ' Εὔβοιαν Χαλκίδος μεταναστάντων ἀποικισθεῖσα, καὶ τῇ ἀκτῇ ἐφ' ἰῷ μετέσησαν, Εὐβοϊκῇ διὰ τοῦτο λέγεσθαι παρασχόντων. Καλλίστη δ' ἡ χώρα ἅσα, διά τε τῆς θέσεως τὸ ἐπίχαρι, καὶ τὸ εὐκρανὲς τοῦ ἀέρος, καὶ τῷ τῶν ὑδάτων διαφίλειαν, ἡδυτάτων μὲν πιεῖν, εἰς ὑγίειαν δὲ προσφορωτάτων, καὶ δὴ καὶ διὰ τῷ τῶν ἐκ γῆς ἅμα καὶ θαλάσσης παντοίων ἀγαθῶν εὐφορίαν, τοῖς παροικοῦσιν ἡδίστην τινὰ παρεῖχε τῷ διατριβῷ. Ταύτῃ τοι, καὶ τῶν ἐκ Ῥώμης λογάδων ἐμφιλοχωρῶντες συχνοὶ, καὶ οἰκήσεις ἑαυτοῖς παρὰ τῇ ἀκτῇ δομοῦντες, κ᾽ ἀπὸ τῆς θαλάσσης ἔτι διελάμβανον μέρος, πετρῶν τε μεγάλων ἐμποντώσεσι, καὶ ταῖς ἐκ φορυτοῦ γῆς προχώσ-

Ἀλλ' ἔ μέγα τρύξον γε Φαλαρικὸν ἔγχος ἐφῖκτο
Εὖ τε σκηπτὸς, τῷ δύο ὀδ' ἄρ ταύρεα δέρρα,
Οὐδὲ λέπει χρυσῷ ἀντέση δίπλακι θώρηξ·
Ἤμυσε πρηνὴ δ' ἠρειπότα γυῖ ἀπέλεθρα.
Γαῖα δ' ὑπεσονάχησε, πελώριος δ' ἔβραχεν ἀσπὶς.
Οἵηπερ Βαϊῶν ποτὲ Εὐβοϊκῆς ἐπὶ ἀκτῆς,
Πίπτει λαϊνέη ϛήλη, μεγάλοις ἰῶ ὄγκοις
Ἄρσαντες ῥιπτῆσι θαλάσσῃ, καδδὲ πεσῆσα,
Τοῖς κεν ὑπαντήσειεν ἐρείπια σύρατο ἄρδιν,
Πυθμένα ἠδ' ὑδάτων προτί γ' ἀῤῥάξασ' ἀγκλίνθη·
Μίχθε δὲ δὴ πελάγῃ, ἦρθεν δὲ μέλαιναι ψάμμοι.
Τηνίκα τετρομέει δ' αἰπὴ Προχύτη ὑπὸ δῆπε,

R 2 Εὐ-

❁ ❁ ❁

προχάσεσιν, ἀμφιβιοίπως διαφιλονεικοῦντες εἶναι τὰς διαίτας, καὶ χερσαῖοι καὶ πόντιοι. Παρίϛησιν οὖν ὁ Ποιητὴς ἐνταῦθα, ὡς ἐν εἰκόνι, τὸν διὰ τῶν ἐκεῖ εἰωθότων ῥίπτεσθαι ὄγκων, τῇ θαλάσσῃ συμβαίνοντα δῆπον, ἵνα τινὶ τῷ καταβληθέντος Βιτίᾳ πτῶσιν διατυπώσειεν· ἢ γοῦν τυχὸν καὶ τῇ εἰκόνι τῇδε ὁ Μάρων ἐπίτηδες προσεχρήσατο, ἀνακινῶν τινὶ μνήμην τῆς περὶ τὸν Λακρῖνον λάκκον μεγαλεργίας, ἣν, Ἰάλιος μὲν ἀνεβάλλετο ὁ Καίσαρ τὸ πρῶτον, μετ' αὐτὸν δὲ ὁ Αὔγουϛος καὶ εἰς πέρας ἠνέγκατο. Ἦν δ' ὁ Λακρῖνος Βαϊῶν μεταξὺ καὶ Πατεόλων. (Ὅρα Γεωργ. Β. ϛίχ. 186.)

Στίχ: 737, ΠΙΠΤΕΙ ΑΛΙΝΕΗ ΣΤΗΛΗ κτ: Τὲς ἐν χάρμαις μεγαλωϛὶ πίπτοντας, καὶ ἐπ' αὐτῇ τῇ πτώσει φιλεῖσιν οἱ Ποιηταὶ μεγαλωίειν, πύργοις παρεικάζοντες καταβαλλομένοις· Οἷον Ὅμηρος τὸν Θαλυσιάδιν Ἐχέπωλον ὑπὸ Ἀντιλόχε τρωθέντα· Ἰλ: Δ. ϛίχ. 462.

„Ἤριπε δ' ὡς ὅτε πύργος . . . . . .

Καὶ ὁ τοῖς Ὁμήρε ἴχνεσιν ὡς οἷός τε ἦν φιλοτιμέμενος ἀεὶ βαίνειν Καλαβρὸς, Παραλειπ: Γ. ϛίχ. 63. Τὸν Ἀχιλλέα ποιῶν ἐτηθέντα ὑπ' αὐτῆ Φοίβε·

„ . . . . Ὁ δ' ἀνετράπετο ἠΰτε πύργος.
„Ὅν τε βίη Τυφῶνος ὑποχθονίη ϛεροφάλυγι
„Ῥήξῃ ὑπὲρ δαπέδοιο, κραδαινομένης βαθὺ γαίης.

Καὶ τὸν αὐτὸν δὲ Ἀχιλλέα, Αὐτ: ϛίχ. 176.

„Ἤριπεν ἀμφὶ νέκυσσιν ἀλίγκιος ἔρεϊ μακρῷ,
„Γαῖα δ' ὑπεπλατάγησε, καὶ ἄσπετον ἔβραχε τεύχη
„Πηλείδαο πεσόντος ἀμύμονος . . . . . .

Στίχ: 742. . . . . ΑΙΠΗ ΠΡΟΧΥΤΗ . . . . Οὐ καλῶς ὁ τῶν ἐθνικῶν Συγγραφεὺς Προχύτιν (τινὶ παρ' Ἰταλοῖς Procida·) πρὸ τῆς Σικελίας τίθησιν, εἰ μὴ ταύτιν ἐξ ὁ μετρίε τῦ διαϛήματος λέγειν ἀξιοῖ ἀπέχεσαν ἀντικρυ. Κεῖται γὰρ ἡ Νῆσος εἰσπλέοσι τὸν τῆς καθ' ἡμᾶς Νεαπόλεως κόλπον, μέσον τῦ Μισινῦ Ἀκρωτηρίε, καὶ τῆς νήσε Αἰναρίας, ἀφ' ἧς καὶ διὰ σεισμῦ, φασὶν, ἀποσπασθεῖσαν οἷον προκεχύσθαι εἰς νήσε ἑτέρας πρόχωσιν, ἐξ ὃ καὶ Προχύτη ἤκασεν. Ὁ δὲ Μάρων (αἰπινὺ) προσείρηκεν, εἰ καὶ χθαμαλιὺ τὰ νῦν ὁρωμένιν, διὰ τὸ προλαβὸν ὕψωμα, πρὸ τῦ κατασεισθεῖσαν διασκεδασθῆναί τε καὶ ταπεινωθῆναι τινὶ ἀφ' ἧς προκέχυται· τινὶ πάλαι, ἤτοι Αἰναρίαν, παρὰ τινὶ ἐπ' αὐτῆς τῦ Αἰνείε ϛάσιν, ἢ γῶν Ἐναρίαν, ἀπὸ τῶν ἐπιπολαζόντων Πιθήκων: Enaria ab Enaribus ſimijs: (Πλίν: Φυσ. Ἱϛορ. Βιβλ: Γ. Κεφ: ϛ.) Enares γὰρ Λατίνοις οἱ Πίθηκες, διὰ τινὶ σιμότητα τῆς ῥινὸς, οἷον ἄρινες.

Στίχ:

Immanem veluti pecora inter inertia tigrim.
Continuo nova lux oculis effulsit, & arma
Horrendum sonuêre: tremunt in vertice cristæ
Sanguineæ, clypeoque micantia fulgura mittit.
Agnoscunt faciem invisam, atque immania membra
Turbati subito Æneadæ. Tum Pandarus ingens
Emicat, & mortis fraternæ fervidus irâ
Effatur: Non hæc dotalis regia Amatæ,
Nec muris cohibet patriis media Ardea Turnum.
Castra inimica vides; nulla hinc exire potestas.
Olli subridens sedato pectore Turnus,
Incipe, siqua animo virtus, & confere dextram:
Hîc etiam inventum Priamo narrabis Achillem.
Dixerat: ille rudem nodis, & cortice crudo
Intorquet summis adnixus viribus hastam.
Excepêre auræ vulnus: Saturnia Juno
Detorsit veniens; portæque infigitur hasta.
At non hoc telum, mea quod vi dextera versat,
Effugies: neque enim is teli, nec vulneris autor.
Sic ait, & sublatum alte consurgit in ensem,

Et

❀ ❀ ❀

Στίχ: 743. . . . ΕΙΝ ΑΡΙΜΟΙΣΙ. Τὰ Ἄριμα καὶ οἱ Ἄριμοι, (παρὰ Στεφ: τῷ Βυζ.) Ἄριμα δὲ καὶ ὄρη τινὲς εἶναι φασὶ, (περὶ ὧν ὁ Στράβων Γεωγρ. Βιβλ: ΙΓ.) Ἄριμα δὲ, καὶ τὴν κατακεκαυμένην Φρυγίας χώραν ἔνιοι τις ἂν κληθεῖσαν, παρ' Ἡσυχίῳ· οἱ δὲ πλεῖστοι τὴν Νῆσον αὐτὴν εἶναι βέλονται, τὰ Ἄριμα, τὴν Αἰναρίαν, περὶ ἧς ἀνωτέρω, ἣν Ἰναρίμην ὧδε ὁ Μάρων ὠνόμασε, καὶ μετ' αὐτὸν κοινῇ πάντες ποιηταὶ καὶ συγγραφεῖς οἱ Λατίνων. Εἶναι δὲ αὐτὴν μίαν ἐν ταῖς λεγομέναις Πιθηκέσαις Νήσοις, ταῖς παρὰ Τυρρηνοῖς, παρ' οἷς καὶ τὰς Πιθήκας, φασὶν, Ἀρίμας (ἴσ: Ἀρίνας) καλεῖσθαι, ὅ μέντοι Πλινίῳ ἐκ ἄρεσεν, (Βιβ: Γ. Κεφ: ε'.) Οὐ γὰρ ἀπὸ τῶν Πιθήκων, φησὶν, (ὅτινες ὑπέλαβον.) Sed à doliorum figlinis, (ἀπὸ τῶν κεραμίων δὲ πιθακνίων τῶν ἐκεῖ πλαττομένων, παρήχθη τὄνομα. Ὅπως ἄν σοὶ ἔχοι τὸ περὶ τούτε, ἐκεῖνο δῆλον, ὅτι ἐν τοῖς προκειμένοις ἔπεσιν ὁ Μάρων τὰ Ὁμήρε ἐκεῖνα μετήνεγκεν: Ἰλ Β. στίχ. 781.

„Γαῖα δ' ὑπεσονάχιζε, Διῒ ὡς τερπικεραύνῳ
„Χωομένῳ, ὅτε τ' ἀμφὶ Τυφωέϊ γαῖαν ἱμάσσῃ
„Ἐν Ἀρίμοις, ὅθι Τυφωέος ἔμμεναι ἐυνὰς.

Πῶς δὲ τὲς Ὁμηρικὲς Ἀρίμες, ἤ γοιῶ τὰ Ἄριμα, μετωνόμασεν Ἰναρίμην; τετὶ πράγματα τοῖς φιλολογῆσι παρέχειν, ὡς καὶ Οὐσσῖνον ἐν ταῖς Παραθέσεσιν ὁμολογῆν εἰλικρινῶς μὴ εἰδέναι: Ego certè fateor me nescire. Ἀλλ' ὅ δοκεῖ τινος ἔχεσθαι πιθανολογίας, ἐκ τῆ ἐν σωτάξει Ὁμήρῳ ἐηθέντος, (Εἰν Ἀρίμοις) εἰς τὸ ἐν σωθέσει ἡ φράσις παρενεχθεῖσα, εἰς τὰ Εἰναρίμα καὶ τὴν Εἰναρίμην ἐνβεβαρβάρωται, ὅθεν ἡ Λατινικὴ Ἰναρίμη, τὸ ἀρκτικὸν Ι) ἀντὶ τῆς διφθόγγε (ΕΙ) προσενεχθὲν, ἀπεμήκυνεν.

Στίχ: 744 ΚΕΪΤΑΙ ΥΠΕΡ ΤΥΦΑΩΝΑ κτ: Καὶ ταύτην ἄρα τὴν Νῆσον (τὰ Ἄριμα, ἢ τὴν Ἰναρίμην) τὴν ἐπιτεθεῖσαν εἶναι ὑπὸ Διὸς Τυφάωνι, φασὶν, ἐκ τῶν ἀναδιδομένων ἐξ αὐτῆς φλογῶν πλάσαντες, πιεζομένε τε καὶ καταφλεγομένε διὰ τὲκῶς αὐτόθι τῆ Τυφωέως, ὡς καὶ ἐν τῇ Σικελικῇ Αἴτνῃ μεμύθευται περὶ τῆ Ἐγκελάδε. (Ὅρα Ἀιν: Γ. στίχ. 602.) Καίτοι γε κατὰ τὸν Γεωγρ. Στράβωνα Βιβλ: ΙΒ. ἄλλοι μὲν ἐν Κιλικίᾳ, ἄλλοι δ' ἐν Συρίᾳ τὸν μῦθον πλάττεσιν.

Στίχ:

Ἐννὴ τε τρηχεῖ', ἥτις πάρος ἐν Ἀρίμοισι
Κεῖται ὑπὲρ Τυφάωνα, Διὸς γε τεθεῖσα κελεύσει.
Ἔνθα ὑπερμενέτης Ἄρης σθένος ὦρσε Λατίνοις,
Ἄλληκτον κραδίῃ πολεμίζειν ἠδὲ μάχεσθαι·
Φύζαν δ' ἔμπαλιν ἠδὲ δέος μέλαν ἔνθετο Τεύκροις.
Πάντοθεν ἦν ἀγέροντο, ἐπεὶ πέρι ἄνδανε χάρμη,
Καί σφιν καρτερόχειρ ψυχαῖσι Θεὸς γ' ἐπὶ ἆλτο.
Πάνδαρος ὡς δ' ἄτω πως ὃν κάσιν εἶδε πεσόντα,
Ὄπποι θ' ἡ Δαίμων ῥέπεν, οἵ τε τὰ πράγματα Φέρτο,
Στρέψασκ' αἶψα πύλιω σροφέας κρατερῶς περιάξας,
Ὦμος τ' εὐρέας ἄντ' ἀπερείσας· τῶν δ' ἄῤ ἑταίρων,
Οὓς μὲν ἄπο κλεῖσεν τε ἔρκος δῆριν ἐπ' αἰνὴν,
Οὓς δ' οἱ συγκλείσας ἅμα, εἴσω δέκτο ῥυέντας.
Νήπιος, ὃς Ῥοτόλων σίφεος κρείοντ' ἐνὶ μέσσῳ
Οὔτοι γ' εἰσελάσαντα νόησ' ἐπὶ Ἄξυ μετ' ἄλλοις,
Οἷην ὠμοτάτιω βληχροῖσιν οἴεσι Τίγριν.
Αὐτίκα τόφρα φάος νέον ὀφθαλμοῖς ἐπὶ λάμψε,
Δεινὸν δ' ἔβραχεν ὅπλα, λόφος τρέμε δ' οἱ κεφαλῇφι
Αἱμόχρως· ἀσπὶς δὲ σέλα σεροπῶν προΐαλλε.

Γνόν-

❁ ❁ ❁

Στίχ: 745. . . . . ΣΘΈΝΟΣ Ὦ́ΡΣΕ ΛΑΤΊΝΟΙΣ. Ἰλ: Β'. σίχ. 451. Αὐτε-
λεξεὶ:
„ . . . . Ἐν δὲ θένος ὦρσεν ἑκάστῳ
„Καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
Καὶ Ἰλ: Ε. σίχ. 507.
„Θέρος Ἄρηος . . . . μάχῃ Τρώεσσιν ἀρήγων.
Καὶ Ἰλ: Θ. σίχ. 335.
„ . . . . Τρώεσσιν Ὀλύμπιος ἐν μένος ὦρσεν.
Καὶ Ἰλ: Ν. σίχ. 59. Ἐννοσίγαιος τὸς Αἴαντας τῷ σκηπανίῳ:
„Ἀμφοτέρω κεκοπὼς πλῆσεν μένεος κρατεροῖο.
„Γυῖα δ' ἔθηκεν ἑλαφρὰ, πόδας καὶ χεῖρας ὕπερθεν.
Καὶ Ἰλ: Τ. σίχ. 37. Ἡ Θέτις Ἀχιλλεῖ τῷ υἱῷ:
„Ὣς ἄρα φωνήσασα, μένος πολυθαρσὲς ἐνῆκε.

Στίχ: 748. ΠΆΝΤΟΘΕΝ ΟΥ̓́Ν ἈΓΈΡΟΝΤΟ, ἘΠΕἸ ΠΈΡΙ ΆΝΔΑΝΕ ΧΆΡΜΗ.
Ἰλ: Β. σίχ. 453.
„Τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι.

Στίχ: 750. ΠΆΝΔΑΡΟΣ, ὭΣ . . . . ΌΝ ΚΆΣΙΝ ΕἼΔΕ ΠΕΣΌΝΤΑ Ὦ́ωσε
καὶ Ἰλ: Υ. σίχ. 419.
„Ἕκτωρ δ' ὡς ἐνόησε κασίγνητον Πολύδωρον
„Ἕντερα χερσὶν ἔχοντα, λιαζόμενον προτὶ γαίῃ.

Στίχ: 760. ΔΕΙΝΌΝ Δ' ἜΒΡΑΧΕΝ ὍΠΛΑ . . . . Ἰλ: Δ. σίχ. 420.
„Δεινὸν δ' εβραχε χαλκὸς ἀπὸ σήθεσσιν ἄνακτος
„Ὀρνυμένυ . . . . .
Στίχ: Αὐτ: . . . . ΛΌΦΟΣ ΤΡΈΜΕ . . . . Οὕτω καὶ Ἀχιλλεὺς
παῤ Ὁμήρῳ Ἰλ: Χ σίχ. 314.
„ . . . . Κόρυθι δ' ἐπένευε φαεινῇ
„Τετραφάλῳ, καλαὶ δὲ περισείοντο ἔθειραι
„Χρύσεαι κτ:

Et mediam ferro gemina inter tempora frontem
Dividit, impubeſque immani vulnere malas.
Fit ſonus: ingenti concuſſa eſt pondere tellus.
Collapſos artus, atque arma cruenta cerebro
Sternit humi moriens: atque illi partibus æquis
Huc caput, atque illuc humero ex utroque pependit.
Diffugiunt verſi trepidâ formidine Troës.
Et, ſi continuo victorem ea cura ſubiſſet,
Rumpere clauſtra manu, ſociosque immittere portis,
Ultimus ille dies bello, gentique fuiſſet.
Sed furor ardentem, cædiſque inſana cupido
Egit in adverſos.
Principio Phalarim, & ſucciſo poplite Gygen,
Excipit: hinc raptas fugientibus ingerit haſtas
In tergum: (Juno vires animumque miniſtrat.)
Addit Halyn comitem, & confixum Phegea parmâ:

Igna-

❀ ❀ ❀

Στίχ: 762. . . . . Ἄσπετα γυῖα, Ἦν γὰρ τῳ̃ ἀναδρομῳ̃ πελώριος ὁ Τύρνος, ὡς ἀνωτ: στίχ. 29. ἐλέγετο:

„ . . . . Πάντας ὅλῃ κεφαλῇ ὑπερίσχων.

Στίχ: 765. Οὔτοι σοὶ βασίλεια ἐέδνια κτ: Οὔκ' ἐν τοῖς Λατίνοις Ἀνακτόροις ἐνταῦθα Σὺ παραγεγονὼς τυγχάνεις, ἔνθα ἂν ἀποίσαιο τὰ ὑπὸ Ἀμάτης τῆς ἐκείνου δάμαρτος (οὐ γὰρ ὑπ' ἐκείνου) ἐπὶ τῳ̃ γάμῳ τῆς θυγατρὸς παρασκευασθέντα σοι ἕδνα, ἕτε Ἀρδέας ἐντὸς τῆς σῆς πόλεως, ὥστε σώζεσθαι ἐλπίσαι, ὦ Τύρνε.

Στίχ: 767. Δηΐα Ὤδ' Ἔρκη κτ: Ἐντὸς ἀρκύων ἐγένου, ἃ σοι διαφυγεῖν οὐκ ἐνέσται.

Στίχ: 768. Τῶ̃ δ' ὑπομειδιόων κτ: Ὡς ἄγαν θαρσῶν, οὐχ ὅπως ὁ πτήσσων Τύρνος ἐν μέσῳ τῶν πολεμίων μονωθεὶς, ἀλλὰ καὶ ὑπομειδιῶν ἐν ἀταράχῳ ψυχῇ τολμᾷ προκαλεῖσθαι εἰς μάχην τὸν ἐπιόντα Πάνδαρον.

Στίχ: 770. Καὶ ντα῀θα Πριάμῳ ἐρέεις κτ: Ὡς ἤδη νικήσας μεγαλορρημονῶν, Ἄγγελον εἰς Ἅιδε ὁ Τύρνος Πάνδαρον παραπέμπει, καὶ Πριάμῳ εἰπεῖν κελεύει, ὡς ἄρα καὶ ὧδε αὐτὸς ἄλλον εὕρατο Ἀχιλλέα. Τετὶ δ' ὅμοιον τᾷ ὑπὸ τῆ Πυῤῥᾳ τὸ πρὶν εἰρημένῳ σαρκαστικῶς πρὸς αὐτὸν Πρίαμον: Β. Λὶν: στίχ. 590.

„ . . . . Ὁ δ' οὔ γε πιφαύσεαι ἄγγελος ἐλθὼν
„Πηλείδῃ γενέτῃ . . . . . .

Παῤ ὅσον, ἐκεῖνο μὲν σεσάρκασαι τῆ Πριάμε τιὼ ἀφορμιὼ δεδωκότος, τῆτο δὲ κομπαζέσης ἐξὶν ἀπονοίας ἀνάπλεων.

Στίχ: 771. . . . . Φλοιῷ̃ χλοερῷ̃ Ὠμὸν ὁ Ποιητὴς εἶπεν, (Cortice crudo.) οἷον εἰκὸς ἀποβάντα Πάνδαρον, ἐκ τῆ ἐγγύθεν δρυμῶνος ἑαυτῷ̃ εἰς χρῆσιν ἀρτίως παρεσκευακέναι, μήπω περιξέσαι τε καὶ ἀποτορνεῦσαι εἰς κάλλος φθάσαντα.

Στίχ: 773. Δέκτο δ' ἀὴρ πληγὴν . . . . Ἐτώσιον γὰρ ἀφείθη τὸ Βέλος. Παῤ Ὁμ. δὲ Ἰλ: Ε. στίχ. 216. Τὰ ἔτως ἀφιέμενα, ἀνεμώλια ἤκεσε τόξα. Ἰλ: Φ. στίχ. 474.

„Νηπύτιε, τί νυ τόξον ἔχεις ἀνεμώλιον ἄυτως;

Καί τοι ἀνεμώλια παῤ αὐτῷ̃, ἄλλως, καὶ τὰ μάτιω εἰρηται ἀποκείμενα ἐν ἀπλοθήκαις, ὧν ἐδεμία γίγνεται χρῆσις.

Στίχ: 774. Ἄλλη τρεψαμένη. . . . . Ὥσπερ καὶ παῤ Ὁμήρῳ, Ἰλ: Υ. στίχ. 438.

„Ἕκτωρ ἀμπεπαλὼν προΐει δόρυ, καὶ τὸ γ' Ἀθιλὴ
„Πυοιῇ, Ἀχιλῆος πάλιν ἔτραπε κυδαλίμοιο,
„Ἠκα μάλα ψύζασα . . . . .

Στίχ:

Γνόντες δ' ἐχθίςιω ὄψιν τε καὶ ἄπετα γυῖα,
Αἴφνης Αἰνεάδαν θράχθεν, καὶ Πάνδαρος αὖτις,
Εἶο ῥὰ χωόμενος θανάτῳ κάσιος προτιήντα.
Οὗτοι σοι βασίλεια ἐέδνια ταῦτα Ἀμάτης,
Οὐδ' ἐρύει πατρίοις ἐνὶ τείχεσιν Ἄρδεα Τύρνον·
Δήϊα ὧδ' ἔρκη ὁράας, ὀδ' ἔςιν ἀλύξαι.
Τῷ δ' ὑπομειδιόων ἐν ἐκήλῳ ἤτορι Τύρνος·
Αἶκε σοὶ ἰωρέη, ἄγε, δεξιτερὴ παραβάλλευ·
Κἀνταῦθα Πριάμῳ ἐρέεις ἐυρέαθ' Ἀχιλῆα.
Πάνδαρος οὐ τρηχὺ, φλοιῷ χλοερῷ ἰδὲ τ' ὄζοις,
Ἀμπεπαλὼν δὴ δῦρον, ὅσον φένος ἶφι ἀφῆκε,
Δέκτο δ' ἀὴρ πληγιὼ· Κρονιὰς παρφθᾶσα γὰρ Ἥρη,
Ἄλλη τρεψαμένη αἰχμιὼ κατὰ πῆξε πυλῶνος.
Ἀλλὰ τοὐ' ὀ σὺ βέλος, τὸ ῥὰ δεξιτερὴ ἀναπάλλει
Ἡμὴ, φέυξεαι· οὐ γὰρ πω σοὶ ὁμοῖος ὁ βάλλων.
Ὣς φάτο· ῥίμφα δ' ἄρας ἐπὶ δὲ ξίφει ὄρθιος ἆλτο.
Καὶ μέσσον κροτάφων ἐδάϊξε διάνδιχα κόρσιω,
Τρώματ' ἀμαιμακέτῳ, ἀνιάλων τ' ἠδὲ παρειῶν.
Δάπησεν δ' ὁ πεσὼν, καὶ βρίθει γαῖα τινάχθη·
Γῆα δὲ πριωέα, ὅπλα θ' ἃ ἐγκεφάλῳ πεπάλακτο,
Κεῖτο χαμαὶ νέκυος· τὰ δ' ἄρ' μερίδας κατὰ ἴσας,
Ἐκκρεμὲς ἔσκ' ἀμφοῖν καὶ ἐπ' ὤμοιν, ἔνθεν ἰὸ ἔνθεν.
Χασσάμενοι Τρῶες τράπεν ἄρ πολλὰ ὑπὸ δείους,

S 2 Καὶ

Ignaros deinde in muris, Martemque cientes,
Alcandrumque, Haliumque, Noëmonaque Prytanimque,
Lyncea tendentem contra, ſocioſque vocantem,
Vibranti gladio connixus ab âggere dexter
Occupat: huic uno dejectum comminus ictu
Cum galea longe jacuit caput: inde ferarum
Vaſtatorem Amycum; quo non felicior alter
Ungere tela manu, ferrumque armare veneno:
Et Clytium Aeoliden, & amicum Cretea Muſis:
Cretea Muſarum comitem, cui carmina ſemper
Et citharæ cordi, numeroſque intendere nervis:
Semper equos, atque arma virum, pugnaſque canebat.
Tandem ductores, auditâ cœde ſuorum,
Conveniunt Teucri, Mneſtheus, acerque Sereſtus,
Palanteſque vident ſocios, hoſtemque receptum.
Et Mneſtheus: Quo deinde fugam? quo tenditis? inquit,
Quos alios muros? quæ jam ultra mœnia habetis?
Unus homo, & veſtris (ô cives) undique ſeptus
Aggeribus, tantas ſtrâges impune per urbem

Edide-

❁ ❁ ❁

Καὶ τῦ Δημοκόωντος δὲ ὑπὸ Ὀδυσσέως δεξὶ πεσόντος: Ἰλ: Δ. στίχ. 505.
„Χώρησαν δ' ὑπό τε πρόμαχοι, καὶ Φαίδιμος Ἕκτωρ.

Στίχ: 785. ΚΑΙ ΝΎΚΕΝ κτ: Τύρνε τις αἰτίασις ἥδε, ὅτι τῇ δοθείσῃ οἱ ἐυκαιρίᾳ ἐκ ἐπισαμένως ἐχρήσατο. Δηλῦται δὲ τὸ συμβαίνειν μέλλον, ἤτοι τὸ γεγονὸς ἄν, εἰ τόδ' ἐποίησεν· ἡ δὲ τῦ χήματος χρῆσις παρ' Ὁμήρῳ συχνὴ, ἐν διαφόροις ταῖς αἰτιάσεσιν οἷον Ἰλ: Ε. στίχ. 679.
„Καὶ νύ κ' ἔτι πλέονας Λυκίων κτάνε δῖος Ὀδυσσεὺς,
„Εἰ μὴ ἄρ' ὀξὺ νόησε μέγας κορυθαίολος Ἕκτωρ.
Καὶ Ἰλ: Θ. στίχ. 90. . . . . Καὶ νύκεν ἔνθ' ὁ γέρων (Νέστωρ) ἀπὸ θυμὸν ὄλεσσεν,
„Εἰ μὴ ἄρ ὀξὺ νόησε βοὴν ἀγαθὸς Διομήδης.
Καὶ αὐτ: στίχ. 130.
„Ἔνθακε λοιγὸς ἔλω, καὶ ἀμήχανα ἔργα γένοντο·
„Καὶ νύ κε σήκαθεν κατὰ Ἴλιον, ἠύτε ἄρνες,
„Εἰ μὴ ἄρ ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε Θεῶντε.
Καὶ Αὐτ: στίχ. 217.
„Καὶ νύ κεν ἔπρησεν (Ἕκτωρ) πυρὶ κηλέῳ νῆας ἐίσας
„Εἰ μὴ ἐπὶ Φρεσὶ θῆκε κτ:

Στίχ: 787. . . . . ΚΑΙ ΈΘΝΟΥΣ. Καὶ τῦ Ἀσκανίου δὴ τό τε ἀναιρεθέντος ἄν, ἐφ' ὃν ἡ ἐλπὶς πᾶσα τῦ τῶν Αἰνειαδῶν γένους ἐσάλευεν.

Στίχ: 789. ΔΕΙΝΗ΄ ΤΙΣ ΜΑΝΙ΄Η ΄ΑΝΔΡΟΚΤΑΣΙ΄ΗΣ κτ: ἡ γὰρ ἀλόγιστος κατὰ τῶν πολεμίων ὁρμὴ, τῆς ἐπὶ τὸ σωσῖσον προσοχῆς καὶ ἐυλογιστείας τὸν ἄνδρα παρήγαγεν· οὐχ οἷον τε γὰρ τὸν ὑπὸ σφοδροτέρᾳ κινέμενον πάθει νοεῖν τὰ δέοντα.

Στίχ: 790. . . . . ΤΜΗ΄ΞΕΝ ΔΕ΄ ΓΥ΄ΓΟΥ ΄ΙΓΝΥ΄ΗΝ· Λέγεται καὶ ἰγνὺς, καὶ ἰγνία, τὸ τῦ γόνατος ὄπιθεν μέρος, ἐν ᾧ καὶ Κῦρον, φασὶ, τὸν Ἀρταξέρξε ὁμαίμονα ἀκοντίῳ βληθέντα πεσεῖν, τῆς περὶ τὸν ἰγνύαν φλεβὸς ἀναῤῥαγείσης. (Πλὺτ. ἐν Βί: Ἀρταξ.) Καὶ ὁ Ἰδομενέος δ' ἑταῖρος ὁμοίως παρ' Ὁμήρῳ Ἰλ: Ν. στίχ. 212. πέπτωκεν,
„ —— κατ' ἰγνύην βεβλημένος ὀξέϊ χαλκῷ.

Στίχ: 791. . . . . ΈΛΓΣ ΑΙΧΜΑΙ΄Σ . . . . Ταῖς αὐτῶν ἰδίαις οὔς ἔφθασεν ἀπεκτονὼς· οὐδὲ γὰρ παρὼν αὐτῷ ὑπαπιστὴς ἐκεῖ, ὃς ἂν ἐξ ἑτοίμε τὰ βέλη ἐπιχορηγήσειεν.

Στίχ:

Καὶ νύκεν, ἔπερ ἄφαρ τέτῳ νικῶντι ἐπῆλθε,
Κλεῖθρα διαῤῥήξαντι ἑταίρης ἔνδον ἐσάξαι,
Ἦμαρ λοίθον ἐκεῖνο μάχης τε γένοιτο καὶ ἔθνης.
Τὸν δ' ἐπὶ ἀντιβίης φλεγυρὸν μάλα ἐμμεμαῶτα,
Δεινή τις μανίη ἀνδροκτασίης μετατρέψε.
Πρῶτ' ἄνελεν Φάλαριν, τμῆξεν δὲ Γύγε ἰγνύλιν,
Εἶτ' ὄτα φεύγοντας ἐπ' ἰχμαῖς κατὰ νώτων.
(Ἥρη αὐτῷ δ' ἄρ' μένος, ἠδ' ἀλκιὴ τε χορήγει)
Προθεὶς πέφνε δ' Ἄλιο, σιὴ δ' ἤλασε Φηγέα πέλτῃ.
Πρὸς δὲ τ' ἀρηϊφίλης ἐπ' ἐπάλξεσιν ἀγνοέοντας,
Ἄλκανδρὸν θ', Ἄλιόν τε, Νοήμονά τε, Πρύτανίντε.
Λυγκέα δ' ἀντιόωντα, ἑταίρης κεκλόμενόν τε,
Δεξιόθεν, πάλλων ἄορ, ἔμπλιο χώματος ἔφθη,
Καὶ τὸ σιὸ πήληκι καθεῖλε κάρηαρ τῆλε.
Εἶθ' ἕλε θηρολέτιο Ἄμυκον, τὸ φέρτερον ἄτις
Ἤιδει χάλκεα τόξα χυμοῖς δηλήμοσι χρίειν.

Κλύ-

❁ ❁ ❁

Στίχ: 792. ΗΡΗ ΑΥΤΩΙ κτ: Τὸ ἀπίθανον τῆς παραδοξολογίας ὑποθεραπεύων, ἐκ ἀθεεὶ παρίεησι τὸν Τύρνον τες τοσέτες φόνες διεργασάμενον· ὅπερ δὴ καὶ Ὅμηρος πολλάκις εἰώθει ποιεῖν, τες Θεὲς εἰσάγων ἀκμιὼ ἐνιέντας καὶ θάρσος, οἷς ἂν ἐθέλοιεν· ὥσπερ Ἀθιὼη Μενελάῳ Ἰλ. Ρ. στίχ. 569.

„Ἐν δὲ βίλω ὦμοισι καὶ ἐν γένασιν ἔθηκε,
„Καὶ οἱ μέγα θάρσος ἐνὶ στήθεσσιν ἐνῆκε.

Στίχ: 793. . . . . ΣΥΝ Δ' ΗΛΑΣΕ ΦΗΓΕΑ ΠΕΛΤΗι. Οὕτω σφοδρῶς Ἰθ καὶ βιαίως ἀκοντίσας, ὥςε σωκάμα τῷ ἀμωτηρίῳ ὅπλῳ καὶ αὐτον τὸν ὁπλίτιν σωδιαπεῖραι.

Στίχ: 794. . . . ΕΠ ΕΠΑΛΞΕΣΙΝ ΑΓΝΟΕΟΝΤΑΣ. Ἅτε δὴ τοῖς ἔξωθεν ἐπιέσι προσέχοντας, μηδὲ σωεωρακότας ὅλως τιὼ ἐν τῷ ὀχυρώματι τῆ Τύρνε εἰσέλευσιν.

Στίχ: 795 ΑΛΚΑΝΔΡΟΝ Θ' κτ: Ἔςι δ' ἐπὶ λέξεως τὸ ἔπος Ὁμήρε. Ἰλ: Ε. στίχ. 678 Ἀποροῖσιε δ' οἰῶτις, πῶς οἷον τε ὑπὸ Τύρνε καὶ δεύτερον ἀναιρεθῆναι, ἄγε τέτες αὐτὲς Ὀδυσσεὺς φθάσας ἀνεῖλεν ὑπὸ τὸ Ἴλιον; Ἀλλ' ἀπαντῆσαι πρὸς τιὼ ἀποριαν δοκοῦσιν εἰπόντες, ὅτι ἐ καθ' ἱςορίαν τῆ λεγομένε, ἀλλ' εἰς κάλλος τῆ λόγε τοῖς ὀνόμασι τέτοις ὁ Μάρων ἐξ Ὁμήρε ἠράνισαι. Ἐπιεικῶς δὲ εἰπεῖν, εἰ περὶ τὰ πράγματα τοῖς ποιηταῖς ἐπαυθεντεῖν ἐφεῖται, πῶς ἐχὶ καὶ περὶ τὰ ὀνόματα;

Στίχ: 798. ΚΑΙ ΤΟΥ ΣΥΝ ΠΗΛΗΚΙ ΚΑΘΕΙΛΕ κτ: Καὶ παῤ Ὁμήρῳ Ἰλ: Ξ. στίχ. 496.

„ . . . . Πηνέλεως δὲ ἐρυσσάμενος ξίφος ὀξὺ,
„Αὐχένα μέσσον ἔλασσεν, ἀπήραζεν δὲ χαμάζε
„Αὐτῇ σιὺ πήληκι κάρη . . . . (Ἰλιονῆος.)

Καὶ Ἀχιλλεὺς Δευκαλίωνος ὁμοίως, Ἰλ: Υ. στίχ. 481.

„ . . . . Φασγάνῳ αὐχένα θείνας
„Τῆλ' αὐτῇ πήληκι κάρη βάλε· μυελὸς αὖτε
„Σφονδυλίων ἔκπαλθ'. . . . . .

Στίχ: 800. . . . . ΤΟΞΑ ΧΥΜΟΙΣ ΔΗΛΗΜΟΣΙ ΧΡΙΕΙΝ. Ἦν γὰρ ἀμίλες καὶ φάρμακόν τι τοξικὸν καλέμενον, ᾧπερ οἱ βάρβαροι τὰ τόξα χρίειν εἰώθεσαν· περὶ ἧ Διοσκορίδης Βιβλ: ς'. Κεφ: 20 Καὶ Παῦλος ὁ Αἰγινίτης Βιβλ: Ε'. Κεφ: 53 Καὶ Νίκανδρ. ἐν Ἰοῖς Ἀλεξιφαρμάκοις, στίχ. 207.

„Τῷ μὲν Γερραῖοι Νομάδες χαλκήρεας αἰχμὰς,
„Οἵ τε παῤ Ἐυφρήταο ῥόον πολέοντες ἀρέρας
„Χραίνεσι . . . . . .

Ediderit? juvenum primos tot miſerit Orco?
Non infelicis patriæ, veterumque Deorum,
Et magni Æneæ, ſegnes miſeretque, pudetque?
Talibus accenſi firmantur: & agmine denſo
Conſiſtunt. Turnus paulatim excedere pugnâ,
Et fluvium petere, ac partem, quæ cingitur amni.
Acrius hoc Teucri clamore incumbere magno,
Et glomerare manum. Ceu ſævum turba leonem
Cum telis premit infenſis: at territus ille,
Aſper, acerba tuens, retro redit; & neque terga
Ira dare, aut virtus patitur, nec tendere contra,
Ille quidem, hoc cupiens, potis eſt per tela viroſque.
Haud aliter retro dubius veſtigia Turnus
Improperata refert, & mens exæſtuat irâ.
Quinetiam bis tum medios invaſerat hoſtes:
Bis converſa fugâ per muros agmina vertit.
Sed manus è caſtris propere coit omnis in unum,
Nec contra vires audet Saturnia Juno
Sufficere: aëriam cœlo nam Juppiter Irim

Demi-

❁ ❁ ❁

Ὅπερ ὁ Σχολιαστὴς ἔτω, φησὶ, κληθῆναι, ὅτι καὶ Πάρθοι, καὶ Σκύθαι τοξεύοντες, τέτῳ παραγρίεσι τὰς τῶν βελῶν ἀκίδας. Καὶ ἐὰ Ὀδυσσεὺς δὲ τῆς τοιᾶς δε τῦ θηρολέτου Ἀμίκε τοξικῆς φαρμακείας φαίνεται παρημεληκὼς: Ὀδυσ. Α. στίχ. 261.

„Φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ ἔπη
„Ἰὸς χρίεσθαι χαλκήρεας . . . .

Αἰλιανὸς δὲ τῆ ἐπίνοιαν ἐκ μοχθηροτάτε εὑρεθῆναι ζωϋφίε παρέδωκε· „(περὶ Ζώων Βιβλ: Ε. Κεφ: 13.) λέγονται γὰρ (φησὶ) τῶν Σφηκῶν οἱ κε„κεντρωμένοι καὶ ἐκεῖνο δρᾶν· ὅταν θεάσωνται νεκρὰν ἔχιδναν, οἱ δ' ἐμπίπ„τσι καὶ φαρμάττσι τὸ κέντρον. ὅθεν μοι δοκῶσι μαθεῖν καὶ οἱ ἄνθρω„ποι μάθημα, καὶ τῦτο ἐκ ἀγαθὸν.

Στίχ: 801. ΚΑΥ΄ΤΙΟΝ ΑΙ΄ΟΛΙΔΗΝ κτ: Τὸν ἅτε ἐκ Τρωὸς τινος Αἰόλε πατρωνυμέμενον, ἅτε καὶ πρὸς αὐτὸν τὸν ἀνέμων ἔφορον τὸ γένος, καθάπερ καὶ Ὀδυσσεὺς, ἀναφέροντα· ἅτε τέως καὶ ἐν τῆς Αἰολίας καταγόμενον, πολλῶν ἐντεῦθεν παροικέντων τὴ Τρωικὴ χώραν, ὡς ὁ Κέρδης φησὶν. ὅθεν καὶ Αἰολὶς αὐτὴ ἐν μέρει ὠνόμασαι, παρὰ Στράβ. ἐν Γ. τῶν Γεωγραφικῶν.

Στίχ: 802. ΚΡΗΘΕ΄Α ΜΟΥΣΑ΄ΩΝ Ὀ΄ΠΕΩΝΑ κτ: Τὴν περὶ Κιθαρωδίαν ἀσκῆνται Ποίησιν. Ὃν καὶ διὰ τὴν ἐπαγγελίαν τῇ ἐπαναλήψει τῦ ὀνόματος ἐπισεμνιώες. Ποιηταὶ γὰρ Ποιητὰς ἐκ ἔθ' ὅπως μὴ ποιῆσιν πολλᾶ· Ταύτῃ τοι καὶ Ὅμηρος ἐκθειάζει, (Ὀδυ: Θ στίχ. 44.)

„Δημοδόκον· τῷ γὰρ ῥὰ Θεὸς πέρι δῶκεν ἀοιδὴν
„Τερπνὴν, ὅππῃ θυμὸς ἐποτρωίησιν ἀείδειν.

Καὶ αὖ στίχ. 62. ἀποκαλεῖ: . . . . . ἐρίηρον ἀοιδὸν,

„Τὸν πέρι Μῦσ' ἐφίλησε . . . .

Καὶ Ὀδυσ: δὲ Ν. στίχ. 26. περὶ τῦ αὐτῦ λέγων:

„ . . . . . Θεῖος ἀοιδὸς
„Δημοδόκος, λαοῖσι τετιμένος . . .

Κατὰ ταὐτὰ οὖ καὶ ὧδε ὁ Μάρων, διὰ τεσσάρων ἐπῶν τῶν Κηθέα ἐκλείσεν.

Στίχ: 805. ΟΨΕ΄ Δ' ΄ΑΓΟΙ΄ . . . . Πρός ἄλλοις ἔχοντες τὸν νεῶν, τὸ τέως ἐπισραφέντες, τῆς γινομένης ἐπήθοντο τῶν ἰδίων ἐντὸς τῦ ὀχυρώματος θραύσεως.

Στίχ:

Κλύτιον Αἰολίδιω τε, Φίλον δέ τε Κρηθέα Μώσας.
Κρηθέα Μωσάων ὀπέωνα, ὅτιω ἔπὲ αἰὲν
Ἠδέα, καὶ κίθαρις, νευρὰς ῥυθμοῖς τ' ἐπιτάναν,
Ὅς θ' ἵππως ἀνέρων ἤειδε, καὶ ὅπλ', ἰδὲ δήρις.
Ὀψὲ δ' ἀγοὶ σφετέρων ἀνδροκτασίας σωιέντες,
Τεῦκροι σώ τε ἔβαν, Μνεσθέυς τ' ὀξὺς τε Σερέσης,
Δέρξαν ἀτυζομένως δ' ἑτάρως, καὶ δήϊον ἔνδον.
Μνεσθεὺς δ' ἄρ, ποῖ φύξις; ὅποι δὴ πτεύδετ'; αὖτε'
Ἔσθ' ὑμῖν ἄλλα προτέρωσέ τιν' ἔρκεα τοίχων;
Εἷς ἀνὴρ, πολιῆται, ἐνειρχθεὶς ἡμετέροισι
Χώμασι, τοσσατίως γε τετύξεται ὅιος ὀλέθρως;
Ὁπλοτέρων δὲ τόσως λογάδων ἄϊδι προϊάψει;
Οἰκτρῆς δὲ σφέας ἠκ ἄρα πάτρης, ἠδὲ Θεῶν περ,
Τῶν πάρος ἡμετέρων, ἔτ' Αἰνείω μεγάλοιο,
Νωθεῖς τ' ἀδρανέας τ', οἶκτος τ' αὐδώς τε κατίχει;
Τοῖσιν ὑπεξαφθέντες, ἴλιω πύκασάν τε καὶ ἔξαν.
Ἠρέμα τόφρα μάχης δ' ἐκχωρεῖν ἤρξατο Τύρνος,
Καὶ ποταμὸ δίζεθ' ἵνα χῶρος ζώννυτο ῥείθρω.
Τεῦκροι δ' ὀξύτερον πολλῷ θρῷ σώ τ' ἐλέλιχθεν.
Ὡς δ' αἴθωνα λέοντα, ἀγερθεὶς ἄμμιγα ὄχλος
Δυσμενέως βάλλει· ὁ δὲ ἔμπης καὶ δεδιὼς περ,
Τρηχύς τε βλοσυρὸς τ' ἀνακάμπτει, ἠδ' ἄρα νῶτα

T 2 Ἄν-

❋ ❋ ❋

Στίχ: 809. ΕΣΘ' ΥΜΙΝ ΑΛΛΑ κτ: Ὡς καὶ Αἴας τοῖς Δαναοῖς ὠμοκλήσασκε παρὰ ταῖς Ναυσὶν ὑπὸ Τρώων πιεζομένοις. Ἰλ: Ο. στίφ. 735.

„Ἦέ τινας φαμὲν εἶναι ἀοσσητῆρας ὀπίσσω
„Ἦέ τι τεῖχος ἄρειον, ὅ κ' ἀνδράσι λοιγὸν ἀμύναι;
„Οὐ μέν τις χεδόν ἐστὶ πόλις, πύργοις ἀραρυῖα,
„Ἢι κ' ἀπαμυναίμεθ' ἐτεραλκέα δῆμον ἔχοντες.

Στίχ: 810-815. ΕΙΣ ΑΝΗΡ, ΠΟΛΙΗΤΑΙ κτ: Πολλαχόθεν ὁ Μνεσθεὺς ἐντρέπων τὲς Τρῶας εἰς ἄμιναν παρορμᾷ. Ἐκ τῆς τῶ πολεμίω μονώσεως, ὅτι εἷς· Ἐκ τῶ ὀλέθρου, ὃν ἐν αὐτοῖς ἐργάζεται. Ἐκ τῶν ἀναιρεθέντων ἤδη, ὅτι καὶ νέοι, καὶ ἐπίλεκτοι, καὶ ὐδ' ὀλίγοι. Ἐκ τῆς πατρίδος, ἐκ τῶν Θεῶν, ἐκ τῶ Ἡγεμόνος ἀπόντος, ὧν ἀμυναθῆναι μὴ προθυμηθῶσι, χέτλιον ἅμα καὶ πάναισχρον.

Στίχ: 816. . . . . ΙΛΗΝ ΠΥΚΑΣΑΝΤΕ ΚΑΙ ΕΣΤΑΝ. Οὕτω καὶ Ἕκτωρ παρ' Ὁμήρω, τὲς ἰδίους στρατιώτας μάχεθαι, ἔγειρε φύλοπιν αἰνὴν. Ἰλ: Ζ. στίχ. 105.

„Οἱ δ' ἐλελίχθησαν, καὶ ἐναντίοι ἔσαν Ἀχαιῶν,
„Ἀργεῖοι δ' ὑπεχώρησαν, λῆξαν δὲ φόνοιο.

Στίχ: 820—825. ΩΣ Δ' ΑΙΘΩΝΑ ΛΕΟΝΤΑ κτ: Οὕτω πως καὶ Ὅμηρος Ἰλ: Λ. στίχ. 547.

„Ὡς δ' αἴθωνα λέοντα βοῶν ἀπὸ μεσάυλοιο
„Ἐσσεύοντο κυῶες τε καὶ ἀνέρες ἀγροιῶται,
„Οἵ τε μὶν ἐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι,
„Παννύχιοι ἐγρήσσοντες· ὁ δὲ κρειῶν ἐρατίζων
„Ἰθύει, ἀλλ' ἔτι πρήσσει· θαμέες γὰρ ἔκοντες
„Ἀντίον αἴσσουσι θρασειάων ἀπὸ χειρῶν,
„Καιόμεναί τε δεταὶ, τάς τε τρεῖ, ἐσσύμενός περ·
Ἠῶθεν δ' ἄπο νόσφιν ἔβη τετιηότι θυμῷ.

Στίχ:

Demiſit, germanæ haud mollia juſſa ferentem,
Ni Turnus cedat Teucrorum mœnibus altis.
Ergo nec clypeo juvenis ſubſiſtere tantum,
Nec dextra valet: injectis ſic undique telis
Obruitur: ſtrepit aſſiduo cava tempora circum
Tinnitu galea, & ſaxis ſolida æra ſatiſcunt,
Diſcuſſæque jubæ capiti: nec ſufficit umbo
Ictibus: ingeminant haſtis & Troës, & ipſe
Fulmineus Mneſtheus: tum toto corpore ſudor
Liquitur, & piceum (nec reſpirare poteſtas)
Flumen agit: feſſos quatit æger anhelitus artus.
Tum demum præceps ſaltu ſeſe omnibus armis
In fluvium dedit: ille ſuo cum gurgite flavo
Accepit venientem, ac mollibus extulit undis;
Et lætum ſociis, abluta cæde remiſit.

LIB. IX. ÆN. EXPLICIT.

❀ ❀ ❀

Στίχ: 823. ΄ΑΝΣΤΡΟΦΑ ΔΟΎΝ' ΄ΑΝΕΊΧΟΙΤΟ, Ἀναστρέψας δηλ: τὰ νῶτα δέ-ναι ἐκ ἂν τλαίη· Ἀλλ' ὑποχωρεῖ (ὡς φησὶν Ὀππιαν. Κωνηγετ. Βιβλ: Δ.) ἐπιστροφάδιν· ἤτοι ἐν τῷ ὑποχωρεῖν μεταξὺ ἐπιστρέφων· τοῦτο δ' ἐστὶν, ὅπερ ὧδε φησὶν ὁ ἡμέτερος:

„Τρηχύς τε βλοσυρὸς τ' ἀνακάμπτει . . . .
Ἄλλως καὶ γὰρ ὁ πέφυκε Λέων εἰς φυγὴν τραπεὶς δρόμῳ χρῆσθαι, ἀδ' ἐλαυνόμενος· ἀλλὰ βάδιν ὑποχωρεῖ, καὶ κατὰ σκέλος, καὶ κατὰ βραχὺ ἐπιστρεφόμενος· (Ἀριστ. περὶ Ζῴ. Ἱστορ. Βιβλ: Θ'.) ὁ δὲ Πλίνι: (Φυσ. Ἱστ. Η. Κεφ: ΙΖ.) ἐν μὲν χωρίῳ ἀναπεπταμένῳ, ἄποπτος ὤν, ὕτω βάδιν: (προσιόντι) λόχμιν δέ τινα εἰσδὺς, ἔπειτα ὀξύτατος θέει· velut abſcondente turpitudinem loco. (οἱονεὶ τῆς χώρας αὐτῷ τὸ αἶσχος ἀποκρυπτούσης.

Στίχ: 826. ΄ΟΥΚ ΄ΑΛΛΩΣ ΄ΟΠΊΣΩ . . . . ΄ΙΧΝΙΑ ΤΎΡΝΟΣ. Οὐκ ἄλλως καὶ ἐπὶ τῆς Ἕκτορος καὶ τῶν Τρώων ἐφορμήσεως: Ἰλ: Ο. στίχ. 727.

„Αἴας δ' ἐκέτ' ἔμιμνε, βιάζετο γὰρ βελέεσσιν.
„Ἀλλ' ἀνεχάζετο τυτθὸν, εἰόμενος θανέεσθαι.

Στίχ: 831. ΄ΟΥΔΈΚΕ ΤΟΣΣΑΤΊΩΝ ΚΡΟΝΙΑ΄Σ ΚΑΤΑ΄ ΄ΗΡΚΕΣΕΝ ΄ΗΡΗ· οὐκ ἀδυνατοῦσα ἡ Θεὸς, τῷ Διὶ δ' ἐδαμῶς ἐπιτρέποντος, ὡς ἐφεξῆς δηλοῦται.

Στίχ: 832. ΄ΙΡΙΝ ΚΑΙ΄ ΓΆΡΤΟΙ κτ: Ἡ κατ' ἀρχὰς τῆ Βιβλίᾳ, ὑπὸ ΄Ηρας πεμφθεῖσα ΄Ιρις, ὥστε Τύρνον κατὰ Τρώων διεγεῖραι, νῦν τῇ ΄Ηρῃ ἐπαπειλήσασα πέμπεται, ἣν μὴ Τύρνος ἀφέρῃ τὸ Τρωϊκὸν ὀχυρώματος. ΄Ορα δὲ τινὰ ΄Ιριν ὁμοίως ἄγγελον ὑπὸ Διὸς πεμπομένην ΄Ηρῃ τε δὴ, καὶ Ἀθηνᾷ μετὰ ἀπειλήσεων: Ἰλ Θ. στίχ. 399. Καὶ Ποσειδᾶνι δὲ, Ἰλ: Ο. στίχ. 174.

Στίχ: 835. ΤΟΙ΄ ΓΑ΄Ρ ΄ΟΙ΄ Ο΄ΥΔΕ΄ ΣΑ΄ΚΕΙ . . . . ΄Ωστε μὴ βάλεσθαι·

Στίχ: 836. ΟΥ΄Δ' Ο΄ΥΝ ΔΕΞΙΤΕΡΗ͂Ι . . . . ΄Ωστε βαλεῖν. τοῦτο δ' ἐστὶν εἰπεῖν, ὅτι οὐδὲ μὴ παθεῖν εἶχεν ἐπιμένων, οὐδέ τι δρᾶσαι.

Στίχ: 837. ΒΑ΄ΛΛΕΤΟ ΠΑΝΤΑΧΟ΄ΘΕΝ . . . . ΄Ορα καὶ τὸν παρ' Ὁμήρῳ Αἴαντα, ὑπὸ Τρώων ἀθρόων περισιχόμενον ὡσαύτως, καὶ τὰ ὅμοια πάσχοντα. Ἰλ: Π. στίχ. 102. κτ:

„Αἴας δ' οὐκέτ' ἔμιμνε. κτ:

Στίχ: 842. ΄ΙΔΡΩ΄Σ . . . . ΠΙΣΣΗ΄ΕΙΣ . . . . Διά τε τὸν χροιὰν Ἰὼ ἐκ τοῦ σωματουμένου κονιορτοῦ, τῇ μίξει ὑπομελαινόμενος, καὶ διὰ τὸ γλισχρόν τε καὶ ἰξῶδες.

Στίχ:

Ἄνδροφα δ' ἂν ἀνέχοιτο, ἔκητι χόλοιο καὶ ἀλκῆς·
Οὔτ' αὖ ἀντιάων, καί τοι μάλα ἱέμενός περ,
Οἷος ἄρ' ἔς' ἱέναι διὰ δὴ βελέων τ' ἀνδρῶντε·
Οὐκ ἄλλως ὀπίσω ἀμφίῤῥοπος ἴχνια Τύρνος
Ἀπεδὲι πάλιν ἦγε, χόλῳ δ' οἱ πίμπρατο ἧτορ.
Δισσάκι δυσμενέεσσιν ἐνώρσ' ἐν μέσσοισι,
Δὶς φυγάδας δὲ τρέψεν ἐλάσσας τείχεσιν ἅλας.
Αἶψ' ἀλλ' ὠρίνθη ῥατὸς ἄθρους ἐκ κλισιάων·
Οὐδέ κε τοσσατίων Κρονιὰς κατὰ ἤρκεσεν Ἥρη.
Ἶριν καὶ γάρ τοι Ζεὺς ἀρανόθεν καθέηκεν,
Οὐκ ἔπε' αἰμύλα εἰο κασιγνήτῃ ἐρέεσαν,
Ἦν ἄρα μὴ Τεύκροις ἀπολείποι τείχεα Τύρνος.
Τοιγὰρ ὅγ', ὐδέ σάκει τε λοιπᾷ εἶχ' ὑπὸ μίμνειν,
Οὐδ' οἰῷ δεξιτερῇ γ' ἀποχρῆθαι, ἐπεὶ βελέεσσι
Βάλλετο πανταχόθεν· θαμὰ δ' ἀμφὶ ἔθεν κροτάφοισι
Πήληξ βαλλομένη κανάχιζ', ὐδ' ἔμπεδος ἦεν
Χαλκὸς· ὑπαὶ δὲ μύλαξι λόφος κόρυθος δεδάϊκτο.
Οὔτ' ἀσπὶς πληγῇσιν ἐπήρκει, κραιπνὰ δ' ἐ βάλλον
Ἔγχεσι καὶ Τρῶες, καὶ Μνεσθεὺς σκηπτῷ ἐοικὼς.
Ἱδρὼς δ' ἐκ μελέων πισσήεις ἄφθονος ἔῤῥει,
Οὐδ' ἔχεν ἀμπνεῦσαι· κεκαμὼν σφοδρὸν δ' ὑπ' ἀγῶνος,
Ἄθματι ἀργαλέῳ ἐπενώμα γυῖα τινάσσων.
Καὶ ῥ' ἰταμῷ δὴ τῆμος ἐν ἅλματι, πᾶσι σὺν ὅπλοις,
Ῥίψεν ἐ καῤῥείθρων ποταμὸ· ξανθαῖς ὃς δίναις
Δέξατο ἐρχόμενον, καὶ κύμασ' ἐπῇρ' ἀπαλοῖσι·
Λύθρων δ' ἐκπλώας φαιδρὸν προσαγήοχ' ἑταίροις.

ΤΕΛΟΣ ΤΟΥ Θ'. ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ ΒΙΒΛΙΟΥ.

❁ ❁ ❁

Στίχ: 845. . . . . ΠΑΣΙ ΣΥΝ ΟΠΛΟΙΣ. Ὥσπερ δὴ καὶ Κοκλῆς ὁ Ῥωμαῖος, Πορσινὰ ὕστερον πολιορκοῦντος τὴν Ῥώμην, ἀπὸ τῆς γεφύρας ἔνοπλος, καὶ τραυματίας ὤν, εἰς τὸν ποταμὸν ἥλατο καὶ διεξέφυγε. (περὶ ᾧ ὅρα ς'. Αἰν. στίχ. 671. Καὶ Ἀχιλλεὺς παῤ Ὁμ: Ἰλ: Φ. στίχ. 18. ἐν τῷ δινήεντι Ξάνθῳ εἰσπεσών, ἔνθορε δαίμονι ἶσος. Ἀλλ' ὁ μὲν ἐλαύνων τοὺς Τρῶας, Τύρνος δὲ φεύγων.

Στίχ: 846. . . . . ΞΑΝΘΑΪΣ ΟΣ ΔΙΝΑΙΣ. Ὅρα Αἰν: Ζ. στίχ. 32.

Στίχ: 847. ΔΕΞΑΤΟ ΕΡΧΟΜΕΝΟΝ . . . . Εὐμενῶς ὁ Τίβρις καὶ Τύρνον ὑπεδέξατο ἐμπεσόντα· πρῶτον μὲν, ὅτι τὸν προσφυγα προδῶναι, ἢ κακοποιῆσαι, καὶ δυσμενῆ τυγχάνοντα, ἐκέτι θεῖον· ἔπειτα δὲ, ὅτι ἤδει, ἅτε Θεὸς ὁ Τίβρις τῶν πραγμάτων τὸ τέλος, ὡς εἰς δόξαν τέως ἀπολῆξον Αἰνείᾳ τε καὶ τῶν Τρώων, ὑπὲρ ὧν ἵστατο. (Ὅρα Η'. Αἰν: στίχ. 37—67.

ΤΕΛΟΣ ΤΩΝ ΕΙΣ ΤΟ Η'. ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ

Σημειώσεων.

P. VIRGILII MARONIS
AENEIDOS
LIBER X.

Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ
ΤΗΣ
ΑΙΝΕΙΑΔΟΣ
ΒΙΒΛΙΟΝ Ι.

ΤΟΥ Γ. ΤΗΣ

ΑΙΝΕΙΑΔΟΣ

ΒΙΒΛΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Θεῶν ἀγορὰ ἐν Διὸς συγκροτεῖται, εἰς βελτὼ σωαγείροντος· καὶ, πρὸς γοῦν τὸ παρὸν, εἰς ὁμοφροσύνην αὐτὰς πειρωμένη ἀναλέσαι ἀλλήλοις ἐριζοντας· ἔσεσθαι γὰρ αὐτοῖς ἐπὶ τῶν Καρχηδονικῶν ὕστερον, ὅτε διοισομένοις εἰς μοίρας ἀντιπάλοις ἀποκριθῶσι συμβήσεται. Ἐνταῦθα Κύπρις ἐξαναξᾶσα, τῶν δεινῶν ἕνεκα ποτνιᾶται, ὧν οἱ Τρῶες, κατὰ μῆνιν Ἥρας, εἰς πεῖραν ἦλθον· καὶ ὑπὲρ Ἀσκανίου μάλιστα, ὅπως ἂν αὐτῇ σωθείη ὁ παῖς, ἱκέτις καθίσαται. Ἥρα δ' ἐπὶ τούτοις ἀπολογισμένη, Αἰνείᾳ τε δὴ, καὶ Τρώων, καὶ Ἀφροδίτης αὐτῆς ἀντικαταφέρεται. Ζεὺς δὲ τῆς μεταξὺ τούτων διαλλαγῆς ἀπογνοὺς, ἐφ' ᾧ, μήτε τῇ ὁμαίμονι καὶ ὁμευνέτιδι, μήτε δὲ τῇ θυγατρὶ προσοχθίσαι, ἀδιαφορήσειν, τὸ γ' ἐπ' αὐτῷ, ἐπαγγέλλεται, καὶ Μοίραις ἐπιτρέψειν τιὼ τῶν πραγμάτων ἔκβασιν. Ἐν τούτοις Αἰνείας, σωάμα τῷ ἐξ Ἐτρύσκων συμμαχικῷ, ἐπὶ νηῶν κατάρας τριάκοντα, τὰς μὲν ἰδίας, ἃς ἀπιὼν ἐνορμισαμένας καταλελοίπει, εἰς Νύμφας παραδόξως μεταβαλούσας οὐχ εὗρε, τοὺς δ' ἐν τῷ ὀχυρώματι ἑταίρους ὑπὸ τῶν πολεμίων δεινῶς πολιορκουμένους κατείληφε. Καὶ δὴ, τὸ μὲν ἀποβῆναι προθυμουμένους, τῶν δὲ ἀπ' ἐναντίας, ὥστε τῆς ἀποβάσεως ἀπεῖρξαι ἀντιπαρατασσομένων, μάχη συρρήγνυται καρτερὰ· ἐν ᾗ Πάλλας ὁ τοῦ Ἀρκάδος Εὐάνδρου ἀναιρεῖται πρὸς Τύρνου, ἀνδραγαθισάμενος πρῶτον, καὶ προανελεῖν αὐτὸς φθάσας τῶν πολεμίων μάλα συχνούς. Αἰνείας δὲ ἐπὶ τῇ Πάλλαντος ἀναιρέσει οἷα εἰκὸς ὑπεραλγήσας, δεινῶ τινα τοῖς Ῥοτόλοις ἐνειργάσατο θραῦσιν, σωεπεκδραμόντων οἱ, ἅμα σὺν Ἀσκανίῳ, καὶ Τρώων, τῶν τέως οἷον μορφορραφουμένων ἐντὸς τῶν ἐπάλξεων. Γνοῦσα τοίνυν Ἥρα ἐν ἀκμῇ κινδύνου Τύρνον σρεφόμενον, εἴδωλον αὐτῷ ἀμενηνόν τι, μορφοῦ φέρον τιὼ τοῦ Αἰνείου, ἀντιπαρίζησιν. Ὁ δὲ τὸ φάσμα, ὡσεὶ καὶ αὐτὸν Αἰνείαν ὄντα ἐλαύνων, ἄχρι καὶ μιᾶς τῶν νηῶν ἐντὸς ὄπισθεν ἐκείνου εἰσάλλεται· ἔνθα τοῦ εἰδώλου ἀπ' ὀφθαλμῶν αὐτῷ γενομένου, ἐν ἀμηχανίᾳ τε ἦν καὶ ἀπογνώσει.

ἀπο-

ἀπορῶν ὅποι τραπήσεται. Τῶν οὖ τῆς νεὼς πεισμάτων ὑπὸ Ἥρας διαῤῥηχθέντων, ἐπ᾽ Ἀρδέας, ἧς αὐτὸς πόλεως ἦρχε, παρασυρεὶς τῷ ῥοθίῳ καὶ ἄκων κατάγεται. Ἐντεῦθεν ἐπὶ τῆς μάχης Μεζέντιος ἀντικαθίσταται, καὶ τῶν μὲν Τρώων καὶ τῶν ἐπικούρων καταβάλλει πολλούς, Αἰνείᾳ δὲ συμβαλὼν καιρίαν τιτρώσκεται. Καὶ Μεζέντιος μὲν πρὸς τὸ ὑὸ Λαύσου, προβολῇ τῆς ἀσπίδος, τῷ τιμωκαῦτα ἐκρύεται, ἀπόμαχός τε γεγονὼς ὑπεξίσταται· Λαῦσος δὲ, ἀντίτε, καὶ ὑπὲρ τὸ Τοκέως ἀμυνόμενος πίπτει. Ὁ δὲ πατὴρ τὸν υἱὸν πεσόντα καταμαθὼν, καὶ τραυματίας ἤδη, ὅμως ἔφιππος ἐπανιὼν, ᾗ περ εἶχεν, οἱονεὶ ἀναμαχησόμενος, καὶ τὸν φῶτα ὑπεκδικήσων, τῆς τὸ Αἰνείου τέως κὴ αὐτὸς ἔργον δεξιᾶς γίγνεται.

ΕΠΙΓΡΑΦΗ

Τῆς Γ. τὸ Μάρωνος Ῥαψῳδίας.

Τύρνος μαψιδίως Αἰνείου φάσμ᾽ ἐλασάσκει.

Ἄλλη:

Αἰνείας Λαῦσον τ᾽, ἰδὲ Μεζέντιω καταπέφνει.



P. VIRGILII MARONIS

AENEIDOS

LIBER X.

PAnditur interea domus omnipotentis Olympi;
Conciliumque vocat Divûm pater, atque hominum rex
Sideream in ſedem: terras unde arduus omnes,
Caſtraque Dardanidum aſpectat, populoſque Latinos.

Con-

❋ ❋ ❋

Στίχ: 1. ΕΥ̓ΤΕ ΠΟΛΥΠΤΎΧΟΥ κτ: Omnipotentis ἀναγινώσκεται παρὰ Μάρωνι. (Πανθενέος) ἢ κατ-ἄλλες omnipatentis (ὡς εἰπεῖν πανταναϊκτε.) ἢ ἄλλ: omniparentis (τε πατρὸς πάντων.) Ὧν τὸ μὲν Α΄· καὶ τὸ Γ΄. τῷ Ὀλυμπίῳ, ἤτει τῷ Κρόνε πατρὶ μᾶλλον προσάραρεν, ὅς πρῶτος τε παντὸς ἐδωμάξευσε κόσμε, καὶ γήμας τὴν γῆν ἐτέκνωσε τὲς μυθολογεμένες Θεὲς (Ἀπολλόδ. Βιβλ: Α. Κεφ: Α.) τὸ δὲ Β΄. αὐτῷ τῷ Ὀλύμπῳ ἀντὶ τε ὁλολαμπὲς ὐρανὲ ιοεμένῳ, ὃν καὶ πολύπτυχον ἡμῖν ἐνταῦθα ἔδοξε προσειπεῖν, ὡς τῷ μὲν ὄρει προσῆκον διὰ τὰς πολλὰς ἀποκλίσεις καὶ ἐξοχάς τε καὶ φάραγγας, τῷ δ' ἀεραιῷ διὰ τὰς ἐπαλλήλες σφαίρας· πτύχες δὲ ἄλλως εἴρηνται καὶ αἱ τῶν θυρωμάτων σανίδες: ὥστε διὰ τε καθ' ἡμᾶς πολυπτύχε ἔτω, καὶ τὸ τε Ποιητε (omnipatentis) ἐκδηλωθείσης. Ἀλλ' ἐκεῖνο ἀπορήσειέτις: πῶς ὁ πάντοθεν ἰωεωγμένος Ὄλυμπος ἀνέωκται; ἢ κατὰ τὸ συμβαῖνον· οὐ γὰρ μία ὁμῆ τε καὶ ἅμα ἡ ἀνατολὴ τε φωτὸς ἅπασι τοῖς τὴν Γῆν οἰκεῦσιν, ἄλλοτε δὲ παρ' ἄλλοις, ἀνίσχει ἥλιος.

Στίχ: 2. ΖΕΥ̓Σ ἈΓΟΡΉΝ ΣΥΝΆΓΕΙΡΕ κτ: Ὥσπερ καὶ παρ' Ὁμήρῳ Ἰλ: Θ. στίχ. 2.

„Ζεὺς δὲ Θεῶν ἀγορὴν ποιήσατο τερπικέραυνος
„Ἀκροτάτῃ κορυφῇ πολυδειράδος ὐλύμποιο·
„Αὐτὸς δὲ σφ' ἀγόρευε, Θεοὶ δ' ἅμα πάντες ἄκουον.

Καὶ Ἰλ: Υ. στίχ. 4.

„Ζεὺς

ΠΟΥΒΛΙΟΥ ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ

ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ

ΒΙΒΛΙΟΝ Ι΄.

Εὖτε πολυπτύχῳ ἐυρὺ δὲ πέπτατο δῶμα ὀλύμπῳ,
Ζεὺς ἀγορὴν σωάγειρε πατὴρ ἀνδρῶν τε Θεῶν τε,
Ἀξερόεν καθ' ἕδος, γαίας ὅθεν ὑψόθεν ἄθρει
Πάσας, Δαρδανιδῶν κλισίας τε, λεώς τε Λατίνους·

❀ ❀ ❀

„Ζεὺς δὲ Θέμιστα κέλευσε Θεὰς ἀγορηνδε καλέσσαι
„Κρατὸς ἀπ' οὐλύμποιο πολυπτύχα . . . .

Στίχ: 5. ΑΝΦΙΠΤΑΛΟΙΣ ΔΕ ΔΟΜΟΙΣΙ κτ: Πύλας δὲ διπλᾶς, ἢ δίθυρα, ἢ διπλίδας τῶν ἐρανίων δωμάτων, οἱ μὲν εἰρῆθαι ὑπέλαβον τὰ δισσὰ τῆ οὐρανῆ ἡμισφαίρια, τό τε ὑπὲρ τὴν γῆν, καὶ τὸ ὑπ' αὐτὴν δηλονότι· οἱ δὲ τὸ διττὸν κλίτος τῆ περιέχοντος, τὸ Ἀνατολικὸν, καὶ τὸ Δυτικὸν· τὰς δὲ τῆ οὐρανῆ πύλας ταύτας ὑπὸ τῶν Ὡρῶν ἀνοιγομένας τε καὶ κλειομένας πλάττει ἡ ποίησις. Ὅμηρ. Ἰλ. Ε. στίχ. 749

„Αὐτομάται δὲ πύλαι μύκον ἠρανῆ, ἂς ἔχον ὧραι
„Τῇς ἐπιτέτραπται μέγας οὐρανὸς ἔλυμπός τε
„Ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος, ἠδ' ἐπιθεῖναι.

Στίχ: 7. . . . . ΤΙ Δ' ΟΤΙ ΦΡΕΣΙ ΤΟΣΣΟΝ ΕΡΙΖΕΤ' ΑΝΙΣΟΙΣ; Οἱ μὲν γὰρ ὑπὲρ Τρώων ἵσαντο, ὡς Ἀφροδίτη, οἱ δ' ὑπὲρ Ῥοτόλων, ὡς Ἥρα· τὸ δὲ φρεσὶν ἀνίσοις, ἤτοι ὡς ἀντιφρονες ἀλλήλοις, ἢ καὶ ὡς οὐδὲ τιὼ ἰσχὺν ἴσοι, ἄλλοι δ' ἄλλων ἐλάσσονες, ἢ μείζονες, Ζηνὸς δ' οἱ πάντες ἡσσώμενοι.

Στίχ: 8. ΙΤΑΛΙΗΝ ΑΠΕΝΕΥΣΑ λτ: Καὶ μιὼ ἐν τῷ Α'. τῆς Λιν: στίχ. 286. ποτνιωμένην Ζεὺς τιὼ Κυθέρειαν παραμυθέμενος περὶ τῆ Αἰνείε μεταξὺ ἔφασκεν, ὅτι·

„Γῆς ἐπὶ Ἰταλίδος δήριν κρυερὴν πολεμίζειν.

Conſidunt tectis bipatentibus. Incipit ipſe:
Cœlicolæ magni, quia nam ſententia vobis
Verſa retro, tantumque animis certatis iniquis?
Abnueram bello Italiam concurrere Teucris.
Quæ contra vetitum diſcordia? Quis metus aut hos,
Aut hos arma ſequi, ferrumque laceſſere ſuaſit?
Adveniet juſtum pugnæ (ne arceſſite) tempus,
Cum fera Carthago Romanis arcibus olim
Exitium magnum, atque Alpes immitet apertas.
Tum certare odiis, tum res rapuiſſe licebit:
Nunc ſinite, & placitum læti componite fœdus.
Juppiter hæc paucis: at non Venus aurea contra
Pauca refert.
O pater, ô hominum Divûmque æterna poteſtas!
(Namque aliud quid ſit, quod jam implorare queamus?)
Cernis ut inſultent Rutuli, Turnuſque feratur
Per medios inſignis equis, tumiduſque ſecundo
Marte ruat? Non clauſa tegunt jam mœnia Teucros.
Quin intra portas, atque ipſis prælia miſcent
Aggeribus murorum, & inundant ſanguine foſſæ.
Æneas ignarus abeſt. Nunquamne levari
Obſidione ſines? Muris iterum imminet hoſtis
Naſcentis Trojæ, nec non exercitus alter;
Atque iterum in Teucros Aetolis ſurgit ab Arpis
Tydides. equidem (credo) mea vulnera reſtant;

Et

❁ ❁ ❁

Ἀλλ' ἐκεῖνο μὲν ὡς ἐκ τῶν Μοιρῶν ἴσως, τοῦτο δ' ὡς ἐξ ἑκοντὶ ἐπιτρέποντος. ἢ (ὅπερ ἔφη Δονάτος), πολεμίζει μὲν Αἰνείας ἀναγκαθεὶς καὶ περὶ ἑαυτὸ ἀμυνόμενος· τὸ δὲ πρὸς Τρῶας ἐπαφικομένους πόλεμον τῷ Ἰταλίαν κινῆσαι, τοῦτο ἦν ὅπερ Ζεὺς ἀποδοκιμάζων ἀνένευεν.

Στίχ: 11. . . . . ΜΗ' ΣΠΕΡΧΕΤΕ . . . , Μὴ δὴ σπεύδετε προκαταλαβεῖν τὸν χρόνον, καθ' ὃν εἴμαρται ἐν μάχαις ταῖς μεταξὺ Ῥωμαίων τε καὶ Καρχηδονίων ὕστερον ἐσομέναις τὸ μέρος ἐλέσθαι, εἰ τοσοῦτον ὑμῖν περίεστι τὸ φίλεργι καὶ φιλόνεικον.

Στίχ: 12. ΕΥ' ΤΕ 'ΡΑ' ΚΑΡΧΗΔΩΝ κτ: Τὸ περὶ τὸν Τρεβίαν ποταμὸν συμβὰν „αἰνίττεται, ἔνθα ἐπικρατήσας Ἀννίβας, καὶ ἐμβαλὼν εἰς Ἰταλίαν πρῶ„τον, αὐτὸς μὲν ἤλαυνε διὰ Τυρρηνίας πορθῶν τὴν χώραν, ἔκπληξιν δὲ „δεινὴν καὶ φόβον εἰς τὴν Ῥώμην ἐνέβαλε. (Πλάτ: εἰς Φάβι: Μάξιμ.)

Στίχ: 13. ΟΙ' ΣΕΙ ΛΟΙΓΟΝ 'ΑΛΕΚΤΟΝ . . . . Κατὰ τὴν περὶ τὰς Κάν„νας μάχην· ἐν ᾗ λέγονται μὲν πεσεῖν Ῥωμαίων πεντακισμύριοι, ζῶντες „δὲ ἁλῶναι τετρακισχίλιοι καὶ μετὰ τὴν μάχην οἱ ληφθέντες ἐπ' ἀμφο„τέροις τοῖς στρατοπέδοις μυρίων ἐκ ἐλάττες. (Πλάτ: ἔνθ: ἀνωτ:)

Στίχ: Αὐτ: . . . . . 'ΑΛΠΙΑΣ 'ΟΙΞΕΙ. ('Ορα περὶ τῶν 'Αλπεων τὰ Σημειωθέντα ἐν τῷ Α. τῶν Γεωργ: στίχ. 546.) Ἦσαν δὲ αἱ 'Αλπεις τῆς Ἰταλίας οἷον προτείχισμα, τὸ κατὰ τῶν Γαλατῶν αὐτῇ ὀχυρᾶν βαρβάρων, δυσέφοδόι τε λίαν παρὰ τὸ ἀπότομον ἔσαι καὶ ἀδιέξοδοι· ἃς καὶ ὄξει, φασὶν, 'Αννίβας δαψιλῶς καταβρέχων, φλοξίτε πυρὸς καταναλίσκων τε καὶ ἀμαθυίων, δι' ἀδοκήτε πορείας κατὰ Ῥωμαίων διεβίβασε τὰς δυνάμεις. Ἡ δὲ διὰ τῶν 'Αλπεων 'Αννίβε διάβασις αὕτη, ἡ δευτέρα ἐστὶ τῶν ὑπὸ Ὀυάρρωνος (παρὰ Σερβίῳ) πέντε καταλεγομένων. Α'. μὲν γὰρ ἡ διὰ Λιγύρων.

B.

Ἀμφιπύλοις δὲ δόμοισι παρεζομένων ἀγόρευε:
Τίπτ' ἄρα ὑμείων ἰότης παλινάγρετος ἶκτα,
Οὐρανίδαι; τὶ δ' ὅτι Φρεσὶ τόσσον ἐρίζετ' ἀνίσοις;
Ἰταλίῃ ἀπένευσα, μάχῃ ἐπὶ Τρῶας ὀρίνειν·
Ὁππόθεν ἦδ' ἔρις ὦρτο; τὶ δ' ἄρ δέος ἠένυ τόζδε,
Ἠέτε τόζδε τυχὸν, χωρεῖν εἰς ὅπλ' ἀναπεῖσε;
Καιρὸς ὅς εἵμαρταί δήρης (μὴ πέρχετε) ἦξει,
Εὖτε ῥὰ Καρχηδὼν Ῥώμης αἰνὴ πτολιέθροις
Οἴσει λοιγὸν ἄλεκτον, ἀτάρ τε καὶ Ἄλπιας οἴξει.
Τῆμος ἐριδμαίνειν, καταπέρθειν τῆμος ἐνέσαι.
Νωὶ δ' ἐᾶτ' ἄρα· θέσθε δ' ἐϋφρονέως εἰρώϊω.
Ζεὺς τὰδ' ἐπιτμήδῳ· πλείω χρυσῇ δ' Ἀφροδίτῃ:
Ὦ πάτερ, ὦ Θνητοῖς τε Θεοῖς τ' αἰεὶ ἐπανάσσων!
Ἄλλος τὶς γὰρ ἔοι, πρὸς ὅν ἀγκλαύσαιθ' ἑξείης;
Ἀθρεῖς, ὡς θρασέες Ῥοτόλοι; πῶς δ' ἄρ καὶ Τύρνος,
Μέσσος κυδιόων, ἵπποις ἀγέρωχος ὀρώρει
Ἄρει ἐν ὄρῳ; ὀ σκέπας ἔσκε δὲ τείχεα Τεύκροις,
Ἀλλὰ πυλῶν ἔντοσθεν, ἐπ' αὐτοῖς χώμασιν ἔρκος
Μίσγεσ' ὑσμίνας, πλεῖαι δέ τοι αἵματι τάφροι.
Αἰνείας δὲ ἄπεξ', ὀδ' οἶδε. Σὺ δ' ὅτοι θήσεις
Εἴργματι τῷδε πέρας; κατὰ τειχῶν δήϊοι αὖθις
Τροίης τικτομένης· αὖθις σφατὸς ὄρνυται ἄλλος.
Ἐκθρώσκει Τεύκροις Αἰτωλῶν αὖθις ἀπ' Ἄρπων

Τυ-

❋ ❋ ❋

Β'. ἡ τῆ Ἀννίβα, περὶ ἧς ἐνταῦθα. Γ'. ἡ Πομπηίῳ τὸν Ἰσπανικὸν πόλεμον σρατηγέντος. Δ'. ἡ τῆ Ἀσδρέβα, τῆ ἐκ Γαλατίας εἰς Ἰταλίαν ἐμβαλόντος. Ε'. καθ' ἣν Ἕλλιπες ἐπικρατεῖς γεγόνασι τῶν ὀρέων, ἐξ οὗ καὶ Ἄλπεις Ἑλλίπικαὶ λέγεσθαι ἔλαχον. Καὶ αὗται μὲν αἱ ὁδοὶ δι' ὧν ἡ τῶν Ἄλπεων διάβασις περανθείη, ἐν αἷς πρὸ τῶν ἄλλων τῷ Ἀννίβᾳ ἔοικεν ὁ Ποιητὴς ἐκφοιβάζων. οὐ γὰρ ἁπλῶς εἶπεν, ὅτι τὰς Ἄλπεις διελεύσεται, ἀλλ' ὅτι ἀνοίξει, καὶ τῷ διέλευσιν τῆ λοιπῆ ῥαδίαν τοῖς βελομένοις παρασκευάσει· μᾶλλον δὲ καὶ παραδοξότερόν τι ἡ Λατινικὴ παρίσησιν ἔκφρασις: Alpes immittet apertas. (τὰς Ἄλπεις ἀναπεπταμένας εἰσάξει.) ἢ οὐκ ἐρεῖς τῷ τῆ Ποιητῆ ὧδε ῥῆσαι εἰς τόλμῃ τινὰ παρεξενεχθῆναι, κατὰ τῷ ἐκεῖ τῆ πολεμικῆ ἐπιχείρησιν;

Στίχ: 17. Ὦ ΠΑΤΕΡ κτ: Ἰλ: Θ. στίχ. 31. Ὑπὲρ Δαναῶν Ἀθήνη τὸν Δία ἐκδυσωπῆσα:

„Ὦ πάτερ ἡμέτερε, Κρονίδη, ὕπατε κρειόντων
„— Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων
„Οἶκεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ἕλωνται.

Στίχ: 20. ΜΕΣΣΟΣ ΚΥΔΙΟΩΝ κτ: Ὡς ἀνωτ. Θ. Αἴν: στίχ. 48. εἰρηται:

„Ἕκοσι σὺν λεκτοῖς ἱππεῦσιν οἱ ἑπομένοισι.

Στίχ: 21. ΑΡΕΙ ΕΝ ΟΥΡΩι . . . . Καὶ γὰρ Αἰν: Θ. στίχ. 745.

„Ἔνθα ὑπερμενέτης Ἄρης θέσπις ὤρσε Λατίνοις.

Στίχ: 24. ΑΙΝΕΙΑΣ ΔΕ ΑΠΕΣΤ, ΟΥΔ' ΟΙΔΕ . . . . Ἦν γὰρ προελήλυθως πρὸς Εὐάνδρε, κἀντεῦθεν πρὸς Ἑτρύσκων, ὡς ἐπικουρίαν αἰτήσων.

Στίχ: 26. ΤΡΟΙΗΣ ΤΙΚΤΟΜΕΝΗΣ; . . . . Ὡς μετὰ τὴν ἅλωσιν ἐκ νέε ἀναφυομένης.

Στίχ: 27. . . . . ΑΙΤΩΛΩΝ . . . . ΑΠ' ΑΡΠΩΝ. Διομήδης μετὰ τὴν Ἰλίε ἅλωσιν, ἐπὶ τῆς κατὰ τὸν Ἰόνιον κόλπον Δαυνίας (τῆς νυῦ Ἀπελίας) μεταναστὰς, καὶ πόλιν τειχίσας, Ἄργος ὠνόμασεν ἵππιον, ἐκ τῆς αὐτῆ πατρί-

Et tua progenies mortalia demoror arma.
Si ſine pace tua, atque invito numine Troës
Italiam petière, luant peccata; neque illos
Juveris auxilio: ſin tot reſponſa ſequuti,
Quæ ſuperi, maneſque dabant, cur nunc tua quiſquam
Flectere juſſa poteſt? aut cur nova condere fata?
Quid repetam exuſtas Erycino in littore claſſes?
Quid tempeſtatum regem, ventoſque furentes,
Aeoliâ excitos? aut actam nubibus Irim?
Nunc etiam Manes (hæc intentata manebat
Sors rerum) movet, & ſuperis immiſſa repente
Alecto, medias Italûm bacchata per urbes.
Nil ſuper imperio moveor: ſperavimus iſta,
Dum fortuna fuit: vincant, quos vincere mavis.
Si nulla eſt regio, Teucris quam det tua conjux
Dura: per everſæ (genitor) fumantia Troiæ
Excidia obteſtor, liceat dimittere ab armis
Incolumen Aſcanium, liceat ſupereſſe nepotem.
Æneas ſane ignotis jactetur in undis,
Et quamcunque viam dederit fortuna, ſequatur.
Hunc tegere, & diræ valeam ſubducere pugnæ.

Eſt

❋ ❋ ❋

πατρίδος· (Στέφ: Βυζ.) ἐξ οὗ κατὰ παραφθορὰν ὕστερον Ἀργυρίπιον εἴρηται ἡ πόλις, καὶ Ἀργυρίπα, καὶ Ἄρπος, ἢ καὶ πληθωτικῶς αἱ Ἄρποι. (Monte S. Angelo καθ' ἡμᾶς ἀκέσσα.) Εἶπε δ' Αἰτωλῶν ὁ Ποιητὴς ἀπὸ Ἄρπων, ὅτι Διομήδης πατρὶς ἰῶ ἡ Αἰτωλία τῷ κτίσαντος. (ὅρα Η. Αἰν: στίχ 9.)

Στίχ: 28. . . . . ΚΑΙΝΑ΄ ΜΕ ΜΙ΄ΜΝΕΙ ΤΡΩ΄ΜΑΤΑ . . . . Καὶ δεύτερον, φησὶ, τυχὸν, τραυματισθήσομαι Τρωσὶ τοῖς ἐμοῖς ἐπαρήγειν ἐπιχειρῆσα, καθὰ καὶ πρότερον ἐκ Διομήδης ὑπὸ τὸ Ἴλιον· (ὅρα Ε. Ἰλ: στίχ. 335. Οὐκ ἄρα εὖ ὁ Μάρων τῆς ἀτοπίας ἀπέχετο, τῷ καὶ τὰς Θεὰς καθυποβαλεῖν τοῖς τοιούτοις ἀνθρωπικοῖς πάθεσιν, ἐζήλωσε δὲ καὶν τούτοις ἐκ ἐπαινετῶς Ὁμηρον. Οὐ δὲ γὰρ πείσαι δυνήσονται, οἱ εἰς χλεύην καὶ γέλωτα τὴν Ὁμήρε ὧδε ἀτοπίαν προθέσθαι βελτιῶσαι τὸν Μάρωνα, κατ' εἰρωνείαν, ἢ φενακισμὸν, εἰρηκότες· οὐδεμία γὰρ ἐνταῦθα εἰρωνείας πρόκειται ἔμφασις, ἀλλὰ πρὸς τοῖς ἄλλοις, ὁμοιοπαθὴς ἀνθρώποις τὰς Θεὰς καὶ ὁ Μάρων Ὁμηρικῶς καθυπέδειξεν. Ἄλλως τε δὲ, εὖ εἰρωνείας ἰῶ χώρα, εὖτε καὶ ἐπισαμένως παρεισενεχθείσης ἐνταῦθα, ἔνθα περιαλγὴς ἡ Θεὸς, καὶ πρὸς τὸν Ζῆνα περιπαθῶς ἀπολοφυρομένη εἰσάγεται.

Στίχ: 33. ΟΥΡΑΝΙ΄ΩΝ . . . . ΚΑΙ΄ ΝΕΡΤΕΡΙ΄ΩΝ . . . . Ὑπὸ μὲν ἐκείνοις, τὸν ἐν Δήλῳ χρησμὸν Ἀπόλλωνος νοητέον· ὑπὸ δὲ τούτοις, τὰ ὑπὸ Κρεούσης προειρημένα ἐπιφανείσης, (Β. Αἰν: στίχ. 833. κτ.) καὶ τὰ ὑπὸ Ἀγχίσε ἐν Ἅιδε. (Ϛ΄. Αἰν: στίχ. 777. καὶ 825 κξ.)

Στίχ: Αὐτ: . . . . ΠΩΣ ΝΥ΄Ν ΤΙΣ Τὶω Ἥραν ἐπιβουλεύσαν ὑπαινίττεται, φειδόμενος τοῦ ὀνόματος, ὡς γαμετῆς αὐτῷ Διὸς καὶ κασιγνήτης.

Στίχ: 34 ΘΕ΄ΣΦΑΤΑ . . . . ΜΟΙ΄ΡΑΣ . . . . Τὰς Μοίρας τοῖς τῷ Διὸς ταυτίζει ἐντάλμασι.

Στίχ: 35 . . . . ΝΑΥ΄Σ . . . . ΈΝΙΠΠΗ΄ΣΤΟΥΣ. Μέτιθι τὰ ἐν τῷ Ε΄. τῆς Αἰν: ἀπὸ στίχ. 633.—701.

Στίχ: 36. ΧΕΙΜΩ΄ΝΩΝ . . . . ΜΕ΄ΔΟΝΤΑ . . . . ΆΗ΄ΤΑΣ. Ὅρα Λ. Αἰν: στίχ. 56.—137.

Στίχ:

Τυδείδης· ἔτι καινά με μίμνει τρώματα οἴμαι,
Σὴ δ' ἄρ' ἐγὼ θυγάτηρ θνητῶν ἐκδέχνυμαι ὅπλα.
Αἶκεν σεῖο ἄτερθε, Θεῶν τ' ἀέκητι Τρῶες
Ἰταλίωδ' ἀφίκοντο, ἁμαρτάδα δή τίσειαν,
Μηδὲ χραίσμοις τοῖσιν ἀρήγων· εἰδέκεν ὁμφαῖς
Οὐρανίων πίσυνοι καὶ Νερτερίων, πῶς νῦν τις
Θέσφατα τεῦ κάμψει; Μοίρας δέ τε πῶς μεταθήσει;
Τὶ προσενείρω ναῦς, παρ' Ἔρυκος θῖν' ἐνιπρήσας;
Χειμώνων τὶ μέδοντα; τὶ μηναμένας δὲ ἀήτας
Ἀμφ' ἄλα Αἰολίῃ; αὐτὰρ νεφελόσολον Ἶριν;
Νῶϊ δ' ἔτι Νερτερίας (ἦ ἀπείρατος ἔπλετο λῆξις·)
Κινεῖ. Καὶ γὰρ γῆς ὕπερ, αἰφνιδίως πεμφθεῖσα,
Ἄσσεσ' ἐν Ἰταλικοῖς Ἀληκτὼ μήνατο μέσσοις.
Οὗτοι νῦν ἀρχῆς μέλον· ἠλπόμεθ' ἄλλοτε τοῖα,
Εὖτε παρὶξ δαίμων· νικώντων οἶϊ ἐθελήσας.
Εἰ δ' ὀλέπται γαῖα τις, ἦνκεν Τρώεσι δώῃ
Αἰνὴ σὴ ἄλοχος, πρὸς Τροίης, ὦ Πάτερ, αὐτῆς,
Τῆς περ ἐρειπώσης καπνὸς γ' ἔτι νῶϊ ἀποθρώσκει,
Ἔκγονον Ἀσκάνιον, σάος ὄφρα ἐμοὶ περιείη,
Λίσσομαι, ἐξέσω, σῆσ' ἐκ βελέων πολέμοιο.
Αἰνείας δ' ἄρα εἰν αἰδήλοις κύμασ' ἀγέθω,

B 2 Ἦν

❁ ❁ ❁

Στίχ: 37. . . . . ΝΕΦΕΛΟΣΤΟΛΟΝ ΙΡΙΝ. Ε'. Αἰν: στίχ. 635. καὶ Θ'. Αἰν: στίχ. 2.

Στίχ: 38. ΝΥΝ Δ' ΕΤΙ ΝΕΡΤΕΡΙΟΥΣ Ζ'. Αἰν: στίχ. 335.

Στίχ: Αὐτ: . . . . . ΑΗΞΙΣ. Α. Αἰν: στίχ. 152.

Στίχ. 40. . . . . ΑΛΗΛΤΩ ΜΗΝΑΤΟ . . . . Ζ. Αἰν: στίχ. 366. 436. 511. 547. 588.

Στίχ: 41. ΟΥΤΟΙ ΝΥΝ ΑΡΧΗΣ ΜΕΛΟΝ. Ἐξ ἀπογνώσεως ἤδη, οἷον ἀποδυσπετήσασα, παραίτησίν τινα τῆς ἐς τόδε ἐλπιζομένης ἀρχῆς ἐμπαρέρρηψε. Σὺ μέν, φησὶ, Τρωσὶ τοῖς ἐμοῖς, ἐξ ὧν ὑπέσχε, τὸ κράτος ἀπένεισας· ἐξ ὧν δὲ γίνεσθαι τὰ νῦν ἐπιτρέπεις, οὐδὲν ἡμῖν λοιπὸν, ἢ περὶ σωτηρίας φροντίζειν. Οὕτω τιὼ ἀποκειμένῳ τοῖς Τρωσὶ τύχῳ, ὡς ἰδίαν ἡ Θεὸς οἰκειῶται.

Στίχ: 43. Εἰ Δ' ΟΥ ΔΕΙΓΠΤΑΙ ΓΑΙΑ ΤΙΣ κτ: Ὅρα Α. Αἰν: στίχ. 255.
„Πᾶσα δὶ Ἰταλίῃ ἄπο πάντῃ εἴργεται αἶα.

Στίχ: 44. ΑΙΝΗ ΣΗ ΑΛΟΧΟΣ . . . . Ὡς ὑπ' ὀργῆς προϊέσης ἐπεξαφθεῖσα, ἐκέτι τῷ λοιπῷ τιὼ φλεγμονιὼ καταχεῖν ἐδυνήθη, ὥστε μὴ σαφῶς ἐκδηλῶσαι τιὼ αἴτιον, ἰῷ ἀκατονόμαστον ἄχρι τέως παρῆλθεν αἰδοῖ, ὡς εἴρηται, τῷ καὶ γαμέτῃ καὶ κάσιος. (στίχ. 33. Αὐτ:)

Στίχ: Αὐτ: . . . . ΠΡΟΣ ΤΡΟΙΗΣ . . . . Οὐ κατ' ἐξορκισμὸν κυρίως, ἀλλὰ πρὸς οἵκτῳ κίνησιν, ὧδε ἡ Τροίας προβάλλεται καταρείπωσις καὶ κατάπρησις.

Στίχ: 45. . . . . ΚΑΠΝΟΣ Τ' ΕΤΙ ΝΥΝ ΑΠΟΘΡΩΣΚΕΙ. Ὅρα τὰ ἐν Ἰῷ Δ'. τῆς Αἰν στίχ. 3. Αὐτ: σημειωθέντα.

Στίχ: 48. ΑΙΝΕΙΑΣ Δ' ΑΡΑ κτ: Καὶ πρὸ τῷ υἱέος ἄρα ἡ Κύπρις τίθησι τὸν ἀπόγονον· τοσοῦτον αὐτῇ τῆς τῷ γένους ἔμελε σωτηρήσεως· εἶτα καὶ τὸ ῥηθὲν, ὡς ἐν ἀπογνώσει χαλεπήνασα προεξιώεγκεν. Ἀμυθήτῳ δ' ἔμπλεως πικροθυμίας ἡ ἔνδοσις.

Στίχ:

Eſt Amathus, eſt celſa mihi Paphos, atque Cythera,
Idaliæque domus: poſitis inglorius armis
Exigat hic ævum. Magna ditione jubeto
Carthago premat Auſoniam: nihil urbibus inde
Obſtabit Tyriis. Quid peſtem evadere belli
Juvit,& Argolicos medium fugiſſe per ignes?
Totque maris, vaſtæque exhauſta pericula terræ,
Dum Latium Teucri, recidivaque Pergama quærunt?
Non ſatius cineres patriæ inſediſſe ſupremos,
Atque ſolum, quo Troja fuit? Xanthum & Simoënta
Redde, oro, miſeris: iterumque revolvere caſus
Da, pater, Iliacos Teucris. Tum regia Juno
Acta furore gravi: Quid me alta ſilentia cogis
Rumpere, & obductum verbis vulgare dolorem?
Æneam hominum quiſquam, Divûmque ſubegit
Bella ſequi? aut hoſtem regi ſe inferre Latino?
Italiam petiit fatis auctoribus: eſto,
Caſſandræ impulſus furiis: num linquere caſtra
Hortati ſumus, aut vitam committere ventis?
Num puero ſummam belli? num credere muros?
Tyrrhenamve fidem, aut gentes agitare quietas?

Quis

❀ ❀ ❀

Στίχ: Αὐτ: . . . . ΕΙ᾽Ν ᾽ΑΙ᾽ΔΗ᾽ΛΟΙΣ ΚΥ᾽ΜΑΣ᾽ ᾽ΑΓΕ᾽ΣΘΩ. Λανθάνει δ᾽ ἐν τοῖς ῥήμασι τούτοις, ἡ τῦ Αἰνείᾳ συμβαίνειν μέλλοντος προαναφώνησις. Ἰσόρηται γὰρ Αἰνείαν παρὰ τὰ ποταμῷ ὕστερον ἀπολέσθαι. (Ὅρα Δ. Αἰν: στίχ. 678. καὶ Ζ. Αἰν: στίχ, 158.)

Στίχ: 50. ΚΕΙ᾽ΝΟΝ . . . . Ἀσκάνιον.

Στίχ: Αὐτ: . . . . ΔΗ᾽ΡΗΣ ΧΑΛΕΠΗ᾽Σ Θ᾽ ῾ΥΦΕΛΕ᾽ΣΘΑΙ. Παραπλησίως καὶ Ζεὺς περὶ Σαρπηδόνος τῦ υἱῦ διενοεῖτο, Ἰλ Π στίχ 436.

„ —— μὶν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
„Θέσθαι ἀναρπάξας Λυκίης ἐνὶ πίονι δήμῳ.

Στίχ: 51. . . . . ᾽ΑΜΑΘΟ᾽ΥΣ . . . ΠΑ᾽ΦΟΣ . . . ΚΥ᾽ΘΕΙΡΑ; Ἡ μὲν Ἀμαθῦς, πόλις ἰῦ ἐπὶ Κύπρῳ πρὸς μεσημβρίαν ὁρώσης, ἀπὸ Ἀμαθῦτος τῦ Ἡρακλέους ὄτω κληθεῖσα, ἢ ἀπὸ τῆς Κινύρῳ μητρὸς Ἀμαθέσης. (Στέφ Βυζ.) Εἶναι δὲ πιστεύεται ἡ νῦν Λιμησὸς (Helliez ἐν τῇ κατὰ Ὀυῖργ Γεωγρ.) Ἡ δέ τοι Πάφος, ἐπὶ τῆς αὐτῆς Νήσῳ κατὰ τὸ δυσμικωτέραν πλευρὰν (περὶ ἧς ὅρα Α. Αἰν: στίχ. 452) Περὶ δὲ Κυθείρων εἴρηται ὁμοίως, ἐν Α. Αἰν: στίχ. 280. καὶ 728.

Στίχ: 52 ᾽ΙΔΑ᾽ΛΙΟΙ᾽ ΤΕ ΔΟ᾽ΜΟΙ . . . . . Ὅρα Α. Αἰν: στίχ. 729. καὶ Ε᾽. Αἰν: στίχ 802.

Στίχ: 54. . . . . ΑΥ᾽ΣΟΝΙ᾽ΗΝ ΚΑΡΧΗΔΩ᾽Ν . . . . . ΔΑΜΑ᾽ΞΗι. Πρὸς ὀργὸ ταῦτα φθέγγεται, ἅπερ ἔτ᾽ ἀναχετὰ ἰῷ αὐτῇ, ἔτ᾽ ἀποβήσεσθαι ἔμελε· τἀναντία γὰρ ὕστερον ἀπέβη, τῦς ᾽Αφρας τῶν Αὐσονίων καταχρεψάντων.

Στίχ: 55. ᾽ΑΣΤΕΣΙ ΔΗ᾽ ΤΥΡΙ᾽ΟΙΣ . . . Ο᾽ΥΔΕ᾽Ν ΤΙ ᾽ΕΝΕ᾽ΧΕΙ. Οὐδὲν ἐκ τῆς Ἀσκανίῦ ὑποχωρήσεως δεινὸν ἐφέψεται Καρχηδονίοις τοῖς ἐκ Τύρῦ ἀποίκοις.

Στίχ: 56. ᾽ΟΤΤΙ Δ᾽ ᾽ΟΝΕΙΑΡ κτ: Σιωπανεφαλαιοῖ τὰ Τρωσὶ προσενσκήψαντα δεινὰ πρὸς οἶκτον κινῆσα. Δείνωσιν δ᾽ ἐνεποίησε τῷ πάθει προθεῖσα, ὅτι μηδὲ τῆς ἀπ᾽ ἐκείνων ἀπαλλαγῆς προσεγένετό τις ὄνησις τοῖς σωθεῖσιν· ὅμοια δὲ τούτοις ἂν εἴποι, καὶ ὁ πρὸς αὐτῷ τῷ λιμένι ἀπολέσθαι κινδυνεύων μετὰ τὸ ναυάγιον.

Στίχ:

Ἤν τινα δ' οἱ δαίμων δοίῃ ἀτραπὸν, παρεπέσθω.
Κεῖνον ἔοι σέξαι, δήρης χαλεπῆς δ' ὑφελέσθαι.
Ἔς' Ἀμαθῆς ἐμοὶ, ἠδ' αἰπὴ Πάφος, ἠδὲ Κύθηρα,
Ἰδάλιοίτε δόμοι· δυσκλειὴς ὅπλ' ἀπολέψας,
Ἔνθ' αὐῶν' ἀγέτω. Σύ δὲ δὴ ἔντελλε κελεύων,
Ὄφρακεν Αὐσονίῃσι Καρχηδὼν ἔτα δαμάξῃ.
Ἄξεσι δὴ Τυρίοις ἐνθένδ' ὀδέν τι ἐνέξει.
Ὅττι δ' ὄνειαρ ἔοι πολέμῳ λοιγόνδερ ἀλύξαι,
Πυρσῶν ἀργολικῶν μαλερῶν τε φυγεῖν διὰ μέσσων,
Εἶτα τόσ' ἀντλῆσαι Τεύκρους κατὰ γῆῳ κατὰ πόντον,
Δίζοντας Λατίῳ παλινάγρετα Πέργαμα δεῖμαι;
Οὐ ποδὸν ὑσατίῳ πάτρης ἰῷ ἄρκιον οἰκεῖν;
Οὖδας θ' οὗ κεῖτο Τροίη; Ξάνθον, Σιμόεντα,
Λίσσομαι οἰκτροῖς ἄν ἀπόδος! Δὸς δ', ὦ πάτερ, αὖθι
Τλιῶσι ἐοικότα τοῖς πάρος Ἰλιακ' ἄλγεα Τεύκρους.
Τόφρα κοτεσσαμένη μέγα θυμῷ πότνια Ἥρη:
Τίπτ' ἄρ' ἀποβρῆξαι βαθέῳ σιγῇ μ' ἐπανάγεις;
Μύθοις κευθομένῳ τε ἀνίῃ δημοσιεῦσαι;
Τίς ποτε Αἰνείαν θνητῶν τε Θεῶν τε ἐπῶρσε,
Κινεῖν δήριας; ἠὲ Λατίνῳ δήϊον ἦκεν;
Ἰταλίωδ', εἴξας μοίρῃσιν, ἀφίκετο· ἔξω.

Κασ-

❀ ❀ ❀

Στίχ: 59. . . . . ΠΑΛΙΝΑ'ΓΡΕΤΑ ΠΕ'ΡΓΑΜΑ . . . . Οἱ μὲν recidi. va. (παλίμπτωτα, ἢ παλίντροπα) ἀναγινώσκουσιν· οἱ δὲ rediviva. (παλίνζωα) Λλ' ὅ, τις ἂν τέτων καὶ ἕλοιτο, σαφὴς ὁ νῶς ὁ τῆ Ποιητῆ, οὐδὲν ἄλλ' ἢ τὰ Πέργαμα ἐννοῦντος, μεθ' ἰῶ ἔπαθον καταστροφίῳ τε καὶ πτῶσιν, αὖθις ἀποκατασῆσαι τὰς περὶ Αἰνείαν σπουδάζοντας.

Στίχ: 60. ΟΥ ΣΠΟΔΟ'Ν 'ΥΣΤΑΤΙ'ΗΝ κτ: Ἐπὶ τῇ ἀναληφθείσῃ μετοικεσίᾳ μετάμελος. Εἰς ὅ γὰρ ποτε, φησὶ, χρηστὸν σωστέλεσεν, ἢ ὑπὸ Σοῦ ἐπιταχθεῖσα Τρωσὶν αὖτη ἀποίκισις; ἢ ἐ πολλῷ βέλτιον ἰῶ, καὶ Τροίης ἐκτεφρωθείσης, μέσον αὐτῆς οἰκεῖν τῆς ποδός;

Στίχ: 61. 'ΟΥ'ΔΑΣ . . . ΞΑ'ΝΘΟΝ, ΣΙΜΟ'ΕΝΤΑ, Καὶ γάρ τοι καὶ Τροίας ἤδη πυρὶ κατωθαλωθείσης, ἀλλὰ τὸ ἔδαφος διασώζεται μένον, καὶ οἱ παραῤῥέοντες αὐτιῶ ποταμοὶ ἔτι περίεισιν, οὓς ἀποδοθῆναι σφίσιν οἱ Τεῦκροι πρὸ παντὸς αἱρῆνται, κἂν, ἤτοι ἐπανήξοντες τὰς αὐτοὺς οἴσεσθαι μέλεσι καμάτες τε καὶ κινδύνες, ὧν ἀπαναστάντες εἰς πεῖραν ἦλθον, ἢ καὶ ἀποκατασταθέντες τέως ἐκεῖσε τοῖς προτέροις ὁμοίως καὶ ἐξῆς ἀνατλήσονται.

Στίχ: 65. . . . . 'ΑΠΟΡ'Ρ'ΗΞΑΙ ΒΑΘΕ'ΗΝ ΣΙΓΗ'Ν. . . . . Τετέσι μετὰ τιῶ παντελῆ σιγιῶ, ῥῆξαι γῆρυ, καὶ ἐκφθῆναι ἅπτα σωεῖχε βυσσοδομέυσα. Οὕτω καὶ Ἰλ: Δ. στίχ. 24.

„Ἥρη δ' ἐκ ἔχαδε σῆθος χόλον, ἀλλὰ προσηύδα.

Στίχ: 68. ΚΙΝΕΙ'Ν ΔΗ'ΡΙΑΣ . . . . Ὅρα ὅπως σοφισικῶς Ἥρα, ἃ Τύρνος ἐποίει, τῷ Αἰνείᾳ προσάπτει· ἐκεῖνος γὰρ ἰῷ τῷ ὄντι ὁ τὰς δήρεις κινήσας· τὸ δὲ τῷ Λατίνῳ τὸν Αἰνείαν δήϊον ἦκειν, λαμπρῶς ἡ Θεὸς ἐπιψεύδεται. Φίλιος γὰρ προσῆλθεν ὁ Τρὼς, κλάδον ἐλαίας εἰρηνικῆς προβαλλόμενος, ὡς τὰς διαπρεσβευσομένας πέμψας: Αἰν: Ζ. στίχ. 163.

„Παλλαδικῆς προφέροντας ἐλαίης ἔρνεα πάντας.

Στίχ: 69. . . . . ΕΣΤΩ· Κατὰ συγχώρησιν εἴρηται, ὡς εἰ πρόφασις ἰῷ τοῖς περὶ Αἰνείαν, τὰ τῶν Μοιρῶν προτεινόμενα θέσφατα,

Quis Deus in fraudem, quæ dura potentia noſtri
Egit? ubi hic Juno, demiſſave nubibus Iris?
Indignum eſt Italos Trojam circundare flammis
Naſcentem; & patriâ Turnum conſiſtere terrâ,
Cui Pilumnus, avus, cui Diva Venilia mater.
Quid? face Trojanos atrâ vim ferre Latinis?
Arva aliena jugo premere, atque avertere prædas?
Quid? ſoceros legere, & gremiis abducere pactas?
Pacem orare manu, præfigere puppibus arma?
Tu potes Ænean manibus ſubducere Grajûm,
Proque viro nebulam, & ventos obtendere inanes;
Et potes in totidem claſſem convertere Nymphas:
Nos aliquid Rutulos contra juviſſe nefandum eſt.
Æneas ignarus abeſt: ignarus & abſit.
Eſt Paphos, Idaliumque tibi, ſunt alta Cythera.
Quid gravidam bellis urbem, & corda aſpera tentas?
Noſne tibi fluxas Phrygiæ res vertere fundo
Conamur? Nos? an miſeros qui Troas Achivis
Objecit? quæ cauſa fuit conſurgere in arma
Europamque Aſiamque, & fœdera ſolvere furto?

Me

❁ ❁ ❁

Στίχ: 70 ΚΑΣΣΑ'ΝΔΡΗΣ . . . . ΈΡΙΝΝΎΣΙ· . . . . Οὐ γὰρ πίστεως ἠξιῶτο τὰ ὑπὸ Κασσάνδρας θεσπιῳδέμενα. (ὅρα Β'. Αἰν: στίχ. 263. καὶ Γ'. Αἰν: στίχ. 194.)

Στίχ: 71. . . . . ΛΙΠΕ'ΜΕΝ . . . . Πρὸς τὸ ὑπ' Ἀφροδίτης ἁπαντᾶ ῥηθὲν ἄνωτ: στίχ. 24.

„Αἰνείας δ' ἄπες', ἐδ οἶδε . . . . . .

Οὐδεὶς γάρ, φησὶ, παρῆνεσεν, ἢ πρὸτρέψατο ἀπιέναι, αὐτεπάγγελτος δὲ τὸν αὐτῷ στρατὸν ἐγκατέλιπεν αὐτὸς ἀπελθών. (Θ. Αἰν: στίχ. 8. καὶ 11.)

Στίχ: Αὐτ: ΨΥΧΗ'Ν Τ' ἘΠΙΔΟΥ̃ΝΑΙ ΑΗ'ΤΑΙΣ; Τετέχνιν ἐπιθαῤῥῆσαι τοῖς ματαίοις, τοῖς παρ' Εὐάνδρε δηλονότι, ἢ ἄλλων βοηθήμασιν· οὐ γὰρ τὸν στόλον, ἔφη, ἀλλὰ τὴν ψυχήν. (vitam) (ὅρα Η. Αἰν: στίχ. 121. καὶ 132. καὶ 494.)

Στίχ: 72. . . . . ΠΑΙΔΑΡΙΩ͂ι ΠΙΣΤΕΥ̃ΣΑΙ; Καινταῦθα ψεύδεται Ἥρα· οὐ γὰρ τῷ Ἀσκανίῳ Αἰνείας ἐπίστευσε τὸν στρατὸν, ἀλλὰ Μνεσθεῖ, καὶ Σερέστῃ, καὶ τοῖς λοιποῖς, ἓς τῶν πραγμάτων ἡγήτορας ἦν ἐπιστήσας. (Θ. Αἰν: στίχ. 230. καὶ 233.)

Στίχ: 73. Ἢ ΤΥΡΡΗΝΗ'Ν ΠΙ'ΣΤΙΝ . . . . Νοητέον ἐνταῦθα τινὰς σωθήκας, ἃς μετὰ Τυῤῥηνῶν οἱ ἐκ Δαυνίας πρότερον σωθέμενοι εἶχον. Ἀλλ' ὁ τυραννικὸς Μεζέντιος πρῶτον, καὶ Τύρνος αὐτὸς ἔπειτα, τῷ τυράννῳ σύμμαχος παραστὰς κατὰ τῶν τυραννουμένων, (Η. Αἰν: στίχ. 500—515.) τῆς στάσεως ἐγένοντο αἴτιοι.

Στίχ: 74. ΤΙ'Σ ΡΑ' ΘΕΩ'Ν ΔΟ'ΛΟΝ, κτ: Ἐπὶ τὴν ἄρνησιν καταφεύγει ὧν ἐμηχανήσατο πάντων, ἁπαντῶσα δῆθεν οἷς περ Ἀφροδίτη ἠτιάσατο ἄνωτ: στίχ. 35—40.

Στίχ: 77. ἮΚΕΝ ἈΕΙΚΕ'ΛΙΟΝ κτ: Εἰρωνικώτερον χηματίσασα τὴν ἀντίῤῥησιν, ἀνθυποφέρει, ὅτι ὁ τὰς τὴν Τρόιαν νεωργοῦντας ἐπ' Ἰταλίας, ἀδίκως πολιορκεῖσθαι διατεινόμενος, ἔτος τῆς πατρίδος γῆς ἐξωθεῖσθαι Τύρνον ἠγήσεται δίκαιον, πάνυ ἀτόπως· πρὸς γὰρ Τύρνον ὁ κλῆρος πατρῷος κάτεισι.

Στίχ: 79. . . . . ΠΙΛΟΥ̃ΜΝΟΣ ΠΑ'ΠΠΟΣ, ἘΝΗΔΙ'Α . . . . ΜΗ'ΤΗΡ. Ὅρα Θ. Αἰν: στίχ. 4. Ἀλλὰ Πιλοῦμνος τε καὶ Πιθοῦμνος παρὰ Ῥωμαίοις, Δαίμονες ὑπῆρχον ἐκ Διὸς γεγονότες, τῆς βρεφῶν ἡλικίας ἔφοροι, κατὰ Οὐάῤῥωνα. Ἡ δὲ Ἐνηλία (Ουενιλία) Venilia, ἣ καὶ ἀδελφὴ εἴρηται Ἀμά-

Κασσάνδρης ἀχθείς γε ἐριννύσι· μὴ στρατὸν ἔμπης
Πάρφαμεν οἱ λιπέμεν; ψυχὴν τ' ἐπιδῦναι ἀήτας;
Μὴ πόλεμον, μὴ Ἄρυ δὲ, παιδαρίῳ πιστεύσαι;
Ἢ Τυρρηνιὴ πίστιν, ἔκηλά τε ἔθνε' ὀχλίζειν;
Τίς ῥα Θεῶν δόλον, ἠέτ' ἐμὴ παλαμήσατο νίκυς;
Πῆ δ' ἐνταῦθ' Ἥρη; πῆ δ' ἡ νεφελόκολος Ἶρις;
Ἧκεν ἀεικέλιον Τροίῃ πόλιν Ἰταλιώτας
Ἐξανατικτομένῃ ἤδη φλόγεσιν περιβάλλειν·
Τοιγὰρ καὶ πατρίης γαίης ἐπὶ Τύρνον ἱδρύσθαι,
Τῷ γε Πιλάμνος πάππος, Ἐνηλία δῖα δὲ μήτηρ.
Πῶς; Τρῶας δὲ μέλαιναν ὑφάπτειν δᾷδα Λατίνοις;
Ἀγρὸς τ' ἀλλοτρίης ἐχέμεν, ληΐζεσθαί τε;
Πῶς; αἱρεῖσθ' ἐκυρὸς, κόλπων μνησὰς δ' ἁρπάζειν;
Δεξιτερῇ φιλίῃ αἰτεῖσθαι, πλεῖν δὲ μεθ' ὅπλων;
Αἰνείαν σὺ δυὴ χειρῶν Δαναῶν ὑφελέσθαι,
Ἀχλὺν δ' ἀντ' ἀνδρὸς, κενεὸς θ' ὑποτεῖναι ἀήτας·

C 2 Καὶ

Ἀμάτης, (Z. Αἰν: στιχ. 57.) Νύμφη ἦν Θαλασσία Ποσειδῶνος ἀκόιτη, ἣ κατὰ τινας ἄλλως καὶ Σαλακία, Salacia, ἀπὸ τῆ Θαλασσίᾳ σάλᾳ κληθεῖσα. Σεσημείωται δὲ τοῖς Σχολιογράφοις, ὡς δι' ὧν ὧδε φησὶν Ἥρα, μηδὲν Αἰνείᾳ τῷ γένει χείρονα Τύρνον ὄντα βέλεται δεῖξαι· εἰ γὰρ ἐκεῖνος οἷον ἑτεροθαλὴς Θεὸς ἂν ἐτύγχανεν, ὡς ἐξ Ἀγχίσου καὶ Ἀφροδίτης, ἀλλὰ καὶ ἔτος ἔμπης ἐκ Θεῶν ἰὼ ἑκατέρωθεν· Πῶς δὲ ὁ ἐν τῷ Θ στίχ. 4. πατὴρ, ἐπὶ τῆ παρόντος πάππος εἶναι λέγεται Τύρνε, καὶ ἐφεξῆς δὲ στίχ. 654. πρόπαππος ὁ αὐτὸς εἰρήσεται; sed in his nominibus abutitur Poeta, φησὶ Σέρβιος. (καταχρᾶται ὁ Ποιητὴς τοῖς τοιούτοις ὀνόμασιν.) Μήπω δὲ εἰπεῖν ἄμεινον, ὅτι πατέρα μὲν ἐκεῖ τὸν πάππον ὠνόμασε, τὸν δ' ὧδε πάππον, πρόπαππον ἐξῆς ἀποκαλέσει, οἷον Φάναι πρόγονον;

Στίχ: 80. . . . . ΜΕΓΑΙΝΑΝ ΥΦΑΠΤΕΙΝ ΔΑΪΔΑ . . . . Δι' ὧν κινῆσι πολέμων, τοῖς Λατίνοις πολλῶν θανάτων παραιτίας γίγνεσθαι. Αἰνίττεται δὲ τὴν δοθεῖσαν ὑπὸ Τρώων ἀφορμὴν τῆς μάχης. (Ὅρα Z. Αἰν: 532. καὶ 559. καὶ 574.)

Στίχ: 81. ΛΗΡΟΥΣ Τ' ΑΛΛΟΤΡΙΟΥΣ ΕΧΕΜΕΝ, ΔΗΪΖΕΘΑΙ ΤΕ. Καὶ ταῦτα ψευδῶς· οὐδὲν γὰρ εἰς ἐκεῖνο ὑπὸ Τρώων τοιοῦτο πέπρακτο.

Στίχ: 82. . . . . ΑΙΡΕΙΣΘ' ΕΚΤΡΟΥΣ . . . . ΜΝΗΣΤΑΣ Δ' ΑΡΠΑΖΕΙΝ; Καιμὴν ἔπω ἔτε Λατῖνος ἑκυρὸς ὡμολόγητο Τύρνῳ, ἔθ' ἡ Λαβίνη μεμνήσευτο. (Ὅρα Θ. Αἰν: 140.)

Στίχ: 83. ΔΕΞΙΤΕΡΗΙ ΦΙΛΙΗΝ ΑΙΤΕΙΣΘΑΙ κτ: Δι' ἐκεῖνα δηθεν τὰ ἐν Z. Αἰν! στίχ. 160.

Στίχ: Αὐτ: . . . . ΠΛΕΙΝ ΔΕ ΜΕΘ' ΟΠΛΩΝ; Διὰ τὰ ἐν τῷ Η. Αἰν: στίχ 81. καὶ στίχ. 96.

Στίχ: 84. ΑΙΝΕΙΑΝ ΣΥ ΔΥΝΗ κτ: Πρὸς ἐκεῖνο ἀφορᾷ τὸ παῤ Ὁμήρῳ, ὅτε τὸν Αἰνείαν ἡ Κύπρις ὑπεξεῖλε τῆς μάχης σκεπάσασα. Ἰλ: Ε. στίχ 314.

„Ἀμφὶ δ' ἑὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκὼ·
„Πρόσθε δὲ οἱ πέπλοιο φαεινῇ πτύγμ' ἐκάλυψεν,
„Ἔγχος ἔμεν βελέων, μήτις Δαναῶν ταχυπώλων
„Χαλκὸν ἐνὶ στήθεσσι βαλὼν, ἀπὸ θυμὸν ἕλοιτο.
„Ἡ μὲν ἑὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο.

Στίχ: 85. ΑΧΛΥΝ Δ' ΑΝΤ' ΑΝΔΡΟΣ κτ: Τότε γὰρ Αἰνείαν παραλαβὼν, Αὐτ: στίχ. 344.

„Τὸν μὲν μετὰ χερσὶν ἐρύσσατο φοῖβος Ἀπόλλων
„Κυανέῃ νεφέλῃ. . . . . .

Στίχ:

Me duce Dardanius Spartam expugnavit adulter?
Aut ego tela dedi, fovive Cupidine bella?
Tunc decuit metuiſſe tuis: nunc ſera querelis
Haud juſtis aſſurgis, & irrita jurgia jactas.
Talibus orabat Juno; cunctique fremebant
Cœlicolæ aſſenſu vario: ceu flamina prima,
Cum deprenſa fremunt ſylvis, & cæca volutant
Murmura, venturos nautis prodentia ventos.
Tum pater omnipotens, rerum cui ſumma poteſtas,
Infit: eo dicente, Deûm domus alta ſileſcit;
Et tremefacta ſolo tellus; ſilet arduus æther:
Tum Zephyri poſuêre; premit placida æquora pontus.
Accipite ergo animis, atque hæc mea figite dicta.
Quandoquidem Auſonios conjungi fœdere Teucris
Haud licitum eſt, nec veſtra capit diſcordia finem:
Quæ cuique eſt fortuna hodie, quam quiſque ſecat ſpem,
Tros Rutuluſve fuat, nullo diſcrimine habebo:
Seu fatis Italum caſtra obſidione tenentur,
Sive errore malo Trojæ, monitiſque ſiniſtris.

Nec

❋ ❋ ❋

Στίχ: 86. ΚΑΙ᾽ ΝΑΥ̃Σ . . . . ΜΕΤΑΜΟΡΦΆΖΕΙΝ ΕΙ᾽Σ ΝΎΜΦΑΣ. Τὸ τῆς Μητρὸς τῶν Θεῶν ἔργον (περὶ οὗ Θ. Λίν: στίχ. 111.) τῇ Ἀφροδίτῃ ἐξ αὐτὸ προσανῆψεν.

Στίχ: 88. . . . . ΑΓΝὨΣ ΚΑΙ᾽ ΑΠΈΣΤΩ. Τετὶ γὰρ καὶ μάλα τῇ Ἥρᾳ βελομένῃ ἰῷ καταθύμιον, ἐν ᾗ δὴ καὶ ἔλαθε τὸ σκοπέμενον ἐκδηλώσασα.

Στίχ: 89. ΣΟΙ᾽ ΠΛΆΦΟΣ . . . . Πρὸς ἐκεῖνα τὰ ἄνωτ: στίχ: 51. 52.

Στίχ: 90. ΤΙ᾽ ΠΤΌΛΙΝ κτ: Τίνα Ἄρδεαν φησὶ, περὶ ἧς Ζ. Λίν: 449. Ὠδῖνες δὲ τῆς πόλεως αἱ κατὰ Μεζεντίε ὑπῆρχον σάσεις, τὲ κακῶς καὶ τυραννικῶς ἄρξαντος. (Ἀυτ: στίχ. 696.) Ἀδίκως ἄρα τότε γε ἕνεκα Λίνείαν Ἥρα ἠτιᾶτο προσδιαβάλλεσα᾽ ἢ ἄλλως, τίνα Ἰταλίαν ὄλλυ συγκινηθεῖσαν ἐνταῦθα, ἀντὶ τῆς πόλεως νοητέον, ὡς οἴεται Σέρβιος.

Στιχ: 91. ΤΡΗΧΥΤΈΡΑΣ ΚΡΑΔΊΑΣ κτ: Τοιέτες δὴ τὲς Ῥοτόλες καὶ Νυμάνος ἄνωθι μεγαλαυχῶν ἀνεκήρυττεν. Λίν: Θ. στίχ. 625.

„Ἡμεῖς ἐκ βίζης σκληρὸν γένος κτ:

Στίχ: 92. ΗΜΕΙ᾽Σ ΤΑ᾽ ΦΡΥΓΊΗΣ κτ:, Τὸν ἐπισυμβάντα τῇ Τρωάδι ὄλεθρον ἑαυτῆς Ἥρα ἀποσκευάζει, τῇ Ἀφροδίτῃ ὡς παρωτίῳ ἐκείνε γενομένῃ αὐτὸν ἐπιῤῥίπτεσα.

Στίχ: 95. . . . . ΚΛΟΠΕΊΗ, τῇ Ἁρπαγῇ τῆς Ἑλένης.

Στίχ: 96. . . . . Ὁ ΜΟΙΧὈΣ ΔΆΡΔΑΝΟΣ, Ὁ Πάρις.

Στίχ: 97. ΣΠΆΡΤΗΝ ΕΚΠΈΡΣΑΣ. Οὕτω γὰρ ὁ Μάρων: Spartam expugnavit. (τίνα Σπάρταν ἐξεπολιόρκησέ τε καὶ παρεξήσατο.) Τῆς γὰρ Ἑλένης, φασὶν, ἑκοντὶ τῷ Πάριδι παρακολεθῆσαι μὴ βελομένης, τίνα πόλιν αὐτὸν ἐπεμβάντα καταπορθῆσαι, καὶ πολέμου νόμῳ τίνα τε γυναῖκα, καὶ τὸν περὶ αὐτῇ πλῆτον, οἷα δὴ λάφυρον, διαρπάσαθαι. Ὡς ἔγε ταῦθ᾽ ἕτως ἔχε, θαυμασὸν ἐδὲν, πρὸς ἅμιλλαν ἐξῆς τὸ Ἑλλιωικὸν ἅπαν συμπνεῦσαι, καὶ μηδὲ Μενέλαον τίνα ἀκοίτιν ἀπαξιῶσαι προσέθαι τε, καὶ τῆς ἐυνῆς μεταδῆναι, διὰ τὸ τῆς ἁρπαγῆς βίαιον καὶ ἀθέλητον· οὕτω δὲ ἄρα καὶ οἱ Γαλλισὶ τὸν Μάρωνα ἐμιμήσαντες ἀπέδωκαν: Le Troien perfide et adultere, qui forçà la ville de Sparte—Qui ſaccagèa la ville de Sparte? ὁ δ᾽ Ἰταλὸς, ἐδ᾽ αὐτὸς τῆς διανοίας πάνυ ἀπέχων:

„Jo conduſſi l' adultero paſtore
„A l'impreſa di Sparta?

Οὐ

Καὶ ναῦς ῥᾶξα δ' ἔχεις μεταμορφάξειν εἰς Νύμφας·
Ἡμᾶς δ' ἔ τι θέμις βαιὸν Ροτόλοισιν ἀρῆξαι;
Αἰνείας ἀγνὼς μὲν ἄπες· ἀγνὼς καὶ ἀπέξω.
Σοὶ Πάφος, Ἰδάλιόν τε, καὶ αἰπὰ Κύθειρα ἀνήκει:
Τὶ πτόλιν ἀργαλέας ὑσμίνας ὠδίνασαν,
Τρηχυτέρας καδίας τε ὑπεξερέθεις ἀλλήλας;
Ἡμεὶς τὰ Φρυγίης ἀντρέψαι ὑπόῤῥοα ἄρδιν
Ἰέμεθ'; ἡμεῖς; ἢ δειλὸς ὅς Τρῶας Ἀχαιοῖς
Ἀντιβάλεν; τὶς δ' ἔσκεν ὅς αἴτιος ὦρσεν ἐς ὅπλα
Εὐρώπιν τ' Ἀσίην τ', εἰρίνην δ' εἶλε κλοπείῃ;
Ἡγεσίης ἡμῖσιν ὁ μοιχὸς Δάρδανος ἔχε
Σπάρτιν ἐκπέρσας; ἢ αὐτὴ ὅπλα παρέχον;
Ἦτε δὴ πολέμους δι' ἔρωτος ἐγὼ ὑπὸ θάλψα;
Τῆμος δειδιέναι περὶ τοῖς χριῶ· ὀψὲ δὲ ἤδη
Αἰτιάσεις ἀδίκως, καὶ νείκεα φρῇδ' ἐνιτείνεις.
Τῶς ἀγόρευ' Ἥρη· Θεοὶ δ' ὑπέβρυχον ἅπαντες,
Φραξόμενοι δίχα· ὥς τ' ἀνέμων ὑπαήματα πρῶτα,
Εὖτ' ἐνιμορμύρει μέσσιν κατὰ δάσκιον ὕλιν,
Τυφλὰ τ' ἀναστροφέοντα συρίγματα ἠδ' αἴδηλα,
Αἶψα πνευσομένους δηλοῖ πλωτῆρσιν ἀήτας.
Τόφρα πατὴρ πάντων, τῦ δή κράτος ἐστὶ μέγιστον,
Ὕδα, δῶ δὲ Θεῶν λαλέοντος ἔχεσκεν σῖγα.
Σείσθη δὲ χθὼν, ἠδ' ὑψηλὸς ῥίγησ' αἰθὴρ,
Παῦσαν δὲ ζέφυροι, ϛόρνυ δ' ἐὰ λαίτματα πόντος.

Κλῦτε

❁ ❁ ❁

Οὐ γὰρ ἄν, εἰ μή τι ἦν ἔτος σωυπενέειν τοιῦτον, Impresa di Sparta, τὸ ἔργον ὠνόμασεν. Ἀλλὰ γὰρ ἡ κοινὴ δόξα κρατεῖ, τῦ τὶν Τυνδαρεώνιν ἐκῦσαν ἐνδῦναι τῷ Φρυγὶ νεανίσκῳ, ὡς ὁ ἐποποιὸς Κόλαθος ἐῤῥαψῴδησεν.

Στίχ: 99. ΤΗ ΜΟΣ . . . . Ὅτε ταῦτα ἐκίνεις.

Στίχ: 102. ΦΡΑΖΟΜΕΝΟΙ ΔΙΧΑ . . . . Οἱ μὲν ὑπὲρ Ροτόλων σιὼ Ἥρῃ ἑσάμενοι, οἱ δὲ σιὼ Ἀφροδίτῃ ὑπὲρ Τέυκρων.

Στίχ: Αὐτ:—105. Ὣς Τ' ΑΝΕΜΩΝ κτ: Καὶ ἄλλοις ὁ Μάρων τῦ φαινομένε ἐμνήσθη τέτε. Γεωργ. Α. στίχ. 406. Ἀλλ' ὧδε μὲν Οὐιργίλιος τὸν βρυγμὸν τῶν ἀντιφρονέντων Θεῶν, διὰ τῦ προϋπακουομένου ἠχήματος τῶν ἀντιπνευσόντων ἀνέμων, ἐδήλωσεν· ὁ δὲ Καλαβρὸς καὶ τὲς Θεὲς αὐτὲς κατήγαγεν ἐρανόθεν ὑπὸ τὸ Ἴλιον συῤῥηγνυμένας, ἐπὶ τοῖς ἀνέμοις ὡς ἐπ' ὀχήμασι. Παραλ: Βιβλ: ΙΒ. στίχ. 158.

„Ἔμπεσεν ἀθανάτοισιν ἔρις· δίχα δὲ σφιν θυμὸς
„Ἔπλετ' ὀρινομένων· ἀνέμων δ' ἐπιβάντες ἀέλλας
„Οὐρανόθεν φορέοντ' ἐπὶ χθόνα . . . . .
„Ἀλλήλων ἴσαντο κατ' αντίον, οἱ μὲν Ἀχαιῶν,
„Οἱ δ' ἄῤ ὑπὲρ Τρώων . . . . . .

Στίχ: 108. ΣΕΙΣΘΗ ΔΕ ΧΘΩΝ κτ: Ὁ μὲν παῤ Ὁμήρῳ Ζεὺς τῇ Θέτιδι τὶν αἴτησιν ἐπινέυσας, (Ἰλ: Α. στίχ. 530.) „μέγαν ἐλέλιξεν ὄλυμπον· ὁ δὲ παρὰ τῷ Καλαβρῷ (Παραλ: ΙΒ. στίχ. 192.) ὑπερχολέμενος, σιὼ δ' ἐτίναξεν αἰθέρα πᾶσαν. ὁ δὲ παρὰ τῷ Μάρωνι ὧδε λαλῶν καὶ τὶν γλῶ σαλέυει, καὶ πάντα σιγᾶν ἀναγκάζει. Ὁ δὲ Σχολιαστὴς Κέρδης, παραπλησίως καὶ Ἐυριπίδιν παρέθετο ἐν Βάκχαις, τὸν, Βάκχε λαλῦντος, πάντα σιγᾷν ἐκδιδάσκοντα.

„Σίγησε δ' αἰθὴρ, σίγα δ' ἔυλεμος νάπη
„Φύλλ' εἶχε, θηρῶν δ' ἐκ ἂν ἤκουσας βολιῦ.

Nec Rutulos ſolvo: ſua cuique exorſa laborem,
Fortunamque ferent: Rex Juppiter omnibus idem.
FATA viam invenient. Stygii per flumina fratris,
Per pice torrentes, atrâque voragine ripas,
Annuit, & totum nutu tremefecit Olympum.
Hic finis fandi: ſolio tum Iuppiter aureo
Surgit, Cœlicolæ medium quem ad limina ducunt.
Interea Rutuli portis circum omnibus inſtant
Sternere cæde viros, & mœnia cingere flammis.
At legio Æneadum vallis obſeſſa tenetur;
Nec ſpes ulla fugæ: miſeri ſtant turribus altis
Nequicquam, & rarâ muros cinxêre coronâ.
Aſius Imbraſides: Hicetaoniuſque Thymœtes,
Aſſaracique duo, & ſenior cum Caſtore Thybris,
Prima acies: hos germani Sarpedonis ambo,
Et Clarus, & Hæmon, Lyciâ comitantur ab altâ.
Fert ingens toto connixus corpore ſaxum;
Haud partem exiguam montis, Lyrneſius Acmon,
Nec Clytio genitore minor, nec fratre Mneſtheo.
Hi jaculis, illi certant defendere ſaxis,
Molirique ignem, nervoque aptare ſagittas.
Ipſe inter medios, Veneris juſtiſſima cura,
Dardanius caput ecce puer detectus honeſtum;

Qva-

❁ ❁ ❁

Στίχ: 112. ΟΥ ΘΕΜΙΣ, *Πέπρωται γὰρ ἀλλήλοις ἀντίζηλα εἶναι τὰ ἔθνη.*

Στίχ: 114. . . . . ΕΜΟΙ ΟΥΤΙ ΔΙΟΙΣΕΙ. *Διαφοφήσειν ὁ Ζεὺς ἐπαγγέλλεται, τιὼ τῶν Θεῶν φάσιν, τῶν μὲν τῇ Ἥρᾳ συμφατριαζόντων, τῶν δὲ τῇ Ἀφροδίτῃ, φῆσαι ἀδυνατῶν.*

Στίχ: 117. ΟΥΔΕ ΛΥΩ ΡΟΤΟΛΟΥΣ. . . . . *Ταυτὸ καὶ περὶ Τεύκρων (φησὶ Σέρβιος) συνεπινοεῖσθαι εἰκὸς, καθ' ὃν δὴ νοιῶ ἐξιὼν ἑρμηνεῦσαι, (ἐδὲ λύω ἑτέρως.) Ἀλλὰ περὶ Ῥοτόλων ἄμεινον ἐκλαβεῖν ἰδιαίτερον τὸ ῥηθὲν. ὑποσημαίνει γὰρ ἔτω τὲς ἥττονας ἐσομένους τῇ μάχῃ, καὶ δεσμοῖς μενεῖντας τοῖς ὑπὸ τῶν κρειττόνων τεθεισομένοις, ὡς ἥκιστα τὸν Δία ἐλάνθανεν.*

Στίχ: 118. . . . . ΠΑΣΙΝ Ο ΑΥΤΟΣ. *Ἐπίσης ἅπασι τὰ δίκαια νέμων.*

Στίχ: 119. ΜΟΙΡΑ ΟΔΟΝ ΚΙΧΑΝΕΙ. . . . . *Τὸ εἱμαρμένον εἰς πέρας προελεύσεται. Οὐκοιῶ ἕτερόν τι τὲ Διὸς τιὼ Μοῖραν ὧδε ὁ Ποιητὴς ἀποφαίνει. Ἀλλὰ τῷ Διῒ ἡ πεπρωμένη ἑκάστῳ Μοῖρα ἐκ ἄδηλος.*

Στίχ: Αυτ: . . . . ΝΗ ΤΑ ΣΤΥΓΟΣ ΥΔΑΤ ΑΔΕΛΦΟΥ. *Περί τε τῆς Στυγὸς καὶ τὲ κατ' αὐτῆς ὅρκε, ἐν Α. τῶν Γεωργ. στίχ. 273. καὶν τῷ Δ. στίχ. 580. τὰ δὲ σύγια ὕδατα τῷ Ἀδελφῷ Ἀιδωνεῖ ἀπονέμει ὡς λάχος ἴδιον, τῷ καὶ Διῒ συγίῳ διὰ τὲτο καλεμένῳ, καὶ συγίῳ Ἀνακτι.) ὅρα ς. Λιν: στίχ. 283.) Εἰσάγεται οὖν ὁ Ζεὺς συχνάκις τῷ τοιῷδε χρώμενος ὅρκῳ· δι' οὗ καὶ τῇ Θεῶν Μητρὶ ἀνωτέρω (Βιβλ: Θ. Λιν: στίχ. 106.) τιὼ ὑπὲρ τῶν Νηῶν χάριν καταινέσας διεπισώσατο.*

Στίχ: 121. . . . . ΝΕΥΣΑΣ ΕΛΕΛΙΞΕΝ ΟΛΥΜΠΟΝ. Ἰλ: Α. στίχ. 528.

„Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων,
„Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερῤῥώσαντο ἄνακτος
„Κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν ὄλυμπον.

Ἀλλ' ὁ μὲν καθ' Ὅμηρον Ζεὺς, τοῖς βοερύχοις ἔτω τὸν οὐρανὸν συνταράσσει, ἐπινεύσας τιὼ αἴτησιν· ὁ δὲ τὲ Μάρωνος ἐνταῦθα, καὶ χολωθεὶς πως κατὰ τῶν Οὐρανιώνων σασιαζόντων, τῷ παρὰ τῷ Καλαβρῷ (Ιβ. Παραλ: 172.) ἐσὶν ὁμοιότερος.

„Ἵκετο

Κλῦτε ἄρα Φρεσὶν, ἅττα πιφάσκω δ' ἔμπεδ' ἔχοιτε.
Οὕνεκα Αὐσονίας Φιλίῃ θέσθαι σὺ Τεύκροις
Οὐ θέμις, οὐδὲ πέρας σφετέρης πέλεται διχονοίης,
Ἥτις, ὅτῳ κεν νῷ παρέποιτο τύχη τ' ἐλπίς τε,
Τρῳὸς, ἤτοι Ῥοτόλος τελέθει, ἐμοὶ ἔτι διοίσει.
Εἴτ' ἄρα Ἰταλοὶ ἐκ Μοιράων Τρῶας ἐνεῖρξαν,
Εἴτε κακῇ Τροίης ἄτῃ σκαιᾶς θ' ὑποθήκαις.
Οὐδὲ λύω Ῥοτόλας· ἀμφοῖν ἔυ, ἢ ὡς ἄλλως,
Ἔργ' ἀπολήξει. Ζεὺς βασιλεὺς εἷς, πᾶσιν ὁ αὐτὸς.
Μοῖρα ὁδὸν κιχάνει· νὴ τὰ Στυγὸς ὕδατ' ἀδελφῆ,
Πισσορόας ὄχθας τε, μελάντατον ἠδὲ βέρεθρον.
Ἦ, καὶ κρατὶ ὅλον νεύσας ἐλέλιξεν Ὄλυμπον,
Ὡς δ' ἀγορὴ λύθη· Δία δὲ χρυσῆ ἀπὸ θώκη
Αἴσσαντα μέσον πρὸς δῶμα Θεοὶ παραπέμπον.
Τετάκι δ' ἄρ' Ῥοτόλοι περὶ ἕξαντ' ἀμφὶ πυλῶσιν,
Ἄνδρας ἐναίροντες, πυρὶ δ' ἕρκατα ἐμπιπρῶντες.
Ἔντοθ' Αἰνεαδῶν λεγεὼν δὲ καθείργνυτο τάφροις,
Οὐδ' ὑπαλύξαι εἶω, οἰκτροὶ δ' ἐπ' ἐπάλξεσιν ἔσαν
Ἥλιθα, καὶ παῦροι τειχῶν ὕπερ ἀντιμαχεῦντο·
Ἄσιος Ἰμβρασίδης, Ἰκεταόνιός τε Θυμοίτης,
Ἀσσάρακοὶ τὲ δύω, πολιὸς θ' ἅμα Κάυρος Θύμβρις.

❁ ❁ ❁

„Ἵκετο δ' οὐλύμποιο ῥίον μέγα· σὼ δ' ἐτίναξεν
„Λίθερα πᾶσαν ὑπερχολέμενος· ἄλλοτε δ' ἄλλαι
„Βρονταὶ ὁμῶς σεροπῇσι μεγ' ἐκτύπεον· ἐκ δὲ κεραυνοὶ
„Ταρφέες ἐξεχέοντο ποτὶ χθόνα· καίετο δ' ἀὴρ
„Ἄπετος· Ἀθανάτοισι δ' ὑπὸ φρένας ἔμπεσε δεῖμα·
„Πάντων δ' ἔτρεμε γυῖα, καὶ ἀθανάτων περ ἐόντων.

Στίχ: 129. ΆΣΙΟΣ ΙΜΒΡΑΣΙΔΗΣ κτ: Φέρεται δὴ καὶ παῤ Ὁμήρῳ Τρὼς ὄνομα Ἄσιος, ἀλλ' ἐκεῖνος μὲν ἦν Ὑρτακίδης πατρωνυμόμενος, (Ἰλ: Β. στίχ. 838.) οὗτος δὲ Ἰμβρασίδης, ἀπὸ πατρὸς Ἰμβράσου· ὥσπερ καὶ Ἰκεταώνιος ὁ ἐχομένως Θυμοίτης, ἀπὸ Ἰκετάωνος.

Στίχ: 130. ΑΣΣΑΡΑΚΟΊ ΤΕ ΔΥΏ, ΠΟΛΙΟΣ Θ' ΆΜΑ ΚΑΥΣΤΟΡΙ ΘΥΜΒΡΙΣ. Ὁμώνυμοι οἱ Ἀσσάρακοι, εἰμὴ τυχὸν ἐξ Ἀσσαράκης τὸ γένος ἕλκοντες, (περὶ ἧς γένεσ, ὅρα Θ. Αἰν: στίχ. 665.) οὗς περ ὁ Ἰταλὸς Κάυρος, ἐκ διὸς εἰ ἄκων, ἢ ἑκὼν εἶναι παρέδραμεν. Ὁ δέτοι Θύμβρις ὅπως γεραίτερος ὑπὸ τῶ Ποιητῆ λέλεκται: Senior cum Caſtore Tybris: ἀμφίβολον· πότερον γὰρ; παραθέσει τῇ πρὸς Κάυρον τὸν ἑταῖρον, καθότι καὶ ἔτος γηραιὸς ἰῷ; ἢ τῷ παραθετικῷ ὡς θετικῷ νοεμένῳ, τῷ γεραιτέρῳ ἀντὶ τοῦ ἁπλῶς γέροντος; Αὐτοὶ γὰρ ἔτως ἐξειλήφαμεν, πολιὸν ἑρμηνεύσαντες καθ' ἑαυτὸν ἀπαραθέτως. Οὕτω γὰρ δὴ καὶ Κάυρος:

„ . . . . . El buon Caſtore inſieme
„Col vecchio Tebro . . . . . .

Σεσημείωται δ' ὅτι κατά συζυγίας ὁ Ποιητὴς ὧδε τὰς προμάχας, τῇ κατὰ συγγένειαν οἰκειότητι, ἢ κατὰ Φιλίαν, ὡς εἰκὸς ἀλλήλοις συναπτομένας παρέσησεν· ἐγίνοντο γὰρ ἔτος ἑτέρῳ ἕτερος ἡγεμὼν προτροπεὺς εἰς ἀλκὴν, καὶ βοήθημα· ὑπ' ἀλλήλων παραθηγόμενοι· ἦν δὲ Λακωνικὴ ἡ ἀγωγὴ, ἐ μικρὰν εἰς ἀνδραγαθίαν τὴν ῥοπὴν ἔχουσα.

Qvalis gemma micat, fulvum quæ dividit aurum,
Aut collo decus, aut capiti; vel quale per artem
Incluſum buxo, aut Oriciâ terebintho
Lucet ebur: fuſos cervix cui lactea crines
Accipit, & molli ſubnectens circulus auro.
Te quoque magnanimæ viderunt, Iſmare, gentes
Vulnera dirigere, & calamos armare veneno,
Mæoniâ generoſe domo, ubi pinguia culta
Exercentque viri, Pactoluſque irrigat auro.
Affuit & Mneſtheus, quem pulſi priſtina Turni
Aggere murorum ſublimem gloria tollit;
Et Capys; hinc nomen Campanæ ducitur urbi.
Illi inter ſeſe duri certamina belli
Contulerant: media Æneas freta nocte ſecabat.
Namque ut ab Evandro caſtris ingreſſus Etruſcis,
Regem adit, & regi memorat nomenque genuſque;
Quidve petat, quidve ipſe ferat; Mezentius arma
Quæ ſibi conciliet; violentaque pectora Turni
Edocet: humanis quæ ſit fiducia rebus
Admonet: immiſcetque preces: Haud ſit mora: Tarchon
Jungit opes, fœduſque ferit. Tum libera fatis
Claſſem conſcendit juſſis gens Lydia Divûm,
Externo commiſſa duci. Æneïa puppis
Prima tenet, roſtro Phrygios ſubjuncta leones:

Im-

❀ ❀ ❀

Στίχ: 131. . . . . ΣΑΡΠΗΔΟ'ΝΟΣ ΄ΑΜΦΩ ΄ΟΜΑΙ'ΜΩ, Καὶ τόδε ἀμφιλογεῖται· ἤτοι γὰρ τῦ Σαρπηδόνος ἦες ἀμφότεροι γεγονότες, ἀλλήλοιν ὁμαίμονε ἦσιν, ἢ καὶ αὐτῷ ἐκείνῳ ὁμομήτριοι κάσεις. Καὶ οἱ μὲν Γάλλοι, ὧν πολλάκις ἐμνήθην, Freres *ἀπέδωκαν* de Sarpedon. *ὡσαύτως* δὲ καὶ ὁ Κάρος: di Sarpedonte i fratti· Σέρβιος δὲ ἰῶ ἀμφιβάλλων.

Στίχ: 132 ΚΑΙ' ΚΛΑ'ΡΟΣ 'ΗΔ' ΄ΑΙΜΩΝ. Δοκῶσι δ' ἔτοι παρὰ τὰς Σαρπηδόνος εἴθ' υἱὰς, εἴθ' ὁμαίμονας, ἕτεροι γενέθαι, ἐκείνων ἀκατονομάστων εἰσενεχθέντων, καὶ μόνον ἀπὸ τῆς μετὰ τῦ Σαρπηδόνος συγγενείας διαγνωριθέντων· τετὶ δὲ δηλῶθαι ἔοικε, πῆ μὲν, ἐκ τῦ προσεθέντος συμπλεκτικῦ (καὶ), πῆ δὲ, καὶ ἐκ τῆς ἐπισημειωθείσης χώρας· ὅτι γὰρ, εἴπερ τῦ Σαρπηδόνος συγγενεῖς ἦσαν, ἐκ Λυκίας ὤφειλον τὸ γένος ἕλκειν, περιττὸν ἰῷ τὸ προσθῆναι. Δῆλον γὰρ ἐξ Ὁμήρε, Ἰλ: Β. στίχ. 876.

„Σαρπηδὼν δ' ἦρχεν Λυκίων. . . .

Στίχ: 134. . . . . ΛΥΡΝΗ'ΣΙΟΣ ΄ΑΚΜΩΝ, Ἦν δὲ πόλις ἡ Λυρνησσὸς Τρωϊκὴ, μία τῶν ἕνδεκα, τῶν ἐν τῇ Τρωάδι, (Στέφ: Βυζ.) ἐγγὺς τῦ κόλπε κειμένη τῦ Ἀδραμυττιωῦ· πατρὶς αὕτη Βρισηίδος, περὶ ἧς τὸ νεῖκος ἐξήφθη, τὸ μεταξὺ Ἀχιλλέως καὶ Ἀγαμέμνονος,

Στίχ: 136. ΤΩ'Ν Δ' ΟΙ' ΜΕ'Ν . . . . ΟΙ' ΔΕ' . . . . Οἱ μὲν, ἤτοι οἱ Ῥοτόλοι· οἱ δὲ, οἱ Τεῦκροι.

Στίχ: 137. 'ΟΙ Δ' 'ΕΡΡΙΠΤΑΖΟΝ ΠΥ'Ρ, ΟΙ' Δ' 'ΕΠΕΤΟΞΑ'ΖΟΝΤΟ. Οἱ μὲν ἄνωθεν πῦρ ἀφνιέτες, οἱ δὲ κάτωθεν τοξοβολῦντες· τὸ δὲ χῆμα, τὸ λεγόμενον ἐσὶ χασὸν.

Στίχ: 138. ΔΑΡΔΑ'ΝΙΟΣ ΔΕ' ΠΑ'Ι'Σ . . . . Ὁ 'Ασκάνιος.

Στίχ: 139. . . . . ΚΕΦΑΛΗ'Ν 'ΑΚΑΛΥ'ΠΤΩΣ, Κόρυθος ἄνευ.

Στίχ: 140. . . . . ΔΙΑΤΕ'ΜΝΩΝ, Διαζίζων τε καὶ καταγλαΐζων.

Στίχ:

Πρῶτον ἄγημα τοὐδ', οἷς Σαρπηδόνος ἄμφω ὁμαίμω,
Καὶ Κλάρος, ἠδ' Αἴμων, αἰπῆς Λυκίης ἀφέποντο.
Ἶφι δ' ἐρεισάμενος δέμας ἦκεν ἀναιδῆ λᾶαν,
Οὔρεος ὅττι μέρος βαιὸν, Λυρνήσσιος Ἄκμων,
Οὐ πατέρος Κλυτίοι, κάσιός τε Μνεσθέος ἦσσων.
Τῶν δ' οἱ μὲν μάρναντο βελέμνοις, οἱ δὲ πέτρῃσιν,
Οἵ δ' ἐρίπταζον πῦρ, οἱ δ' ἐπετοξάζοντο.
Δαρδάνιος δὲ πάϊς, τῷ μέμβλετο κάρτ' Ἀφροδίτη,
Ἑξὼς ἐν μέσσοις καλιῷ κεφαλιῷ ἀκαλύπτως,
Ὡς ῥὰ λίθαξ σίλβε ξανθὸν χρυσὸν διατέμνων,
Ἠέτε δειρῇ ἄγαλμ', ἢ κράατι· ἠέθ' ὁποῖος,
Πυξῷ τεχνοσύῃ ἐναρηρὼς, ἢ Τερεβίνθῳ
Τῇ ἐξ Ὠρικίης, ἐλέφας καλὸν διαφαίνει.
Τοῦ δ' ἀναχευομένας ἀυχιὼ ἀγλαὰς αἰθείρας
Δέκτο γαλακτόχρως, αἳ χρυσῷ ἐσφήκωντο.
Καί σε, δὲ Ἴσμαρε, τόφρα ὄπωπε μεγιώορα ἔθνη,
Τραύματα ἰθύοντ', ἀμφαρμάσσοντά τε ἰὸς,
Γενναίδα Μηονίοι ἐξ οἴκοι, πίονα ἔνθα

Ἔσι

❁ ❁ ❁

Στίχ: 141. ΗΕ ΤΕ ΔΕΙΡΗΙ ΑΓΑΛΜ, Η ΚΡΑΑΤΙ . . . . Τὸ μὲν ἐν κλοιῷ, τὸ δὲ ἐν περικεφαλαίᾳ.

Στίχ: 142. ΠΥΞΩΙ . . . Η ΤΕΡΕΒΙΝΘΩι, Τῇ γὰρ ἐν τοῖς μελαντέροις τῶν ξύλων ἐναρμογῇ, λευκότερος ἑαυτῷ ὁ ἐλέφας ἐκ παραθέσεως ἀναφαίνεται· ὡσαύτως οὖν καὶ παρὰ τῇ μελαντάτῃ χαίτῃ, λευκότερον τῷ παιδὶ τὸ τῦ χρωτὸς γάνος ἀπέλαμπεν.

Στίχ: 143. ΤΗΙ ΕΞ ΩΡΙΚΙΗΣ . . . . Ὠρικὸς πόλις Ἠπείρω, παρὰ τὸν εἰσβολὸν εἰς τὸν Ἀδρίαν ἐκ δεξιῶν εἰσπλέουσιν, ὑ πολὺ ἄποθεν Βυθρωτῦ· ἐξ ἧς Ὠρικία ἡ χώρα, καθ' ἣν ἡ μέλαινα ἐπιπολάζει Τερέβινθος, τῆς Συριακῆς καὶ τοι ἐλάσσων τὸ μέγεθος. Λέγεται δὲ ἀρσενικῶς ὁ Ὠρικὸς παρὰ Πολυβίῳ, ὡς ὁ τῶν Ἐθνικῶν Συγγραφεὺς σεσημείωκεν.

Στίχ: 145. . . . . ΑΙ ΧΡΥΣΩΙ ΕΣΦΗΚΩΝΤΟ. Οὕτω καὶ Ὅμηρος τὰς Εὐφόρβυ κατηγλάϊσεν αἰθείρας, τῦ ὑπὸ Μενελάυ πεσόντος. Ἰλ: Ρ. στίχ. 52.

„Πλοκμοὶ θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.

Πῶς δ' οὖν αἱ τῦ Παιδὸς Ἀσκανίυ αἴθειραι ἀνεχέοντο, οὔπερ χρυσῷ δακτυλίῳ, ἢ τέττιγι, ὁ τῶν τῆς κεφαλῆς τριχῶν ἀνεδέδετο κρώβυλος; Ἀλλ' ἐκεῖνο νοητέον περὶ τὰ, ἀπὸ τῦ σφηκώματος ἐφεξῆς, εἰς μῆκος τῶν βοστρύχων προχεόμενα ἄκρα.

Στίχ: 146. . . . . ΙΣΜΑΡΕ . . . . ΜΕΓΗΝΟΡΑ ΕΘΝΗ. Ὁ μὲν Ἴσμαρος ἑνός τινος ἰῷ τῶν ἐν Τρωσὶ κυριωνυμία. Τὰ δὲ μεγιώορα ἔθνη, ἀδὲν ἀπεικὸς ἑκάτερα ἐκλαβέσθαι, τό τε Τρώων καὶ τὸ Ῥοτόλων ἐπίσης, τιὼ Ἰσμάρῳ ἐυτοξείαν ἐρῶντα καὶ θαυμάζοντα. Διακριτέον δ' ἐνταῦθα τῶν ῥημάτων τιὼ χρῆσιν, προσφόρως τοῖς πράγμασιν ἔχουσαν. Ἴθυνε μὲν γὰρ τὰ τραύματα, ἤτοι τὰ βέλη τὰ εἰς τὸ τρῶσαι ἀφιέμενα, ἐυθυβόλως ἰεὶς καὶ ἐπιτυχικῶς, ἀνεφάρμασσε δὲ τὲς ἰὸς, ὥστε τιὼ πληγιὼ ἀναλθῆ τε εἶναι τῷ τρωθέντι καὶ ἀθεράπευτον. Περὶ δὲ τῆς τῶν βελῶν φαρμακείας, ὅρα Θ. Λίν: στίχ. 800.

Στίχ: 148. . . . . ΜΗΙΟΝΙΟΥ ΕΞ ΟΙΚΟΥ. Μαιονία εἴρηται ἡ Λυδία, ἀπὸ τῦ ποταμῦ Μαίονος, τῦ περὶ τιὼ Ἀχαΐδα γιῶ, (ὡς Στεφ: φησὶν ὁ Βυζ:) ῥέοντος, Ἀλλὰ τὸ (περὶ τιὼ Ἀχαΐδα) ὡς ἔχει κείμενον παρὰ τῷ Συγγραφεῖ τῷδε ἀμφιβάλλεται, τῶν μὲν περὶ τιὼ Ἀσιάδα ἐπανορθώντων, τῶν δὲ περὶ τιὼ Μαιονίδα· ἧπερ Ἀβραὰμ σεσημείωται τῷ Βερκελίῳ Λυτ: Σημ: 25.

Imminet Ida ſuper, profugis gratiſſima Teucris.
Hîc magnus ſedet Æneas, ſecumque volutat
Eventus belli varios: Pallaſque ſiniſtro
Affixus lateri, jam quærit ſidera, opacæ
Noctis iter, jam quæ paſſus terrâque, marique.
Pandite nunc Helicona, Deæ, cantuſque movete:
Quæ manus interea Thuſcis comitetur ab oris
Æneam; armetque rates, pelagoque vehatur.
Maſſicus æratâ princeps ſecat æquora Tigri:
Sub quo mille manus juvenum, qui mœnia Cluſi,
Quique urbem liquêre Coſas: queis tela, ſagittæ,
Corytique leves humeris, & lethifer arcus.
Unâ torvus Abas: huic totum inſignibus armis
Agmen, & aurato fulgebat Apolline puppis.
Sexcentos illi dederat Populonia mater
Expertos belli juvenes: aſt Ilva trecentos,
Inſula inexhauſtis chalybum generoſa metallis.

Ter-

❁ ❁ ❁

Στίχ: 149. . . . . ΠΑΚΤΩΛΟ῝Σ Ὁ Λυδίας ποταμὸς, ἀπὸ Τμώλε ὄρες καταῤῥέων, καὶ διὰ Σάρδεος χωρῶν, καὶ ἐπὶ τὸν Ἕρμον κενέμενος, καὶ ψάμμον κατάγων χρυσίτιδα, ἐξ οὗ καὶ χρυσορῥόας προσείρηται, καὶ ἐν λόγῳ μεγάλῳ ἰῶ. Ὁ μέν τοι Στράβων, ἀπομειωθέν πως τῷ χρόνῳ καὶ ὑπεκλιπον, ἧττον ἐπ' αὐτῷ τὸ ψῆγμα παρέδωκεν, ἢ πρότερον, καταφέρεσθαι.

Στίχ: 150. . . . . ΧΘΙΖΑ᾽ ῾ΡΑ᾽ ΤΥ῾ΡΝΟΝ ᾽ΑΠΩ῾ΣΑΣ. Ὅρα ἐν τῷ Θ. τῆς Αἰν: στίχ. 607. κξ:

Στίχ: 152. . . . . ΚΑ῾ΠΥΣ . . . . ΚΑΜΠΑΝΟ῾Ν . . . . ᾽ΑΣΤΥ. (Ὅρα Β. Γεωργ. στίχ. 255) τὸ δ' Ἄσυ, ἡ πόλις ἐστὶ Καπύα, ἣν συμφώνως τῷ Ποιητῇ, ὅ τε Γεωγράφος Βιβλ: Γ. καὶ ἐξ αὐτῆς ὁ τῶν Ἐθνικ. Συγγραφ. ἀπὸ Κάπυος φασὶν οὕτως εἰρῆσθαι τῆς κτίσαντος, καί τοι ἄλλως ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ Ῥέμος τε καὶ Ῥωμύλος οἱ τῆς Ἄρεος, οἱ Καπύης εἰσάγονται κτίτορες. Οἱ δ' ἀπὸ Τύσκων οἴονται τὸ Ἄσυ κληθῆναι δομησαμένων, κατὰ οἰωνισμὸν, ἀπὸ τῆς ἐν τῷ τὸς θεμελίες καταβάλλειν ἐποπτανθέντος Ἱέρακος. Κάπυς γὰρ τῇ φωνῇ Τύσκων ὁ Ὄρνις. Εὐσάθιος δὲ (ἐν τοῖς εἰς τὸν Περιηγ: Σημειώμ:) κατὰ τιὼ ἐτυμότητα τῆς ὀνόματος, τιὼ Καπύαν ἀκῆσαι φησὶ γλώσσῃ Λατίνων, καθ' οὓς Caput ἡ κεφαλὴ, τιμηθεῖσαν δηλονότι ὡς οἷα μητρόπολιν, ἐν ταῖς δώδεκα πρωτεύσασαν πόλεσι ταῖς ἐπὶ τῆς χώρας· ὅπερ καὶ Στράβωνι ἔδοξεν. Ὁ γεμιὼ Πλίν: Φυσ· Ἰσορ. Βιβλ· Γ. Κεφ: Ε. Capua (φησὶν) ab campo dicta, ἀπὸ τῆς ἐν πεδινῇ κεῖσθαι τῇ χώρᾳ. Campania γὰρ, καὶ Campua, καὶ Capua. οἷον Κάμπυα, καὶ ἀφαιρέσει τῆς (μ) Κάπυα.

Στίχ: 155. . . . . ᾽ΑΠ᾽ ΕΥ῾ΑΝΔΡΟΥ ΣΤΡΑΤΟ῾Ν ᾽ΕΤΡΟΥ῾ΣΚΩΝ . . . Εὐανδρος γὰρ ἰῶ ὁ παραινέσας παρ' Ἑτρύσκων ἐπικουρίαν αἰτεῖσθαι. (Ὅρα Η. Αἰν: στίχ. 495.)

Στίχ: 156. ΠΑΡΣΤΑ῾Σ ΤΩΙ῀ ΒΑΣΙΛΕΙ῀ . . . . Τῷ Τάρχοντι, ὡς εἰρήσεται μικρὸν κατωτ: στίχ. 161. Περὶ οὗ δὴ Τάρχοντος ὅρα Η. Αἰν: στίχ. 525.

Στίχ: 158. . . . . ΜΕΖΕΝΤΗΣ ῞ΟΠΛΑ ᾽ΑΓΕΙ῾ΡΩΝ. Δι' ὧν φησὶ τέτων, εἰς πτολαν Αἰνείας κινῆσαι τὰς Ἑτρύσκας ἐπιχειρεῖ, καὶ ὑποπτεύειν ἐνάγει, μή ποτε ὁ παρ' αὐτῶν ἀπελαθεὶς Δωμάσης (Η. Αἰν: στίχ. 501.) ὑπέρχη, τηλικάτε συμμάχε (οἷος ὁ Τύρνος ἰῶ) ἐυμοιρήσας. Καὶκεῖνο δὲ αὐτὰς λογίζεσθαι παραινεῖ καλῶς, μὴ ταῖς ἰδίαις αὐτῶν μόναις ἐπιπεποιθέναι καὶ ἐπιθαρρεῖν δυνάμεσιν, ἐννοοῦντας ὅσον παρεγχωρεῖ ταῖς τῶν πολέμων τύχαις τὸ ἄδηλον.

Στίχ:

Ἔσι γεώργια, τὰ χρυσῷ Πακτωλὸς ἐπάρδει.
Καὶ Μνεσθεὺς παρέλω, ὃς χθιζὰ ῥὰ Τύρνον ἀπώσας,
Ἕρκος τ' ἐξελάσας, μέγα ἔξοχον ἤρατο κῦδος.
Καὶ Κάπυς, ὄυνομ' ἀφ' ἕπερ Καμπανὸν ἔλαχεν Ἄξυ.
Οἱ μὲν ἄρ' ἀλλήλοις αἰνῇ σωέβαλλον δήρει,
Αἰνείας νυκτὸς δὲ μεσάσης τέμνε θαλάσσας.
Ὡς γὰρ ἀπ' Εὐάνδρω, σρατὸν Ἐτρύσκων ἐπαφῖκτο,
Παρσὰς τῷ βασιλεῖ, κλῆσιν, γενειὼ τ' ἐπεδήλω,
Ὅττι τε αὐτὸς ἔοι γ' αὐτίχων, χ' ὅττι κομίζων·
Ἠδ' ἄτε, ἠδ' ὅσ' ἔλω Μεζέντης ὅπλα ἀγείρων.
Καὶ Τύρνω δ' ἐδίδασκεν ὁποῖον ἀτάθαλον ἦτορ,
Ὡς τε ἄπισα πέλει τὰ θνητῶν πάντα παρῄνει.
Μίσγε δ' ἅμ' ἱκεσίας. Ἄτερ ἀμβολίης δ' οἱ Τάρχων
Ζεῦξε βοηθείας, αὐτὰρ τάμεν ὅρκια πιστά.
Τόφρα δὲ Μοιράων θεσμοῖς τε, Θεῶν τε κελεύσει,
Ἔπλει ὑπ' ὀθνείων ἡγήτορι Λύδιον ἔθνος.
Ναῦς μὲν ἄρ' Αἰνείαο προῆγε, δύω δὲ λέοντε
Συζεύκτω Φρυγίω, ἐπίσημον ἐς ἔμβολον ἄχεν,
Ἦν δ' ἐφ' ὑπερθ' Ἴδη Τρωσὶν φυγάδεσιν ἐραννή.
Ἔνθα δ' ἐφεζόμενος φρεσὶ μεμήριζ' Αἰνείας,
Ἐκβάσιας πολέμω παντοίας. Τῷ δέ γε Πάλλας
Λαιόθι παρσὰς, νιῒ νυκτίδρομα δίζετο ἄσρα,
Νιῶ δ' ἤρως τὰ πάθοι κατὰ γαῖαν, καὶ κατὰ πόντον.
Οἴξατε νιῶ γ' Ἑλικῶνα Θεαὶ, κινεῖτε δ' ἀοιδάς·

❋ ❋ ❋

Στίχ: 163 . . . . ΜΟΙΡΑ'ΩΝ ΘΕΣΜΟΙ'Σ κτ: Τῷ τέως γὰρ Ἐτρύσκοις, ἀπείρητο, κατὰ τιὼ τῦ γηραιῦ Τάρχωνος θέσπιν, ὑπὸ ὁμοεθνεῖ ἡγεμόνι κατὰ Μεζέντε ὅπλα κινεῖν. (H. Αἰν: στίχ. 518 — 523.) ἤδη δὲ ὑπὸ ὀθνείῳ στρατηγέντι τῷ Αἰνείᾳ, ἐνεδίδοιτο αἱ Μοῖραι τὸ πρὶν ἀπαγορευθὲν.

Στίχ: 164. . . . . ΛΥ'ΔΙΟΝ Ἔ'ΘΝΟΣ. (Ὄρα H. Αἰν: στίχ. 498.)

Στίχ: 165. — 167. ΝΑΥ'Σ . . . . : ΑΙ'ΝΕΙ'ΑΟ ΠΡΟΗ'ΓΕ, . . . Ναυαρχῶντος δηλονότι· πότερον δὲ ἐκ τῶν Αἰνείᾳ ἡ Ναῦς ὑπῆρχεν, αἷς πρὸς Εὐανδρον ἐπλευσεν; (H. Αἰν: στίχ. 81.) Ἀλλ' οἱ περὶ Αἰνείαν ἀπὸ Εὐάνδρω πρὸς Ἐτρύσκες διὰ ξηρᾶς ἦλθον ἱππεύοντες. (H. Αἰν: στίχ. 572.) εἰμή τις ἄρα φαίη μίαν αὐτὲς τῶν Τρωϊκῶν μετενεγκεῖν ἐκεῖ, οἷα, φασὶ, τιὼ Ἀργῷ πάλαι τὲς Ἀργοναύτας. Ἦ, μία ἰῶ τῶν Ἐτρύσκων Νηῶν ἡ ναυαρχὶς αὕτη; Ἀλλὰ Λέοντας αὕτη, καὶ τότες Φρυγίες, ἐπὶ τῷ προβόλω ἐδείκνυ, ἔφερε δὲ καὶ τὸ Ἴδης ὄρος αὐτὴ παράσημον· ὅθεν καὶ ἐραννὴ προσέρηται ἡ Ναῦς, ὡς δὴ τῆς πατρίδος τὲς Φρυγίες ἀναμιμήσκουσα. Ἀποροῖσεις δ' ἄν τις ἔτι, ὡς ἀδ' ὁ καιρὸς ἐνεχώρει, τὰ τοιαῦτα γράφειν ἐν νέᾳ τῆς νεὼς ἐπιχειρεῖν σύμβολα. Ἀπαντῶσι δέ τινες καὶ πρὸς τῦτο, ὡς εἰμὴ ἀναγλυφα, ἀνάγραπτα γοιῦ ἐξ αὐτοχεδίε ταῦτα παρίσατο εἰκονογραφέμενα.

Στίχ: 169 . . . . ΠΑ'ΛΛΑΣ· Ὁ τῦ Εὐάνδρω· τὰ μὲν Φιλομαθῶν, καὶ φιλοκρινῶν, ἅτε δὴ νέος, καὶ τῶν τοιύτων, ὡς μήπω πλεύσας, ὧν ἀδαὴς· τὰ δὲ καὶ ἐκ πολυπραγμοσύνης, τὰ τῷ Ἥρωϊ συμπεσόντα γνῶναι ἐπ' ἀκριβὲς ἐφιέμενος.

Στίχ: 172. Ο'ΙΞΑΤΕ ΝΥ'Ν Γ' Ἑ'ΛΙΚΩ'ΝΑ . . . . Ὥσπερ καὶ τῷ Ζ'. Αἰν: στίχ. 688. τὰς Μέσας ὁ Ποιητὴς ἐπικέκληται· ἐκεῖσε μὲν, τὲς ἅμα Τύρνῳ τῆς Ἰταλίας δήμυς συγκινηθέντας κατὰ Τρώων, ὧδε δὲ, τὲς ὑπὲρ αὐτῶν Τρώων ἅμα τῷ Αἰνείᾳ συμπλεύσαντας ἐπικαταλέξων.

Στιχ:

Tertius, ille hominum, Divûmque interpres Aſylas,
Cui pecudum fibræ, cœli cui ſidera parent,
Et linguæ volucrum, & præſagi fulminis ignes;
Mille rapit denſos acie, atque horrentibus haſtis.
Hos parere jubent Alpheæ ab origine Piſæ,
Urbs Etruſca ſolo. Sequitur pulcherrimus Aſtur,
Aſtur equo fidens, & verſicoloribus armis.
Tercentum adjiciunt (mens omnibus una ſequendi)
Qui Cærete domo, qui ſunt Minionis in arvis;
Et Pyrgi veteres, intempeſtæque Graviſcæ.
Non ego te, Ligurum ductor, fortiſſime bello,
Tranſierim Cycne, & paucis comitate Cupavo:
Cujus olorinæ ſurgunt de vertice pennæ.
Crimen amor veſtrum, formæque inſigne paternæ.
Namque ferunt luctu Cycnum Phaëthontis amati,
Populeas inter frondes, umbramque ſororum,
Dum canit, & mœſtum muſâ ſolatur amorem,
Canentem molli plumâ duxiſſe ſenectam,
Linquentem terras, & ſidera voce ſequentem.

Filius

❀ ❀ ❀

Στίχ: 175. ΜΑΣΣΙΚΟ'Σ 'ΑΡΧΟ'Σ . . . . ΧΑΛΚΕΙ'Η ΤΙ'ΓΡΙΔΙ. Ἐπώνυμος ἰῶ ὁ Μασσικὸς οὗτος, τῷ ἐπὶ τῆς Ἰταλικῆς Καμπανίας ὄρει· περὶ ἧ ὄρα Β. Γεωργ. στίχ. 168. Παρατετήρηται δὲ, πολλοὺς τῶν οὓς ὁ Μάρων παρεισάγει οὕτω παρονομάζεσθαι. Οὕτω γὰρ καὶ ὁ τῆ Τυρρένος Αλμων (Ζ. Αἰν: στίχ. 570.) ἐκ τῆ ποταμῆ εἴρηται· καὶ Ἀβεντῖνος ἀπο τῆ λόφυ. (Ζ. Αἰν: στίχ. 705) καὶ ἄλλοι ὁμοίως. Ἀρχὸν δὲ νοητέον τὸν Μασσικὸν, ὡς ἐπὶ τῶν ἰδίων πρωτεύοντα· τῆ γὰρ ἴλη Ναυτικῆ στόλη Ναυαρχῶν ἰῶ Ἀνείας, (Ἄνωτ: στίχ. 165 — 167.) Τίγρις δὲ ἰῶ τὸ μέρφωμα χαλκίνη, τὸ ἐπὶ τοῦ τῆς Νηὸς ἐμβόλυ παράσημον· ὥσπερ δὴ καὶ ἐν Ε'. τῆς Αἰν: στίχ. 120. 123. 126. ἡ Περίσις, ἡ Χίμαιρα, ὁ Κένταυρος, ἐκ ἄλλοθεν ἢ ἐκ τῶν παρασήμων.

Στίχ: 176. . . . . ΚΛΟΥΣΙ'ΟΥ. . . . . Ἵδρυτο δὲ τὸ Κλύσιον παρὰ τῷ ὄρει τῷ Μασσικῷ, ὑπὸ Κλυσίῳ τῆ Τυρρίωνος, ἤ, ὡς ἄλλοι, ὑπὸ Τηλεμάχυ τῆ Ὀδυσσέως κτισθὲν. Μητρόπολις δὲ αὐτη ἦν Πορσήνα, πρὸς ὃν κατέφυγε Ταρκυίνιος ἐκπεσὼν τῆς Τυραννίδος· κεῖται δὲ πρὸς δεξιὰ λίμνης τῆς καλυμένης Κλανίδος, ἀφ' ἧς Κλάνις ῥεῖ ποταμός. Chiuſi δὲ καθ' ἡμᾶς λέγεται· τῶν οὖν Κλυσίνων καὶ ὁ Ἁλικαρνασσεὺς μέμνηται ἐν τῷ Γ. τῶν Ἀρχαιολογιῶν, ὡς πόλεως μιᾶς τῶν Τυρρηνικῶν. Καὶ Πλύταρχος (ἐν Βίῳ Νομᾶ.) Κλύσιον τυρρηνίδα πόλιν ἀποκαλεῖ· τὸ δὲ ἐθνικὸν, (Αὐτ: εἰς Βίον Καμίλ.) Κλυσίνυς.

Στίχ: 177. . . . . ΆΣΤΥ ΤΕ ΚΟ'ΣΣΑΣ . . . . Κόσσα πόλις Οἰνώτρων· ἦν ὁ μὲν τῶν Ἐθνικῶν Συγγραφ: ἐξ Ἑκαταίυ παραλαβὼν μεσόγειον ὑπέθετο, ὁ δὲ Γεωγρ: ἐν τῷ Ε'. μικρὸν ὑπὲρ τῆς Θαλάσσης ἱδρύθαι παρέδωκεν, ἐγγὺς Ὀρβιτέλλης λίμνης. Ἀκέει δὲ παρ' Ἰταλοῖς ἔτως ἡ πόλις καθ' ἡμᾶς Orbitello. ὁ δὲ πρὸς αὐτῇ λιμὴν, Porto Hercole.

Στίχ: 181. . . . . ΠΟΠΛΩΝΙ'Η . . . . ΜΗ'ΤΗΡ· Ποπλονία, ἥ καὶ ἐδέτ: Ποπλόνιον, Ἐτρύριον Ἄξυ παράλιον ἐπίσημον. διὸ ὡς μήτηρ προσείρηται, ὅπερ ἐςὶ Μητρόπολις· οὐ πόρρω δὲ ταύτης ἀπέχουσα κεῖται, κατὰ τὶω Τυρρηνικὶω ἀκτὶν, ἡ πόλις Piombino, ἐκ τῶν ἐκείνης ἐρειπίων κτισθεῖσα. Ἀναφέρει δὲ καὶ Ἄρις: ἐν τοῖς περὶ Θαυμασ. Ἀκέσμ τὺς Τυρρηνὺς, τὺς τὸ καλύμενον Ποπλώνιον ἐνοικοῦντας· καὶ Στράβων δὲ, καὶ Πτολεμαῖος, καὶ Στέφανος ὁ Βυζάντιος ὁμοίως.

Στίχ:

Τίς χείρ Αἰνείᾳ ἀκτῶν ἀπὸ ἔπετο Θύσκων;
Ναῦς τε καθώπλισεν, ὑγρὰ κέλευθα πρῆθε δὲ πόντᴏ;
Μασσικὸς ἀρχὸς ὕδωρ χαλκείῃ Τίγριδι τάμνε.
Τῷ δ' ὑπὸ ὁπλοτέρων ἦν πλήθη, Κλυσίᴏ ὅσσοι
Τείχεα κάλλιπον, Ἄξυ τε Κόσσας· τοῖσι περ ὅπλα,
Ἔγχεα, τόξα τε, καὶ γωρυτοὶ κἄφοι ἐπ' ὤμοις.
Ξιὼ τοῖς τ' αἰνὸς Ἄβας, τᾷ τέυχεσιν ἀγλαέεσσι
Στίλβεν ἄγημα ὅλον, χρυσῷ δὲ Ἀπόλλονι πρύμνη·
Τῷ δ' ἐξηκοσίᴏς Ποπλωνίη ὤπασε μήτηρ,
Εἰδότας εὖ πολέμυ· τρισάκις δ' ἑκατὸν γ' ἔτι Ἴλβη,
Νῆσος ἀνεκλείπτοις Χαλύβων πλυτοῦσα μετάλλοις.
Καὶ τρίτος, ἐκφάντωρ θνητῶν τε Θεῶν τε Ἀσύλας,
Τῷ κτιωῖν ἶνες, τῷ τ' ὀρανᾷ ἔκαθεν ἄστρα,
Πτιωῶν τε γλῶσσαι, καὶ σκηπτῶν τέκμορα πυρσὰ·
Χιλιάδα ξιφάγειρε Φάλαγγ' ἀνδρῶν εἰνόπλων,
Ταρφέα σωτάξει, ἠδ' ἔγχεσι φρικαλέαν τε·
Τοῖσι ῥὰ σημαίνειν ἐπιτάξαν Πῖσαι Ἀσύλαν,
Ἀλφειὰ ἐξ ἀρχῆς, μετέπειτ' ἐδάφει δ' Ἐτρῦσκαι.
Τὰς δὲ μεθ' ἕξείης κάλλιστος ἕφεπετο Ἄξυρ·
Ἄξυρ γ' ἱπποδάμας, πανταίολα τεύχεα ἐνδὺς.
Τοὶς δ' ἑκατὸν προσέθεντο (ἅπαντες δ' ὅφρονες ἔσκον.)
Οἵ τ' ἄρ Καιρήτιω νάον, οἵ τ' ἀγρὰς Μινίωνος,

Τὰς

* * *

Στίχ: 182. . . . . ΊΛΒΗ· Νῆσος τῇ Τυρρηνικῇ ἀκτῇ γειτνιῶσα, ἡ πάλαι μὲν ὑπὸ Ἑλλήνων Αἰθάλη καλεμένη, ἢ Αἰθαλία, (ὡς φησὶ Πλίν. Βιβλ: Γ. Κεφ: ς΄.), νῦν δε Elve, ἢ Elba. Ἐπίσημος δὲ ἡ Νῆσος διὰ τὸν ἐν αὐτῇ μεταλλευόμενον σίδηρον· ἔνθα καὶ τὸ συμβαῖνον παράδοξον, ὅτι τὰ ὀρύγματα ἀναπληροῦται πάλιν τῷ χρόνῳ τὰ μεταλλευθέντα. (Στράβ. ἐν Ε. Γεωγρ. καὶ Πλίν. ἔνθα εἴρητ.) ὅπερ δὴ, καὶ ἀνεκλείπτοις μετάλλοις πλυτοῦν τινὶ Ἴλβιω ταύτῃ ὁ Ποιητὴς ἐπιμαρτυρῶν ὧδε διαπιστεῖται. Εὑρήσεις δὲ καὶ παρὰ τῷ Συγγραφ. τῶν Ἐθνικῶν, ὑπὸ τῷ Αἰθάλης Ὀνόματι καὶ ἄλλας ἀναφερεσθαι Νήσους, διὰ τὰ ἐν αὐταῖς μεταλλεῖα, πρὸς αἷς καὶ Λῆμνον, καὶ Χῖον, κτ. Διατὶ δὲ τὰ μέταλλα τοῖς Χάλυψιν ὁ Μάρων ὅσον κατ' ἐξοχὴν ἀπέδωκεν, ὅρα τινὶ ἐν τοῖς Γεωργ: Σημ: Βιβλ: Α. στίχ. 63.)

Στίχ: 184. . . . . ΆΣΥΛΑΣ, Τοῦτον ἐκ τῆς Μαντικῆς, ἐν ᾗ διέφερεν, ἐξῆς μεγαλύνει, καθάπερ ἴσως καὶ τὸν Πριαμίδην Ἕλενον (ἐν Γ. Αἰν: στίχ. 381:) φθάσας προεξεθείασεν.

Στίχ: 190. ΆΛΦΕΑΙ ΈΞ ΆΡΧΗΣ κτ: Τινὲς ἀπὸ τῶν παρὰ τῷ Ἀλφειῷ ποταμῷ τῆς ἐν Πελοποννήσῳ Ἤλιδος Πισῶν, ἐπὶ τὰς κατὰ τινὲς Ἐτρύσκων γενομένας Πίσας μετοικεσίαν, ὁ Ποιητὴς ὧδε ἐπεξηγεῖται· Τὰς μὲν ἀφ' ὧν, Πίσας Ἀλφειὰς, ὡς ἀπὸ τοῦ ποταμοῦ Ἀλφειοῦ τοῦ ἐκεῖ ῥέοντος· τὰς δὲ ἐφ' ἃς κατῳκίσθησαν οἱ μεταναστάντες, ἀπὸ τῆς τοῦ κρατοῦντος τῆς χώρας ἔθνους ἐπωνυμίας, πρὸς διαφορὰν διαγνωρίσας. Προσείρηται δὲ καὶ ἡ Πίσα ἐνικῶς, ὡς παρὰ Πινδάρῳ (Ὀλυμπ: Εἰδ: Α.) ἀπὸ Πίσης θυγατρὸς Ἐνδυμίωνος, κατὰ τὸν αὐτοῦ Πινδάρου Σχολιαστήν. Καίτοι ἄλλοθεν κατ' ἄλλους· περὶ ὧν καὶ περιττὰ ἴσως ὁ Σέρβιος ἐπεσώρευσεν.

Στίχ: 194. . . . . ΚΑΙΡΗΤΗΝ . . . . ΆΓΡΟΥΣ ΜΙΝΩΝΟΣ. Περὶ Καιρήτης ὅρα Ζ. Αἰν· στίχ 700. Ἀπαντᾷ δὲ τις ἀπορία ἐνταῦθα, ὅτι οἱ ἐξ Ἀγυλλίνης τῆς ὕστερον Καιρήτης ὀνομαθείσης, (Αυτ:) ὡσεὶ χιλιὰς ἀνδρῶν, Λαύσῳ παρείποντο, συστρατεύοντι Τύρνῳ· πῶς ἓν κατὰ Τύρνου νῦν

Filius, æquales comitatus claſſe catervas',
Ingentem remis Centaurum promovet: ille
Inſtat aquæ, ſaxumque undis immane minatur,
Arduus, & longâ ſulcat maria alta carinâ.
Ille etiam patriis agmen ciet Ocnus ab oris,
Fatidicæ Mantûs, & Thuſci filius amnis,
Qui muros, matrisque dedit tibi, Mantua, nomen:
Mantua dives avis; ſed non genus omnibus unum.
Gens illi triplex, populi ſub gente quaterni:
Ipſa caput populis: Thuſco de ſanguine vires.
Hinc quoque quingentos in ſe Mezentius armat,
Quos patre Benaco, velatus arundine glaucâ,
Mincius infeſtâ ducebat in æquora pinu.
It gravis Auleſtes, centenâque arbore fluctus
Verberat aſſurgens: ſpumant vada marmore verſo.
Hunc vehit immanis Triton, & cœrula conchâ
Exterrens freta: cui laterum tenus hiſpida nanti
Frons hominem præfert, in Priſtin deſinit alvus:
Spumea ſemifero ſub pectore murmurat unda.
Tot lecti proceres ter denis navibus ibant
Subſidio Trojæ, & campos ſalis ære ſecabant.
Jamque dies cœlo conceſſerat, almaque curru
Noctivago Phœbe medium pulſabat Olympum:

Æneas

❀ ❀ ❀

οἱ αὐτοὶ, ὑπὲρ Αἰνείᾳ στρατεύειν λέγονται; Ἀλλ' ἐκεῖνοι μὲν οἱ μετὰ Λάυσου, τὸ μέρος ἰῷ τὸ Μεζεντίῳ τῷ τυραννεῦντι προσκείμενον, καὶ τῆς πατρίδος σιῶ τούτῳ σωσκπεσόν· οἱ δὲ περὶ ὧν νυῦ ὁ λόγος, ἐκ τοῦ κοινῦ τῆς πόλεως, κατὰ τὲ Τυρέννε συμμαχούμενοι τῷ Αἰνείᾳ συμπαρεπέμποντο. Οὐδὲ ποτε δὲ (ὡς ἐν τῷ Ζ. τῆς Αἰν στίχ. 696. σεσημείωται·) ἐπιλείπουσιν, οἱ ἐπὶ ταῖς στάσεσι πρὸς τὶῶ ἐιαυτίαν μοῖραν ἀποκρινόμενοι. Ὁ δέ τοι Μυνίων, ποτάμιον ἰῷ Ἐτρυρίας, ἀπὸ μὲν Σετρίᾳ πηγάζον, ἐς δὲ τὸ πέλαγος ἐκβάλλον τὸ Τυρρῆνικόν· καλεῖται δὲ καθ' ἡμᾶς il Mugnone, κατὰ πρόδηλον διαφθορὰν τῦ παλαιοτέρυ ὀνόματος.

Στίχ: 195. ΤΟΥ̓ΣΤΕ ΠΆΛΑΙ ΠΥ̓ΡΓΟΥΣ, ΚΑἸ ΔΥΣΚΡΑΈΑΣ ΔἘ ΓΡΑΒΊΣΚΑΣ. Οἱ μὲν Πύργοι, Ἄσυ ἰῦ ὲ πολῦ Καιρήτης ἀπέχον, ὅ καὶ τοῖς Θύσκοις πάλαι πειρατευομένοις, οἷον τι ὂν ὲρμητήριον, ὑπὸ Διονυσίυ ὕστερον τῦ Σικελῶν τυραννῆντος κατέσκαπται. Αἱ δὲ Γραβίσκαι πόλις ὑπῆρχεν Ἐτρυρίας παράλιος, ἀπὸ τῦ βάρυς ἴσως τῦ δυσκραεῦς καὶ νοσώδυς ἀέρος, Ab aeris gravitate, λαχῦσα τὲνομα. Grave γὰρ τὸ βαρὺ, Λατίνων φωνῇ, καὶ ἡ βαρύτης gravitas.

Στίχ: 196—198. ΟΥΔΈΣ' ΕΓὨ ΛΙΓΎΡΩΝ κτ: Νόει μοι τὸ ῥηθὲν ἔτως: Οὐκ ἂν ἐγὼ ἑκὼν εἶναι παρέλθοιμί σε τὸν Κυπαύονα, τὸν Κύκνον ἐπιλεγόμενον, ὡς Κύκνυ ὑὸν πεφυκότα, καὶ πτερὰ τῶν ἐκ κύκνυ, ὡς τῦ γένυς παράσημον, ἐπὶ τῆς κόρυθος φέροντα· ἐκ ἂν, φημὶ, παρέλθοιμί σε, καίπερ ὐ πολλοὺς Λιγύρων τῶν Ἑτρέροις ἀγχόρων συνεπαγόμενον.

Στίχ: 199—204. ΗΝ ΕΡΟΣ ΑΜΠΛΑΚΊΗ κτ: Κύκνον Λιγύρων ἄρχοντα, ἐρασθὶῶ ὄντα Φαέθοντος (περὶ οὗ ὅρα ἐν Ε'. Αἰν: στίχ. 109.) καὶ τότε τὶῶ συμφορᾶν δίωκὲς ἀνακλαίοντα, καὶ τῇ μολπῇ τὸ πένθος ἀπαραμυθήτως προάγοντα, εἰς τὸν ὁμώνυμον τέως ὄρνιν, ἐμυθεύσαντο, ὑπὸ Διὸς μεταμορφωθέντα ἐν ὐρανῷ καταστερισθῆναι.

Στίχ:

Τῆς τε πάλαι Πύργης, καὶ δυσκραέας δὲ Γραβίσκας.
Οὐδὲ σ' ἐγὼ, Λιγύρων ἀγὲ, καρτερόθυμ' ἐνὶ χάρμαις,
Κύκνε ὑπερβαίω, πάυρης ἐπάγοντα Κυπάυον,
Τοῦ ῥὰ ὑπὲρ κόρυθος πτερὰ ἐκ κυκνήϊα ἦρτο.
Ἦν ἔρος ἀμπλακίη, πατρῴης σῆμα δὲ ἄγης.
Κύκνον ἐπεί γε φέρης' ἐρατῇ πένθει Φαέθοντος,
Ἐν σκιεροῖς πετάλοισι κασιγνήτων Αἰγείρων,
Εὖτ' ἄδων μολπῇ ὀδωηρὸν ἔρωτα ψῆχε,
Γῆρας μὲν πολιὸν πτίλλοις ἀγαγεῖν ἀπαλοῖσι,
Γαίας ἐκ δὲ λιπόντα, ἐν ἄσμασι βήμεν' ἀν' ἄηρα·
Τοῦδ' υἱεὺς ξύμπλης, σιὼ ἵλαος ἀνέρων ἐίσηισι,
Κένταυρὸν γε πέλωρον ἐν εἰρεσίῃσι προῆγεν,
Αἰπὸς ὅς ἐξήκει, μέγαν ὡς λᾶν κύμασ' ἐφήσων,
Καὶ διὰ δὴ τρόπιος βαθέιω ἀλὶ ἄυλακα τάμνεν.
Ἀλλὰ καὶ ἐξ ὀρίων πατρίων λόχον ὄρνυεν Ὄκνος,
Μαντῆς μαντιπόλοιο πάϊς· ποταμοῖο τε Θύσκω,
Ὅς πόρε σοὶ τείχη, καὶ μητρὸς, Μάντυα, κλῆσιν.
Μάντυα ὀλβιόδαιμον ἐνὶ προγόνοις· Γένος ἐχ ἕν,

F 2 Ἔθνος

Στίχ: 205. ΤΟΎΤ Δ' ΤΙΕΤ'Σ ΞΥ'ΜΠΛΟΥΣ κτ: Ο' Κυπρίων ἔτος, ὁ Αἰνεία συμπλέων σιὼ ςίφεσιν ἀνδρῶν ἴσοις, ἤτοι ἰσαρίθμως ἐπὶ τῶν νηῶν μεμερισμένοις· ἢ γοῦν ἄλλως, καὶ βέλτιον ἴσως, τοῖς εἴτε ἀρετῇ ἐμφερέσιν αὐτῷ ἢ ἐφαμίλλοις, εἴτε καὶ τῇ ἀκμῇ τῆς νεότητος, ὡς ἄρα ἐμήλιξιν· ἢ γοῦν καὶ τῇ ἀναδρομῇ τὸ σώματος παρίσους, ἢ τέως δὴ καὶ τῷ ὁπλισμῷ.

Στίχ: 206. ΚΕ'ΝΤΑΥΡΟΝ κτ: Τίω ναῦν χρὴ νοεῖν, τίω ἔτως ἐκ τῆ παρασήμε καλεμένιω· ὁ δὲ Κένταυρος, τὸ παράσημον, οὕτως αὐτῇ ἐξεικόνιςο, ὡς δῆθεν κατὰ θαλάσσης λιθοβολήσων.

Στίχ: 209—218. . . . . Ὄ'ΚΝΟΣ. Οὗτος ἑτερωνύμως Βιάνωρ ὑπὸ τῆ Ποιητῆ, ἐν τῷ Θ. τῶν Βακολικῶν, ἐπικληθεὶς Φέρεταν· ὑὸς, κατὰ μὲν τὸν ἡμέτερον ὧδε, Μαντοῦς τῆς Τειρεσίε θυγατρὸς τῆ Θηβαιε, ἢ Ἡρακλέες, καὶ ποταμῆ Θύσκε, ἢ (κατ' ἄλλες) Θύβριδος· ἢ Αὐλήςε ὑὸς, ἢ ἀδελφὸς. (Σέρβιος.)

Στίχ: 211. Ὅ'ΣΠΟ'ΡΕΣΟΙΤΕΙ'ΧΗ κτ: Ἤτοι ἀπὸ πρώτης καταβολῆς κτίσας, ἢ ἢ προϋφισαμένιω περιβαλὼν τείχεσι Ἰλίω πόλιν ἢ κατοχυρώσας, ἢ μὲν δὴ, καὶ τῷ τῆς τεκέσης περισεμνυνῶαι φιλοτιμηθεὶς ὀνόματι, Μάντυαν ὀνομάσας· ἥτις καὶ Μάντεα λέγεται, (Στεφ: Βυζ:), καὶ Μαντόα δὲ, ὡς ἐκ τῆ Πολυβίε Κλεβέριος οἴεται. Ἀλλ' εἰσὶν οἱ καὶ τίω Μαντόαν ταύτίω κτίσμα εἶναι ἡγησάμενοι Τάρχοντος, ὃς ὑπῆρχεν ἀδελφὸς Τυρρίωῆ.

Στίχ: 212. ΜΑ'ΝΤΤΑ 'ΟΛΒΙΟ'ΔΑΙΜΟΝ κτ: Ἦν ἀλλαχῆ (B. Γεωργ. ςίχ. 226.) πόλιν ὑπεθρίωώδει, ἐφ' οἷς πεπόνθοι κακοῖς χετλιάζων, τίω αὐτίω ὁ Ποιητὴς ἐνταῦθα, ὡς ἰδίαν πατρίδα, νῦν ἐκθειάζει, ἐκ τῶν οἰκησάντων αὐτίω, οὓς προγόνες αὐτῇ ἀποκαλεῖ, μεγαλιώων· ἐν γὰρ Ἄνδαις ἔλαχε γεννηθῆναι, τᾶις ἐν τῇ περιχώρῳ Μαντύας, ὡς αὐτὸς ἑαυτῷ μαρτυρεῖ τὸ ἐπιτύμβιον γράψας.

„Μάντυα μ' ἐκτέτοκεν, Καλαβρὸς δ' ἦραν, νιῶ δ' ἴχει
„Παρθενόπη· ἤδον πῶε, ἀγρές τε, μάχας.

Στίχ: Αἰ'τ: . . . . ΓΕ'ΝΟΣ Ο'ΥΧ Ἕ'ΝΕΝ, Οἰκιαθῆναι γὰρ λέγεται Μάντυα πρῶτον ὑπὸ Θηβαίων, ἐξῆς δὲ ὑπὸ Θύσκων, τελευταῖον δὲ καὶ ὑπὸ Κελτογαλατῶν.

Στίχ:

Æneas (neque enim membris dat cura quietem)
Ipſe ſedens clavumque regit, veliſque miniſtrat.
Atque illi medio in ſpatio chorus, ecce, ſuarum
Occurrit comitum; Nymphæ, quas alma Cybele
Numen habere maris, Nymphaſque è navibus eſſe
Juſſerat: innabant pariter fluctus que ſecabant,
Quot prius æratæ ſteterant ad littora proræ.
Agnoſcunt longe regem, luſtrantque choreis.
Quarum, quæ fandi doctiſſima, Cymodocea,
Pone ſequens, dextrâ puppim tenet, ipſaque dorſo
Eminet, ac læva tacitis ſubremigat undis.
Tum ſic ignarum alloquitur. Vigilaſne Deûm gens,
Ænea? vigila, & velis immitte rudentes.
Nos ſumus Idææ ſacro de vertice pinus,
Nunc pelagi Nymphæ, claſſis tua. Perfidus ut nos

Præ-

❀ ❀ ❀

Στίχ: 213. ΈΘΝΟΣ ΔἘ ΤΡΙΠΛΟΎΝ, ΔἨΜΟΙ ΤΕΤΡΑΠΛΟΊ κτ: Περιεῖχε γὰρ ἡ πόλις, φασὶ, φυλὰς τρεῖς, ὧν ἑκάση εἰς Δήμους διήρητο τέτταρας· ἑκάστε δὲ Δήμε ἡγεμὼν ἴδιος πρείσατο, Λυκύμων προσαγορευόμενος.

Στίχ: 214 Ἡ ΔἘ ΚἈΡΗ ΛΑΟΊΣ, Οἵα Μητρόπολις τῶν πέριξ ἁπασῶν προεδρεύσα.

Στίχ: Αὐτ . . . ̓ΑΛΚἨ ΔἘ ΤΗΐΔ̓ ἈΙΜΑ ΤὈ ΘΥ̓ΣΚΟΝ. Οἱ γὰρ ἐν αὐτῇ Θύσκοι, ἢ Ἐτρῦσκοι, πλήθει τῶν ἑτεροφύλων ὑπερεῖχον, τυχὸν δὲ καὶ ῥώμῃ σωμάτων, καὶ ψυχῶν γενναιότητι.

Στίχ: 216 . . . . ΜΕΖΈΝΤΙΟΣ ἈΪΤΙΟΣ ̓ΕΣΚΕ, Τέτρες γὰρ πεντακοσίες τὸν ἀριθμὸν ἀθροισθέντας, καθ' ἑαυτῦ στρατεῦσαι παρώξυνε, τυραννικῶς καὶ βιαίως πολιτευσάμενος.

Στίχ: 217. ΤΟΥ̓Σ ΠΑΤΡὈΣ ΒΕΝΆΚΟΥ κτ: Λίμνη τις ἦν Ἐνετικὴ ἡ Ἐνάκη, ἤ γοῦν, διὰ τῦ Διγάμματος δασυνθέντος τῦ ὀνόματος, ἡ Γενάκη. Ἔστι δὲ ἐν λιμνῶ (il Lago di Garda) εἰς ἣν ῥεῖ ποταμὸς ὁ Μίγκιος (Il Minzo.) Διὰ τέτων δὴ τὸν Νάυαρχον παρωνυμήσας, τῇ Νηΐ, ἣν περ ἦρχε, προσαρμόσας, φασὶν, ἐπίσημον τὸν Μίγκιον προσῆψε τὸν ποταμὸν.

Στίχ: 219. . . . . ̔ΕΚΑΤὈΝ ΣΥ̓Ν ΔΈΝΔΡΕΣΙ . . . . Τὰς κώπας δένδρα καλεῖ, τὸ τῆς νηὸς μέγεθος ὑπεμφαίνων. Πότερον δὲ, εἰς ἑκατὸν λέγει τὰς κώπας ἀριθμεῖθαι; ἢ ὅτι ἡ ναῦς καθ' Ὅμηρον εἰπεῖν (Ἰλ: Υ. στίχ 247.) ἦν ἑκαντοίζυγος, τετέσιν ὑπὸ ἑκατὸν ἐρετῶν ἐλαυνομένη; ζυγὰ γὰρ αἱ τῶν ἐρεσσόντων καθέδραι, ὡς ὁ Ὁμηρ. Σχολιας. Αὐτόθι ὑπείληφεν.

Στίχ: 220. ΤΥ̓ΠΤΕΝ ̓ΑΝΙΣΤΆΜΕΝΟΣ κτ: Τῶν σφοδρῶς ἐρεσσόντων τὸ χῆμα δείκνυσι, διὰ ἑνὸς παριστῶν τῦ ναυαρχοῦντος, καὶ τιὼ εἰρεσίαν παρακελέυοντος.

Στίχ: 221. ΤὈΝ ΦΈΡΕ Δ' ̓ΕΚΠΑΓΛΟΣ ΤΡΊΤΩΝ κτ: Καὶ ταῦθα τὸν Τρίτωνα εἰς παράσημον τῆς νεὼς νοητέον· ὅτος δὲ ὁ Τρίτων εἶναι ἐπλάττετο, ὅρα ἐν Ε'. Αἰν: στίχ. 877. ὁ Τρίτων δὲ καὶ τῦ Ποσειδῶνος σαλπιγκτὴς εἶναι εἰρηται, διὸ καὶ κόγχιω γράφεται θαλασσίαν χειρὶ κατέχων, καὶ οἷα βυκάνη χρώμενος. Ὅρα μοι τιὼ Τρίτωνος περιγραφιὼ καὶ παρὰ Ἀπολλωνίῳ ̓Αργον. Δ. στίχ. 1610.

„. . . . . Δέμας δὲ οἱ ἐξ ὑπάτοιο
„Ἀμφὶ τε νῶτα καὶ ἰξύας εἰς τ' ἐπὶ νηδυὶ.
„Ἀντιπερυς μακάρεσσι φυὴ ἔκπαγλον ἔικτο·
„Αὐτὰρ ὑπ'ὲκ λαγόνων δίκην ῥὰ οἱ (ἄλλ: διαφαίρα οἱ) ἔνθα καὶ ἔνθα,
„Κήτεος ὁλκαίη μηκύνετο κτ: . . . . . .

Στίχ:

Ἔθνος μὲν τριπλῶν, τετραπλοῖ δ' ἔθνεσι Δῆμοι.
Ἡ δὲ κάρη λαοῖς, ἀλκὴ τῇδ' αἷμα δὲ Θύσκον.
Κἀντεῦθεν δ' ἑκατὸν δὴ πεντάκις ὅπλα λαβέσθαι,
Αὐτᾷ ἀντιβίης Μεζέντιος αἴτιος ἔσκε,
Τὰς πατρὸς Βενάκοι δόνακι γλαυκῷ ὑποδύς γε,
Μίγκιος ἐν πίτυϊ ἐχθίστῃ ἦγ' ἐπὶ πόντον.
Αἰνὸς δ' Αὐλήστης ἑκατὸν σὺν δένδρεσι κῦμα
Τύπτεν ἀνιχάμενος, ῥεῖθρον δὲ παλίντροφον ἄφρει·
Τὸν φέρε δ' ἔκπαγλος Τρίτων, πορθμὺς διὰ κόγχης
Κυανέης θροέων· τῷ πλευρῶν ἄχρι νέοντι,
Ἀνδρὸς μὲν λασίη τὰ ὕπερθεν ἔην, τὰ δ' ἔνερθεν,
Εἰς Πρίστιν γάστρῃ κητώδεϊ ἶσα ἀπολῆγε,
Τῇ τε ὑπ' ἀφρῳδὲς, μόρμυρε σήθεσι κῦμα.
Τόσσοι ἀριστῆες δ' ἐν τρὶς δέκα νήεσι βάντες,
Τρωσὶν ἀρηγόνες ἐυρὺ θαλάσσης λαῖτμ' ἀνατάμνον.
Ἤδη δ' ἐκχωρῆσαν ἀπ' ἠρανὲ ἦμαρ ἀπῆγε,
Δῖα δὲ νυκτιπόλῳ αὐτῆς ἐπ' ὀχήματι Φοίβη,
Οἴμῃσι προπροϊοῦσα μέσσῳ ἐπὶ κάμπτεν ὀλύμπου·
Αἰνείας δ' (ἐπεὶ ὰ σωεχώρει μέρμερα ἴδειν.)
Αὐτὸς ἐφεζόμενος ῥυμὸν τ' οἰόνας τε διῆπε.
Καὶ ῥὰ ἑῶν στίφος ἠνὶ μεταξὺ πλώντι ἀπήντα
Νυμφῶν ἑπομένων, Κυβέλη τὰς πότνα θαλάσσης,
Νύμφας δαιμονίης ἔμεν ἐκ νηῶν κεκελεύκει.
Αἵ περὶ μίν τε νέον, καὶ ὁμοίως κύματα τάμνον,
Αἵ τ' ἀκτῇσι πάρος χαλκήρεις πρύμναι ἐφόρμων.
Γνῶσαι γὰρ βασιλῆα χοροστασίῃ περιέχον.
Τάων Κυμοδόκεια ἀρίστη ἶσ' ἀγορεύειν,
Ἔμπλειο ἑπομένη ναῦν δεξιτερῇγ' ὑπανεῖχε,
Νῶτον ὑπερκύπτουσα· ὑπαὶ λαιῇ δ' ἅμα νέρθεν
Ἥκα ἐρετμῷ χρῆτο ὑφ' ὕδασι σιγαλέοισιν.

Εἶθ'

❁ ❁ ❁

Στίχ: 229. . . . . ΦΟΙΒΗ, Ἡ Σελήνη, ὡς καὶ Φοῖβος ὁ Ἥλιος· Καὶ ὁ μὲν ἐνίοτε καὶ Τιτὰν, ἡ δὲ παραπλησίως Τιτανὶς. (Σέρβιος.)

Στίχ: 233—237. . . . . ΣΤΙΦΟΣ . . . . ΑΠΗΝΤΑ. Νυμφῶν χορὸς, περὶ ὧν, τῆς ἐκ τῶν Νηῶν μεταμορφώσεως, μεσιτευσάσης Κυβέλης, εἴρηται καὶ Βιβλ: Θ. στίχ. 82—105—124.

Στίχ: 237. . . . . ΧΑΛΚΗΡΕΙΣ ΠΡΥΜΝΑΙ . . . . . Ἤτοι αἱ νῆες, κατὰ συνεκδοχὴν· χαλκήρεις δὲ μάλιστα αἱ νῆες ὑπῆρχον τὰς πρώρας, ἔνθα τὰ χάλκεια ἐμβολα περιέβεβλητο.

Στίχ: 239—260. . . . . ΑΡΙΣΤΗ ΟΤΣ' ΑΓΟΡΕΥΕΙΝ, Doctissima, ὡς ὁ Ποιητὴς φησὶ, Σοφωτάτη· ἦπε γὰρ ἐν ἀγοραῖς τε καὶ ὁμηγυρικαῖς παραστάσεσιν, ἢ ἐντεύξεσι, λέγειν ἀντὶ τῶν ἄλλων προσήκει τὸν σοφίᾳ τε καὶ συνέσει προέχοντα. Ὅρα δὲ μοι καὶ τὴν Κυμοδόκην, ὡς ἐν ἐκείνῃ τῶν κυμάτων περανακύπτουσαν, καὶ τῇ μὲν δεξιᾷ τὴν ναῦν ὑπανακαθίζουσαν, τῇ λαιᾷ δὲ ὑπερείσασαν, τῇ δὲ φωνῇ πλεῖν προθύμως Αἰνείαν διανιστῶσαν, καὶ τὸ περὶ τὰς ναῦς συμβαῖν, ἱκεσίαι Κυβέλης, διεξερχομένῃ αὐτῷ· τά τε ἐπὶ τῷ στρατοπέδῳ, ὅπως ἔχει πάντα δηλῶσαν, καὶ ὅ, τι χρὴ ποιεῖν, ὅ, τι δὲ καὶ ἐλπίζειν, διδάσκουσαν.

Præcipites ferro Rutulus, flammâque premebat,
Rupimus invitæ tua vincula, teque per æquor
Quærimus: hanc genitrix faciem miſerata refecit,
Et dedit eſſe Deas, ævumque agitare ſub undis.
At puer Aſcanius muro, foſſiſque tenetur
Tela inter media, atque horrentes Marte Latinos.
Jam loca juſſa tenent forti permiſtus Etruſco
Arcas eques: medias illis opponere turmas,
Ne caſtris jungant, certa eſt ſententia Turno.
Surge age, & aurorâ ſocios veniente vocari
Primus in arma jube, & clypeum cape, quem dedit ipſe
Invictum ignipotens, atque oras ambiit auro.
Craſtina lux, (mea ſi non irrita dicta putaris)
Ingentes Rutulæ ſpectabit cædis acervos.
Dixerat: & dextrâ diſcedens impulit altam,
(Haud ignara modi) puppim: fugit illa per undas
Ocyor & jaculo, & ventos æquante ſagittâ.
Inde aliæ celerant curſus. Stupet inſcius ipſe
Tros Anchiſiades: animos tamen omine tollit.
Tum breviter ſupera aſpectans convexa precatur;
Alma parens Idæa Deûm, cui Dindyma cordi,
Turrigeræque urbes, bijugique ad fræna leones,
Tu mihi nunc pugnæ princeps, tu rite propinques
Augurium, Phrygibuſque adſis pede, Diva, ſecundo.
Tantum effatus: & interea revoluta ruebat

Matu-

❖ ❖ ❖

Στιχ. 243. . . . . ΕΓΡΗΓΟΡΟΣ ΗΣΘΑ; Κατ' ἐρώτησιν. Καίτοι τῷ ὄντι ἀγρύπνως εἶχεν Αἰνείας· ἐπεὶ δὲ σωεχώρει, ὡς ἀνωτ. εἴρηται στίχ. 231. τὰ μέρμερα εὖδεν. Τί δ' οὐ (ἐρεῖς) τὸ ἀγρύπνει; ἢ τοῦτο φάναι ἰῶ: ἔχε ὡς ἔχεις, καὶ τῷ παιδὶ πρόσθες τὴν ἀγρυπνίαν, ἐπιμελῶς προσέχων τοῖς πράγμασιν.

Στίχ. 248. . . . . ΟΥΤΙ ΕΚΟΥΣΑΙ . . . . Ἐλείμεθα γὰρ ἄν σοι, ὡς νῆες ἔχεντι πρὸς τὴν χρείαν συμπράξαθαι, καθὰ Σερβίῳ ἠμιώνευται) ἤ, (ἐπειδὴ καὶ εἰς Νύμφας ἤδη μεταποιηθεῖσαι, ἀχὶ εὐθὺν ὅμως αὐτῷ συνετέλεν.) τὸ ὅτι ἑκοῦσαι, ἀντὶ τοῦ ἐκ αὐτοθελῶς, ἄντις ἐκδέξαιτο· τετέχνιν, ἐ κατ' ἰδίαν πρόθεσιν, εὖ αἰτεπαγγέλτως, κατὰ νεῦμα δὲ Διὸς ἐπιτάξαντος, ἐντεῦξει Κυβέλης.

Στίχ. 251 ΠΑΙΣ ΑΛΛ' ΑΣΚΑΝΙΟΣ . . . Περὶ παντὸς τὸν παῖδα αὐτῷ σώζεσθαι ἐν ἀσφαλείᾳ μηνύει τὶ γὰρ πατρὶ τῆς τοῦ υἱὸς ἀσφαλείας γένοιτ' ἂν πρότερον;

Στίχ. 254 ΑΡΚΑΔΙΚΗ ΙΠΠΟΣ ΣΥΝΑΜ', ... ΕΤΡΟΥΣΚΟΙΣ. Ὁ γὰρ Αἰνείας, μοῖραν τῶν μεθ' ἑαυτοῦ Τρώων ἐπὶ τῆς παρεμβολῆς διὰ τοῦ ποταμοῦ προεκπέμψας, (Η. Αἰν. στίχ. 567 - 571.) σὺν δὲ τοῖς λοιποῖς, καὶ τοῖς παρὰ Εὐάνδρου Ἀρκάσι, πρὸς Τάρχωνα τὸν Ἐτρῦσκον παραγενόμενος, καὶ ἐδὲ τῆς ἐκ τούτου ἀποτυχὼν ἀντιλήψεως, μέρος μὲν Ἀρκάδων ἅμα καὶ Ἐτρύσκων ἐπὶ τὴν παρεμβολὴν προσέθετο ἐπισεῖλαι, ὡς μετὰ τῶν ἄλλων αὐτὸς διὰ θαλάσσης ἑξῆς ἀφιξόμενος. Σημείωσαι δὲ, ὥσπερ Ἰλὼ Θετταλικὸν, ἔτω καὶ τὸν Ἀρκαδικὸν ἵππον παρ' Ἕλλησιν ἐν λόγῳ γενέσθαι· τὸ δὲ Φιλίππους τοὺς Ἀρκάδας εἶναι, δῆλον, ἐξ οὗ πρώτως παρ' αὐτοῖς ἵππειον Ποσειδῶνα ὀνομασθῆναι Παυσανίας (ἐν τῷ Η'.) ἱστόρησεν. Οἱ δὲ Ἐτρῦσκοι πεζομαχίαν μᾶλλον ἀσκοῦντες ἐτύγχανον.

Στίχ:

Εἶθ' ὡς ἀγνοέοντι πίφασκεν· Ἐγρήγορος ἦθα
Αἰνέα; ἀγρύπνει θεῖον τέκος, ἶσά τ' ἄρον·
Αἱ πίτυες πελόμεθ' αἱ ἀπ' Ἰδαίοιο κορύμβε,
Νύμφαι νῶϊ πελάγες, ὁ τεὸς σόλος· ἂς ἀθέμιστος
Τύρνος, ἐπεὶ ῥα φλόγεσσι πίεζεν, ἀτάρ τε σιδήρῳ,
Πείσματα ῥηξάμεθ', ὅτι ἐκῶσαι· καὶ δί ἄλός σε
Δίζημεν· σφᾶς δ' ἡ μήτηρ τόδ' ἀμείψατ' ἐς εἶδος,
Δῶσα θεὰς τελέθειν, ῥοθίοις τ' αἰῶνα περαίνειν.
Παῖς ἀλλ' Ἀσκάνιος, τείχες ἐντὸς τ' ἰδὲ τάφρων,
Εἴσχατα ἐν βελέεσσιν, ἀρειμανίοις τε Λατίνοις.
Ἤδη χῶρον δ' ἔχε τεῖ ταχθέντα κελεύσει,
Ἀρκαδικὴ ἵππος σωάμ' ἰφθίμοισιν Ἐτρύσκοις.
Τῶνδε γεμιὼ μέσον, ὡς μὴ συζευχθήμεναι ἔρκει,
Εἴλας ἀντιβίης σήσειν ἐπεφράσσατο Τύρνος·
Ἔγρεο, ἠδ' ἑτάρες γε ἅμ' ἠοῖ ἀμφιένυθαι
Ὅπλα κέλευε. Σάκος δὲ σὺ λάζεο, αὐτὸς ὃ δῶκεν
Ἀρρήκτον πυρὸς ὁ κρατέων, χρυσῷ τε σέψεν.
Ἦμαρ τὐπιὸν (ἢν μὴ φρεδ' ἐμὰ ῥήματ' ὀίη)
Ὄψεται ἀπλήτες σωρὸς Ῥοτόλων κταμένων περ.
Ἦ, καὶ δεξιτερῇ πρύμνιν ἀπιδεσα ἐπῶσεν
Εὖ καὶ ἐπισαμένως· διὰ κύματα ναῦς δὲ προήει
Ὠκυτέρη βέλεος, τόξῳ τ' ἐφαμίλλε αἴηται·
Ἔνθεν δ' ἐξείης, καὶ αἱ ἄλλαι πειῦδον ἶσαι.
Θάμβησ' ἀγνοέων τις ὃ ἦδε τεράσιος ὄψις,
Τρὼς Ἀγχισιάδης, ὀμφῇ δ' οὐ θάρσος ἀνέχεν.

❀ ❀ ❀

Στίχ: 255. ΤΩ͂Ν ΔΕ ΓΕΜΗ͂Ν ΜΕ΄ΣΟΝ, ... Ἀρίση δὲ στρατηγία, τὸν πολεμίων στρατὸν ἀποδιῖξαι πειρᾶσθαι, μηδ' εἰς ἓν ἐπιτρέπειν συνέρχεσθαι, διακόπτειν δὲ τὰ τούτοις προσεπιγινόμενα σίφη τρόποις παντοίοις· καθίσαται γὰρ ἰσχυροτέρα ἡ συνιοῦσα δύναμις, διασᾶσα δ' ἐξασθενεῖται. καὶ ἀμαλδύνεται.

Στίχ: 257. Ἔγρεο . . . . Οὐχὶ τὸ ἀφυπνίσθητι δηλοῖ ὧδε, τὸ δὲ διανάστηθι μηδὲν ἀναβάλλων, καὶ σπεῦσον.

Στίχ: 258. . . . . - Σάκος δὲ σὺ λάζεο κτ: Περὶ δὲ τοῦδε τοῦ Σάκους, Ὅρα Η. Αἰν: στίχ. 650. κξ:

Στίχ: 260. Ἦμαρ τοὔπιον . . . . . Ἄτε δὴ Θεὰ προαναγγέλλει τὸ μέλλον.

Στίχ: 262. . . . . Ἀπόυσα ἐπῶσεν. Ἢ ἀπῆλθεν ἐπώσασα. Κατὰ γὰρ τινὰ τοῦ ἀντερείδοντος ἀντενέργησιν, ἴσῃ πως συμβαίνει ἡ τοῦ ὠθουμένου ὑπὸ τοῦ ὠθοῦντος ἀντώθησις.

Στίχ: 263. Εὖ καὶ ἐπισταμένως· Ὅσον τε, καὶ ὅποι ἔδει, τὴν ναῦν χωρεῖν ἀπιθώσασα.

Στίχ: 265. . . . . Καὶ αἱ Ἄλλαι σπεύδον ἴσαι. Αἱ λοιπαὶ νῆες, παραπλησίως ὑπὸ τῶν ἄλλων Νυμφῶν ὡς εἰκὸς προωθεῖσαι, ὥσπερ ἡ τοῦ Αἰνείου ὑπὸ τῆς Κυμοδόκης.

Στίχ: 267. . . . . Ὀμφὴ δ' οὖν θάρσος ἀνέσχεν. Ἀκέσας, ὅτι κατὰ σωροὺς οἱ Ῥοτόλοι ἐπὶ τῆς ἐπιόσης πεσοῦνται, (στίχ. 261.) ἀνεθάρσησεν.

Στίχ:

Matura jam luce dies, noctemque fugarat.
Principio ſociis edicit, ſigna ſequantur:
Atque animos aptent armis, pugnæque parent ſe.
Jamque in conſpectu Teucros habet, & ſua caſtra,
Stans celſâ in puppi; clypeum tum deinde ſiniſtrâ
Extulit ardentem. Clamorem ad ſidera tollunt
Dardanidæ è muris. SPES addita ſuſcitat iras.
Tela manu jaciunt: quales ſub nubibus atris
Strymoniæ dant ſigna grues, atque æthera tranant
Cum ſonitu, fugiuntque Notos clamore ſecundo.
At Rutulo Regi ducibuſque ea mira videri
Auſoniis; donec verſas ad littera puppes
Reſpiciunt, totumque allabi claſſibus æquor.
Ardet apex capiti, criſtiſque à vertice flamma
Funditur, & vaſtos umbo vomit aureus ignes.
Non ſecus; ac liquidâ ſi quando nocte Cometæ
Saguinei lugubre rubent, aut Sirius ardor;
Ille ſitim, morboſque ferens mortalibus ægris
Naſcitur, & lævo contriſtat lumine cœlum.
Haud tamen audaci Turno fiducia ceſſit
Littora præripere, & venientes pellere terrâ.

Ultro

❀ ❀ ❀

Στίχ: 268. . . . . ΕΣ Ο'ΥΡΑΝΟ'Ν Α'ΙΨ' 'ΑΝΙΔΩ'Ν . . . Ὡς Πριαμος Ἰλ: Ω. στίχ. 306.

„Εὔχετ' ἔπειτα σὰς . . . . . •
„Οὐρανὸν εἰσανιδὼν, καὶ φωνήσας ἔπος ηὐδα.

Στίχ: 269. ΠΟ'ΤΝΑ ΘΕΑ' ΜΗ'ΤΗΡ κτ: Τὶς πρὸς ἰῶ ἡ ἐυχὴ ἰθυνέται Μήτηρ; ἔρηται Γ'. Αἰν: στίχ. 117. 118. 120. Καὶ ς'. Αἰν: στίχ. 853. Καὶ Θ'. στίχ. 640. 641.

Στίχ: 275. . . . . 'ΑΡΗΓΟ'ΣΙ . . . . Οἷς τε παρ' Εὐάνδρε λαβὼν ἰῶ Ἀρκάσι, καὶ τοῖς ἀμφὶ Τάρχωνα Ἐτρέσκοις, ὁυς πρὸ μικρε φθάσας ἡμῖν κατέλεξε. στίχ. 175—227.

Στίχ: Αὐτ: . . . . . ΣΗ'ΜΑΣΙΝ ΟΙ'ΣΙ, Τοῖς εἴτε τῇ Σάλπιγγος ἠχῇ, εἴτε ταῖς τῶν Σημαιῶν ἀναπετάσεσιν, εἴτε καὶ δι' ἄλλων σωθημάτων ὑπ' αὐτε δοθησομένοις.

Στίχ: 279. . . . . ΚΡΑΤΓΗ'Ν Δ' 'ΕΠΙ' 'ΑΣΤΡΑ 'ΑΦΗ'ΚΑΝ. Ἦν δὲ τόδε ἐυψυχίας τε καὶ θάρσες μαρτύριον, ἰωΐκα τὸ στρατιωτικὸν ἀνεβόα συμπαν ἀθρόον, πρὸ τῆς συμβολῆς ἀλαλάζον. Τοιόν δε τοῖς Ἕλλησι πάλαι τὸ 'ΕΛΕΛΕΥ' ἐπίφθεγμα πολεμικὸν ἰῶ ἦ, καὶ τῆς δευτέρας Συλλαβῆς ἐπαναλαμβανομένης πλειόακις, μετά τινος ἐμμελῆς ἐπηχήσεως: 'ΕΛΕΛΕΛΕΥ'! Ὅ καὶ τινες οὕτως ὑπέλαβον ἐπιφωνεῖσθαι, διὰ τὶω ἐπίπαυσιν τῆς ἐπελεύσεως. Ὁμοίως δὲ καὶ τὸ 'ΑΛΑΛΑ', ἐπιβόησις ἦν στρατιωτικὴ, ἐξ ἧς ὁ ἀλαλητὸς, καὶ ὁ ἀλαλαγμὸς, παρὰ τὸ ἀλαλάζειν. Ἐρρίκος δὲ ὁ Στέφανος ἐν τῷ Θησαυρῷ, παραπλήσιον εἶναι τοῖς ὁμογενέσιν αὐτῷ Γάλλοις, τὸ πρὸς μάχιω ἐρεθιστικὸν, φησὶ: τὸ La, La, La: ἐξ οὗ ἢ τὸ Alarme, εἰρῆσθαι, τὶω πρώτιω ἐν πολέμοις ἐφόρμησιν. Προσθείη δ' ἄντις τέτοις ἢ τὸ παρ' Ὀθωμανοῖς 'ΑΛΑ'Χ 'ΑΛΛ'Χ, εἰ μὴ τᾶτο δέον ὑπεξαιρᾶν, ὡς ἐυχῆς τῆς πρὸς Θεὸν ἐπιφώνησιν. Τοιαῦτα γοιῦ καὶ παρ' ἄλλοις ἔθνεσιν ἄλλα, ὡς καὶ παρὰ τοῖς μαχιμωτάτοις Ῥώσσοις τὸ: Ο'ΥΡ'Ρ'Α. Καί τοι τᾶτο καὶ ἐπὶ χαρᾶς τὸ ἐπιβόημα εἴληπται, ὡς καὶ τὸ ῥηθὲν ἑλλιωικὸν 'ΑΛΑΛΑ' ἐπὶ χορῶν καὶ ἐυφροσώης ἐπιφωνέμενον· ἢ καὶ ὥς τις ἐπινίκιος ὕμνος: 'ΑΛΑΛΑΛΑΙ', 'ΙΗ' ΠΑΙΗ'ΩΝ.

Στίχ:

Εἶτα δ' ἐς οὐρανὸν αἶψ' ἀνιδὼν προτὶ ἤυξατο τοῖα:
Πότνα Θεὰ Μήτηρ Ἰδηΐη, Δίνδυμα ἧτις
Σώζεις, πυργοφόρους τε πόλεις, καὶ Λῖς δὲ χαλινοῖς,
Νῶϊ σύ μοι ἡγήσαιο μάχης, χρησμόν τε πελάσσαις,
Καὶ Φρυγίοισι, Θέαινα, σὺ γ' ἐυμενέουσα παρείης!
Ὣς φάτο. Μέσφα δέ τοι φάεός γ' ἔξῆς προϊόντος
Ἦμαρ ἀέξετο, καὶ δρασμῷ δ' ἐτρέψατο νύκτα.
Πρῶτον ἀρηγόσι κέλευθ' ἔπεσθαι σήμασιν οἷσι,
Νοῶ θ' ὅπλοις προσέχειν, μαχέσεσθαί τ' ἔμμεν ἑτοίμους.
Τημος Τεύκρος δ' εἶχεν ὑπ' ὄσσοιν, ἠδ' ἐὰ ἔρκη.
Στὰς δὲ ἐφ' ὑψηλῇ πρύμνῃ νηὸς σάκος ἦρε
Τῇ λαιῇ φλόγεον. Κραυγῇ δ' ἐπὶ ἄκρα ἀφῆκαν,
Δαρδανίδ' ἐκ πύργων, ἐλπὶς δ' ὀργὰς ἐπιῶρσε.
Καὶ ῥὰ βέλη βάλον, ὡς ὅθ', ὑπαὶ νέφεσι δνοφεροῖσι,
Στρυμόνιαι Γέρανοι κλαγγῇ σφίσι σημήνασαι,
Ἠέριοι πεπότηνται ἀήτας ἐκπροφυγέσαι.
Κρείονι δ' ἄρ' Ῥοτόλων, ἠδ' Ἀυσονίων ἀρχοῖσι
Θαύματα ταῦτ' ἐδόκει, ὡς ναῦς παρὰ ἀκταῖς λεύσσον,
Αὐταὶ πρυμνάων ὅλον ἔμπλεον ὄιδμα θαλάσσης.
Δαίετο δ' Αἰνείᾳ κόρυθος φάλος· ἐκ κορυφῆς δὲ,
Ἔκ τε λόφοιο, φλόξ διαχευομένη σελάγιζε,
Καὶ πῦρ θεσπιδαὲς χρυσόμφαλος ἄσσις ἀπήμει.
Ὡς ὅτε αἱμόχρους διερὴ κατὰ νύκτα Κομήτης

Πεν-

❋ ❋ ❋

Στίχ: 282. ΣΤΡΥΜΟΝΙΑΙ ΓΕΡΑΝΟΙ κτ: Τὸν τῆ στρατῆ δὲ ἀλαλητὸν, καὶ Ὅμηρος Ἰλ: Γ. κατ' ἀρχὰς τῆς Ῥαψωδίας, τῇ κλαγγῇ ὁμοίως τῶν Γεράνων παρείκαζεν. Ὅτι δὲ Στρυμονίας τὰς Γεράνας καλῆσιν, ὅρα Γεωργ: Α. στίχ. 132. τῳ ἐκεῖ Σημ:, διὰ τὸ ἀγεληδὸν αὐτὰς ἵπτασθαι παρὰ τὸν ποταμὸν Στρυμόνα, τὸν περὶ τῳ Ἀμφίπολιν ῥέοντα, καὶ τῳ Μακεδονίαν ἀπὸ τῆς Θράκης διαστίχοντα.

Στίχ: 285. ΘΑΥΜΑΤΑ ΤΑΥΤ' ΕΔΟΚΕΙ . . . . Ἐθαύμαζον γὰρ ὁρῶντες τὰς πρὶν τῷ δέει συσπωμένας ἀΦνης εἰς γῆθος μεταβαλόντας καὶ ἀλαλάζοντας, ἕως οὗ τὸν στόλον ὁρμιζόμενον σωτῆδον, τὸν τέως αὐτοῖς, ὡς ἐπὶ χθαμαλῆ παρεμβεβληκόσιν, ὄντα ἀθέατον.

Στίχ: 287. ΔΑΙΕΤΟ Δ' ΑΙΝΕΙΑ, κτ: Οὕτω καὶ Τυδείδῃ τὰ ὅπλα ἡ Παλλὰς κατηγλάϊσεν. Ἰλ: Ε'. στίχ. 4. κξ.

„Δαῖε δὲ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ,
„Ἀσβέστῳ ὀπωρινῷ ἐναλίγκιον, ὅς τε μάλιστα
„Λαμπρὸν παμφαίνῃσι λελουμένος ὠκεανοῖο.
„Τοῖον οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων.

Καὶ τῷ Πηλέως δὲ ὡσαύτως: Ἰλ: Σ. στίχ. 205, κξ.

Στίχ: 290. . . . . ΑΙΜΟΧΡΟΥΣ . . . . ΚΟΜΗΤΗΣ. Ποικίλα Κομητῶν εἴδη, τῶν ὡς ἐκ τοῦ χήματος, ἢ τῆς χρόας ὑπὸ διαφόροις ὀνόμασι φερομένων ἠρίθμηται· παρὰ γὰρ τὸν, ἐξ ἧς δοκεῖ περικεῖσθαι κόμης, Κομήτην, ἢ Βοστρυχίτην λεγόμενον, καὶ Πωγωνίας, τις ἀκόμη, τοῦ ἀποθρώσκοντος ἐξ αὐτοῦ καπνοῦ, καθ' ὃ μέρος ἰθυνόει τὴν πορείαν, προηγεμόνα· ἢ Κερκοφόρος, τοῦ καπνοῦ, εἰ τύχοι, ὄπισθεν ἑπομένου. Καὶ Ἀκοντίας, δίκην ἄκοντος ἀναπαλλομένου, ἢ Λογχίτης κατὰ λόγχης ὁμοίωμα, καὶ Ξιφίας ἐν εἴδει ξίφους· καὶ Δισκεὺς, ὁ κατὰ δίσκου μεμορφωμένος ἐμφέρειαν· καὶ Πιθεὺς, ἢ Πιθίας, ὁ κατὰ πίθου. Καὶ Κερατίας δὲ, ὁ κερατοειδῶς διακαμπτόμενος· καὶ Δαμπαδίας, ὁ ἐν αὐγῇ λάμπων· καὶ Ἱππεὺς ὁ παριππεύων

Ultro animos tollit dictis, atque increpat ultro:
Quod votis optaſtis, adeſt, perfringere dextrâ:
In manibus Mars ipſe, viri. Nunc conjugis eſto
Quiſque ſuæ, tectique memor: nunc magna referto
Facta, patrum, laudesque ultro occurramus ad undam,
Dum trepidi, egreſſiſque labant veſtigia prima.
AUDENTES fortuna juvat.
Hæc ait: & ſecum verſat, quos ducere contra,
Vel quibus obſeſſos poſſit concredere muros.
Interea Æneas ſocios de puppibus altis
Pontibus exponit: multi ſervare recurſus
Languentis pelagi, & brevibus ſe credere ſaltu:
Per remos alii. Speculatus littora Tarchon,
Quà vada non ſperat, nec fracta remurmurat unda,
Sed mare inoffenſum creſcenti allabitur æſtu,
Advertit ſubito proras, ſocioſque precatur:
Nunc, ô lecta manus, validis incumbite remis:
Tollite, ferte rates: inimicam findite roſtris
Hanc terram, ſulcumque ſibi premat ipſa carina.
Frangere nec tali puppim ſtatione recuſo,
Arrepta tellure ſemel. Quæ talia poſtquam
Effatus Tarchon, ſocii conſurgere tonſis,

Spu-

❁ ❁ ❁

ὡσεὶ ἵππε χαίτιω. Ἐπὶ τέτοις καὶ Ἀργυροκομήτης τις φέρεται, διὰ τὸ ἀργυροειδὲς τῆ γάνες· (περὶ ὧν Πλίν: ἐν Φυσ: Ἱς: Βιβλ: Β΄. Κεφ: ΚΕ΄.) Ἐνταῦθα δ' ἡμῖν ὁ Ποιητὴς τὸν Κομήτιω αἱμόχρων παρίςησι, τίω ἐσομένιω ἐπὶ τῆ συρραγέντος πολέμε τῶν αἱμάτων χύσιν προεικονίζοντα. Ἦν δὲ ἄρα τοῖς πάλαι ἐκ δεισιδαιμονίας, (ἧς ἐδ' ὁ καθ' ἡμᾶς ὄχλος ἔπω καὶ νῦν, τέλεον ἀπήλακται.) ὀλέθρε τε καὶ συμφορῶν μεγάλων τεκμήριον, Κομήτης φαινόμενος. Ὅρα καὶ Α. Γεωργ: ςίχ. 561.)

Στίχ: 291. . . . . Ἡ ΣΕΙΡΙΟΣ ἈΣΤΗΡ ΑΙΘΩΝ. (Περὶ τέτε εἴρηται καὶ Β΄. Γεωργ: ςίχ. 411.) Τοιᾶτον δὲ παρ' Ὁμήρω καὶ Πρίαμος Ἀχιλλέα κατεῖδε προσιόντα τοῖς τείχεσιν. Ἰλ: Χ. ςίχ. 26.

„Παμφαίνονθ' ὡς ἀςέρ' ἐπεσσύμενον πεδίοιο,
„Ὅς ῥα τ' ὀπώριος εἶσιν. ἀρίζηλοι δὲ οἱ αὐγαὶ
„Φαίνονται πολλοῖσι μετ' ἄςρασι νυκτὸς ἀμολγῷ·
„Ὃν τε κυῶ Ὠρίωνος ἐπίκλησιν καλέεσι.
„Λαμπρότατος μὲν ὅγ' ἐςὶ, κακὸν δέ τε σῆμα τέτυκται,
„Καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν.
„Ὣς τῆ χαλκὸς ἔλαμπε περὶ ςήθεσσι θέοντος.

Τοιᾶτος δὲ καὶ τῆ Μηδείᾳ ὁ Αἰσονίδης, παρὰ Ἀπολλωνίῳ Ἀργον: Γ. ςίχ. 955.

„. . . . . Ἐελδομένῃ ἐφαάνθη
„Ὑψόσ' ἀναθρώσκων, ἅτε Σείριος ὠκεανοῖο,
„Ὅς δή τοι καλὸς μὲν, ἀρίζηλος τ' ἐσιδέσθαι
„Ἀντέλλει, μήλοισι δ' ἐν ἄκπετον ἦκεν ὀίζυν.

Στίχ: 297. ΤΟΥΤΟ' ΟΙ' ΕΕΛΔΕΣΘΕ, ΣΦΙΣΙ κτ. Πάρεσιν Ὑμῖν τῆ προθέσει ἴσιω ἐπιθέθαι τίω πράξιν.

Στίχ: 298. . . . . Ω ΑΝΔΡΕΣ, νῦ ΑΡ' ΕΚΑΣΤΟΣ. Οὕτω καὶ Νέσως εἰς μάχην ἐποτρυνων τὰς τάξεις, Ἰλ: Ο. ςίχ. 661.

„Ὦ Ἄνδρες ἀνέρες ἐςὲ . . . . . .
„ . . . . . μνήσαθε ἕκαςος

„Παίδων

Πενθῆρες τι ἔρευθος ἄγει, ἢ Σείριος αἴθων
Δίψεα καὶ νόσους γε φέρει δειλοῖσι βροτοῖσιν·
Ἥρα δ' ἀντέλλων φάεϊ σκαιῷ ἀνιάζει.
Οὔ τι γεμιὼ Τύρνῳ τολμητῇ θάρσος ὑφεῖτο,
Ὥρτ' ἀυτὰς προλαβεῖν, ἐπιβῆναι γῆς δ' ἀπερύξαι.
Ἥρεθεν δ' ἑτάρους, ἰδ' ὁμοκλήσασκέ τε μύθῳ·
Τῶθ' οὐ ἐέλδεσθε, σφίσι δὴ πάρα ἔξ' ἐπιρέξαι.
Ἐν χέρεσσιν Ἄρης, ὦ Ἄνδρες, νῦν ἄρ ἕκαστος
Μεμνήσθω ἀλόχοιο ἑῆς αὐτῆ τε, καὶ οἴκου·
Νῦν πεμπαζέσθω προγόνων ἄθλους, ἠδ' εὐχος.
Τοῖς δ' ἐπὶ ἀντιάσωμεν ἐφ' ὕδωρ, ἔνθ' ὑπὸ δείους,
Ἐξαποβησομένοις τρομεόιατο ἴχνια πρῶτα·
Δαίμων θαρσυτέρους αἰέν ποτε ἄνδρας ὀφέλλει.
Ὡς φάτο, ἀντιβίους δ' ἄρ φράζετο τὰς ποτ' ἀγίνῃ,
Καὶ τίσι πιζέυσειε τὰ δὴ πολιόρκεε τείχη.
Αἰνείας δ' ἑτάρους πρυμνάων ἔξαγ' ἀπ' αἰπῶν
Εἰν ἀποβάθρας· οἱ δὲ παλιρροίῃσι προσεῖχον
Ὑφέντος πελάγους, κατὰ δὲ βράχε' ἅλματι θάρσυν.
Οἱ δὲ γ' ἐρετμοῖς. Θῖνας ἀτὰρ Τάρχων τηρήσας,
Ἔνθ' ἂκ ἰῷ βράχε', ἀδ' ἐρρήγνυτο κῦμ' ἐπαράσσον·
Πόντον θ' ἁλόεντ' ἀπρόσκοπον ἔλπετ' ἐλαύνων,
Αἶψα πρώρας κάμψεν, ἐὰς δέ τ' ἐλίσσεθ' ἑταίρους·
Νῦν ἄγετ', ὦ λογάδες, κρατερῶς ἐγκεῖθ' ἐρετμοῖσιν.
Αἴρετε, φέρτε νέας· διὰ ῥάμφεσι ῥήσσετε δ' ἄϊαν
Δηΐον· αὐτὴ δ' οἱ τρόπις ἄυλακα αὐτεργέτω·
Οὐδὲ παραιτέομαι τῷ δ' ὅρμῳ ναῦν κατεάξαι,
Ἣν χθόν' ἔλω ἐς ἅπαξ. Τὰδ' ἐπεὶ ῥὰ φθέγξατο Τάρχων,
Σπεῦσαν ἐν εἰρεσίῃσιν ἑταῖροι ὑπαφρίζουσας
Νῆας ἐνεισελάσειν αὐτὰς ἀγρύζδε Λατίνων.
Καὶ ῥὰ κατὰ ξηρὴν ἔχεν ἔμβολα· καὶ τρόπιες δὲ,

❁ ❁ ❁

„Παίδων, ἠδ' ἀλόχων, καὶ κτήσιος, ἠδὲ τοκήων·

Στίχ: 303. ΔΑΪ'ΜΩΝ ΘΑΡΣΥΤΕ'ΡΟΥΣ: κτ: Κατ' ἐκεῖνο τὸ Ὁμηρικὸν:
„Θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων
„Ἔργοισιν τελέθει . . . . . .

Στίχ: 308. ΥΦΕ'ΝΤΟΣ ΠΕΛΑ'ΓΟΥΣ . . . . Τῶν ὑδάτων κατὰ τὴν ἀνάῤῥοιαν λεπτυνομένων.

Στίχ: 309. ΟΙ' ΔΕ' Γ' ΕΡΕΤΜΟΙ'Σ . . . . Οὐ μὲν δὴ ἐρέσσοντες, ἀλλὰ τὸ μεταξὺ νηός τε καὶ ὄχθης, διὰ τῶν ἐρετμῶν πρὸς ἀπόβασιν οἷον ἐπιγεφυρεῦντες.

Στίχ: 310. . . . . ΟΥΔ' ΕΡ'Ρ'Η'ΓΝΥΤΟ ΚΥ'Μ' . . . . Οὐ γὰρ προσερήγνυται τὸ κῦμα ἀδ' ἀναμορμύρει, ἐπὶ ταῖς βαθυτέραις ἠιόσιν.

Στίχ: 312. . . . . ΕΛΙ'ΣΣΕΘ' ΕΤΑΙ'ΡΟΥΣ: Μεθ' ἱκεσίας ἐπώτρυνε, διὸ καὶ ἔπαινον τῇ προτροπῇ συναναμιγνύει, ἐπιφημίζων αὐτοὺς ΛΟΓΑ'ΔΑΣ.

Στίχ: 316. . . . . ΝΑΥ'Ν ΚΑΤΕΑ'ΞΑΙ. Ὁρᾷς τὸ εὔψυχον τῶ στρατηγοῦντος; ὁ γὰρ πρὸς φυγὴν ἀφορᾷ, τοῖς πολεμίοις δὲ ὁμόσε χωρήσας, βεβαίαν ἑαυτῷ τὴν νίκην κατεπαγγέλλεται, καὶ εἰς χεῖρας ἦ τάχος ἐλθεῖν ἐπισπεύδει, κἂν εἰ ἀπολέσθαι δέοι, μηδὲν ὑφορώμενος.

Στίχ:

Spumanteſque rates arvis inferre Latinis:
Donec roſtra tenent ſiccum, & ſedere carinæ
Omnes innocuæ: ſed non puppis tua, Tarchon.
Namque inflicta vadis, dorſo dum pendet iniquo,
Anceps ſuſtentata diu, fluctuſque fatigat,
Solvitur, atque viros mediis exponit in undis:
Fragmina remorum quos & fluitantia tranſtra
Impediunt, retrahitque pedem ſimul unda relabens.
Nec Turnum ſegnis retinet mora: ſed rapit acer
Totam aciem in Teucros, & contra in littore ſiſtit.
Signa canuſir: Primus turmas invaſit agreſtes
Æneas, omen pugnæ; ſtravitque Latinos,
Occiſo Therone: virûm qui maximus, ultro
Æneam petit: huic gladio, perque ærea ſcuta,
Per tunicam ſquallentem auro, latus haurit apertum.
Inde Lycam ferit, exſectum jam matre peremptâ,
Et tibi, Phœbe, ſacrum; caſus evadere ferri
Cui licuit parvo. Nec longe Cliſſea durum,
Immanemque Gyan, ſternentes agmina clavâ,
Dejecit letho: nihil illos Herculis arma,
Nil validæ juvêre manus, genitorque Melampus,
Alcidæ comes, uſque graves dum terra labores
Præbuit. Ecce, Pharon, voces dum jactat inertes,
Intorquens jaculum, clamantis ſiſtit in ore.
Tu quoque flaventem prima lanugine malas
Dum ſequeris Clytium, infelix, nova gaudia, Cydon:
Dardaniâ ſtratus dextrâ, ſecurus amorum,
Qui juvenum tibi ſemper erant, miſerande, jaceres;

Ni

❁ ❁ ❁

Στίχ: 323. . . . . ῾ΡΑΧΙΉΣ Δ᾽ ᾽ΑΝΊΣΟΥ ᾽ΕΞΗΊΠΤΟ, Πρώραθεν μὲν ἡ ναῦς ὀρθωθεῖσα, πρυμνόθεν δ᾽ ἐς βάθος δυῶσα κινδυνεύουσα.

Στίχ: 332. . . . . ΟΙΩΝΟΣ. . . . . Ἡ γὰρ ἐν αὐτοῖς προοιμίοις τῶ πολέμω ἀριστεία, τῆς παρεψομένης νίκης ἦν Αἰνεία προάγγελος.

Στίχ: 334. . . . . ΘΕΡΩΝΑ ΠΕΛΩΡΙΟΝ ᾽ΑΝΔΡΑ, Ἡ τῶ νικηθέντος εὐκλεία, κλέος προσεμποιεῖ τῷ νενικηκότι. Διὰ τοῦτο τὸν πεσόντα κλείζει Θέρωνα, ἐκ τῶ μεγέθους, ὅτι πελώριος· ἐκ τῆς εὐψυχίας, ὅτι προμαχόμενος Αἰνείᾳ ἀπλώτησεν· ἐκ τῶ ὁπλισμῶ, ὅτι καὶ ὁ θώραξ ἐκείνῳ, καὶ ὁ χιτὼν χρυσίω ἀπέλαμπον.

Στίχ: 340. ΙΡΟΝ ᾽ΕΟΝΤΑ . . . . Τὰς ἐξ ἀνατομῆς τῆς μητρὸς κυοφορέσης ὑπεξαγομένας ζῶντας, ᾽Απόλλωνι ἀνακεῖσθαι πάντας σεσημείωκε Σέρβιος, ἅτε τῆς Ἰατρικῆς ὑμνουμένῳ πατρὶ καὶ ἐφόρῳ. Διὸ καὶ Ἀσκληπιὸς ᾽Απόλλωνος, φησὶ, γενέσθαι υἱὸς πεφήμισαι, ὡς οὕτως εἰς τὸ ζῆν προελθών. Καὶ ὁ τῶν Καισάρων δὲ οἶκος, διὰ τὸ ἐξ ἀνατομῆς τοιᾶς δὲ τεχθῆναι Καίσαρα τὸν Ἰέλιον, τῆς περιωνύμε ἔλαχεν ἐπικλήσεως. Cædo γὰρ παρὰ Λατίνοις, τὸ πατάσσω εἰς θάνατον.

Στίχ: 343. ΟΥ᾽ΚΟΥΝ ΧΡΑΙΣΜΗΣΕ ΣΦΙΣΙ . . . . ᾽Ουτω καὶ Ἰλ: Ε. στίχ: 53. Περὶ Στροφίε τῶ Σκαμανδρίε ᾽Ομηρος.

„᾽Αλλ᾽ ὲ οἱ τότε γε χραῖσμ᾽ ᾽Αρτεμις ἰοχέαιρα,
„᾽Ουδὲ ἑκηβολίαι, ἦσιν τὸ πρὶν γ᾽ ἐκέκασο.

Στίχ:

Ἦντο ἀσινέες, ἀλλὰ τεὴ Τάρχων ἀχ ἔτως·
Ἦ γάρ ἐπαρράξασα κατὰ βραχέων προτιπέλσε,
Μέναϛ' ἀμφικρεμὴς, ῥαχίης δ' ἀνίσω ἐξῆπτο.
Πλησσομένη ῥοθίοις δηρόνῳ, εἰς ὅ πᾶσα κεάσθη,
Κύμασι δ' ἐν μέσσοις, ἅς δὴ φέρεν ἔκθετο ἄνδρας.
Τὰς καὶ ἐρετμῶν περ κυμαγόμεν' ἄγματα πάντῃ,
Νηὸς σέλματά τε, σκῶλα προσιόντα ἀπεῖργε,
Τὰς ποσὶ τ' ἐμπίπτων αὖθις ῥόθος ἄλκεν ἀνάρρηϛ.
Οὐδέ νυ ὀκναλέος Τύρνος δήθω, ἀλλ' ἅμα
Ὀξὺς ἄγημα ὅλον, κατὰ Τεύκρων ἀέρχεν ἐπ' ἀκτὰς.
Σήματὰ δὴ ἤχει· εἰς δ' ἕλας πρῶτος ἀγροίκως
Αἰνείας ἐπόρϛ', οἰωνὸς ὁ δ' ἔπλετο χάρμης.
Οὔνεκ' ἀριζεύσας γε φάλαγγα θράνσε Λατίνων,
Ἴφι ἐπεὶ ῥὰ δάμασσε Θέρωνα πελώριον ἄνδρα,
Αὐτῷ ἀντιβίῳ ὁμόσ' ἐλθέμεν ἐμμεμαῶτα.
Τᾷ διὰ γὰρ χαλκῇ θώρηκὸς τ' ἠδὲ χιτῶνος,
Στίλβοντος φολίσι χρυσείαις, πλευρὸν ἀνῶξεν.
Εἶτα Λύκαν τρῶσεν, τὸν, μητέρος ἐκ ῥὰ θανέσης,
Γαϛρὸς ἀποσσαθέντα, ἀτὰρ Σοὶ φοῖβε Ἄπολλον
Ἱρὸν ἐόντα, ἐπεὶ τυτθὸς φύγεν ἶνα σιδήρϛ.
Κισσέα τ' αἰνὸν ἔπεϊα, Γύαν τε πέλωρον ἔπεφνεν,
Ἄμφω ἐν κορυθῃ ἕλας περ ὅλας ϛορενῶτε.
Οὔκεν χράϊσμησε σφίσιν Ἡρακλήϊον ὅπλον,
Οὐ κρατερὰ χεῖρες, γεννήτωρ ὐδὲ Μελάμπους
Ἀλκείδω ὀπέων, εὖθ' οἱ χθὼν ὕββαλεν ἄθλους.
Ἠνὶ δὲ, καί γε Φάρωνος ἐπεσβολέοντος ἀχρεῖα,
Ἀμπεπαλὼν βέλος ἰθὺ κατὰ ϛόμα πῆξε βοῶντος.
Καὶ σὺ παρειὰς ἐν πρώτοις ξανθῷ δὲ ἰάλοις
Ἑπόμενε Κλυτίῳ, φίλα ὅς σοι παιδικὰ ἔπλε,
Δαρδανίης χερὸς ἔργον ἔοις κε ταλάντατε Κύδον,
Καί κεν ἄρ ἡϊθέων νοσφίσθης, τῶν σ' ἔρος εἶχεν,

Ἦν

❀ ❀ ❀

Στίχ: Αὐτ: . . . . ΗΡΑΚΛΗΪΟΝ ΟΠΛΟΝ. Ἡ κορυθή, τὸ ῥόπαλον, ᾧ κατὰ ζῆλον Ἡρακλέους ἐχρῶντο ὅπλῳ, οἱ ἐπιχειρῶντες ἀνδραγαθίζεσθαι. Καὶ ἔχοι μὲν ἄντις ὑπολαβεῖν, ὅτι Κισσέα τε καὶ Γύαν ὁ Ποιητὴς ἡμῖν ὧδε Κορωνίτας παρέϛησε, διὰ τὸ τὰς ἕλας καθ' ὧν Αἰνείας τῳ πρώτῳ ὁρμῳ ἐποιήσατο ἐξωπλίσθαι ἀγροικικῶς, ὡς Φθάσας ἐδήλωσεν, (Αὐτ: στίχ. 331.) ἀλλ' ἐδὲν ἧττον εἰκὸς περὶ τῶν αὐτῶν δύο ἀνδρῶν ἡγεῖσθαι, ὅτι καὶ τῷ Ἡρακλείῳ ἰδιαίτερον ἐφιλοτιμοῦντο χρῆσθαι ῥοπάλῳ, διὰ τὸ καὶ τὸν αὐτῶν γενέτιν Ἀλκείδα γενέσθαι ὀπάονα, ὡς ἑξῆς λέγεται. (στίχ. 345.)

Στίχ: 344. . . . . ΓΕΝΝΗΤΩΡ ΟΥΔΕ ΜΕΛΑΜΠΟΥΣ, Οὐκᾶν ἀδελφῷ ἤϛιω Κισσεύς τε καὶ Γύας.

Στίχ: 347. . . . . ΚΑΤΑ ΣΤΟΜΑ ΠΗΞΕ ΒΟΩΝΤΟΣ. Ὡς καὶ παῤ Ὁμήρῳ Ἰδομενεύς, Ἰλ: Π. στίχ. 345.

„ . . . . . Ἐρύμαντα κατὰ ϛόμα νηλεῖ χαλκῷ
„Νύξε· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε.

Στίχ: 348.—352. ΚΑΙ ΣΥ ΠΑΡΕΙΑΣ κτ: Ἔϛι δ' ὁ νοῦϛ: ὅτι καὶ αὐτὸς ἂν ἐπεπτώκοις ὑπὸ Αἰνείᾳ δαμείς, ὦ Κύδον, ὁ τῷ ἐρωμένῳ Κλυτίῳ συνεκστρατεύ-

Ni fratrum ſtipata cohors foret obvia, Phorci
Progenies, ſeptem numero, ſeptenaque tela
Conjiciunt: partim galeâ, clypeoque reſultant
Irrita; deflexit partim ſtringentia corpus
Alma Venus. Fidum Æneas aſſatur Achatem:
Suggere tela mihi (non ullum dextera fruſtra
Torſerit in Rutulos) ſteterunt quæ in corpore Grajûm
Iliacis campis. Tum magnam corripit haſtam,
Et jacit: illa volans clypei tranſverberat æra
Mæonis, & thoraca ſimul cum pectore rumpit.
Huic frater ſubit Alcanor, fratremque ruentem
Suſtentat dextrâ: trajecto miſſa lacerto
Protinus haſta fugit, ſervatque cruenta tenorem,
Dexteraque ex humero nervis moribunda pependit.
Tum Numitor, jaculo fratris de corpore rapto,
Æneam petiit: ſed non & figere contra
Eſt licitum, magnique femur perſtrinxit Achatæ.
Hîc Curibus, fidens primævo corpore, Clauſus
Advenit, & rigidâ Dryopen ferit eminus haſtâ,
Sub mentum graviter preſſâ, pariterque loquentis
Vocem, animamque rapit, trajecto gutture: at ille
Fronte ferit terram, & craſſum vomit ore cruorem.
Treis quoque Threïcios, Borcæ de gente ſupremâ,
Et treis, quos Idas pater & patria Iſmara mittit,
Per varios ſternit caſus. Occurrit Haleſus,
Auruncæque manus; ſubit & Neptunia proles,
Inſignis Meſſapus equis. Expellere tendunt
Nunc hi, nunc illi: certatur limine in ipſo

Auſo-

❀ ❀ ❀

ὄντας, εἰ μὴ ὁ Ἥφαιστος ἐπὶ τὸ ὁλόκληρον σίφος ἀναγκαθεὶς ἐπισρέψαι, τὸ κατ' αὐτῆ ἀθρόον κινηθὲν, ὑπερῆλθε σε.

Στίχ: 353. Ἡ ΦΟΡΚΟΥ ΦΥΤΛΗ, ... Ἐπὶ Φόρκον εἰκὸς τὰς ἀδελφοὺς περὶ ὧν ὧδε λόγος ἀνάγεσθαι, τὸν ἐκ Πόντε καὶ Γῆς, ὡς ἀπογόνους, εἰμὴ ὡς ὑὰς· ἐκ γὰρ τῆ Φόρκυ τέτε καὶ Κητῆς, θυγατέρας μόνον γενέσθαι μανθάνομεν τὰς Φορκίδας, Ἐνυὼ, καὶ Πεφρηδὼ, καὶ Δεινώ. (παρὰ Ἀπολλοδ. Βιβλ: Α. Κεφ: Β. καὶ Β. Κεφ: Δ.)

Στιχ: Αυτ: . . . . ΣΥΝΑΜ ΕΠΤΑ ΒΕΛΗ . . . . Ἢ, ὡς κατὰ τὸν Ποιητὴν ἐκφέρασι: Septem numero ſeptena tela, ἑπτάριθμοι αὐτοὶ, καὶ τὰ βέλη ἑπτάριθμα κατὰ Αἰνείαν, εἴτε ἅμα καὶ κατὰ τὸ αὐτὸ ἀφιέντες, ἢ καὶ ἐπανατοξεύοντες.

Στίχ: 354. ΤΩΝ Δ' Α ΜΕΝ κτ: Τῶν γὰρ ἐπαφιεμένων βελῶν, τινὰ μὲν εὐσκόπως ἔπιπτεν ἐπὶ Αἰνείαν, ἀλλ' ἡ τῶν Ἡφαιστοτεύκτων ὅπλων σερρότης καὶ ἀντιτυπία, ἀδιαρρήκτων ὄντων, ἀμενηνὰ ἐποίει καὶ φρῆδα· τυτὶ γὰρ καὶ περὶ τῆς ἀσπίδος, ἣν οἱ Κύκλωπες ἐχάλκευον προείρητο. Η. Αἰν: στίχ. 465. . . . . ἀντιβίλω γε

„Πᾶσι σημαίνω οἷσι βέλεσσι Λατίνων.

Τὰ δὲ, καὶ τῆς μητρὸς Ἀφροδίτης ἐπισασία παρήγετο τῆ σκοπῆ. Αὐτη γὰρ, ὥσπερ καὶ Ἀθηνᾶ ἐπὶ τῆς Πανδάρε τοξείας, (παρ' Ὁμ: Ἰλ: Δ. στίχ. 129) τῆ Μενελάε πρόσθεν ἑστᾶσα, βέλος ἐχεπευκὲς ἄμυνεν.

„Ἡ δὲ τόσον μὲν ἔεργεν ἀπὸ χροὸς, ὡς ὅτε μήτης

„Παι-

Ἦν μή σοι κασίων πυκινὸς λόχος ἦκεν ἀμωώων;
Ἡ Φόρκυ Φύτλη, σωάμ' ἑπτὰ βέλη προϊέντες.
Τῶν δ' ἕ μὲν εἶο κόρυς τε σάκος τε, φρὸδ' ἄπο κρὸσαν,
Χρωτὸς ἅ δὲ χραύσοντ' ἄπο τρέψατο τηλόσε Κύπρις.
Αἰνείας δ' ἔτως Ἀχάτῃ πιεῖν προτιήυδα:
Εἶα βέλη πάρθυ νωΐ, (οὔτικεν ἤλιθα πάλλοι
Χὰρ ἄυτῃ Ῥοτόλοις.) Γραικῶν τά γε σώμασι πῆκτο,
Ἴλιον ἀμπέδον· ὦκα δὲ δὴ μέγα λάζετο ἔγχος,
Καὶ βάλεν· ἠδὲ σάκος χαλκήλατον ἀντιτορήσας,
Μαίονος ἦτορ ἐὼ τ' αυτῷ θώρηκι τμῆξεν.
Ἀλκήνωρ δ' ὑπεσῆλθεν, ἀδελφειῷ πίπτοντι,
Δεξιτερῇ δ' ἀνέχεσκεν ἐπημύοντα ἐρείδων.
Δὄρυ ὁ δ' Αἰνείας προΐηλε, βραχίονα κάμψας,
Πρὄβη αἱματόεν δὲ ῥύμλω τιὶ πρόσθ' ἐπισῶξον·
Τῷ δ' ἄρα χὰρ νεύροις θνήσκυσ' ἀρτᾶτο ἀπ' ὤμυ.
Νεμήτωρ δὲ βέλος κάσιος δέμας ἐξαρπάξας,
Αἰνείαν ἦτει, τὄ δ' ἀ θέμις ἔπλε τυχῆσαι·
Μηρὸν δ' ὦω μεγάλυ ἐπιλίγδιω γράψεν Ἀχάτυ.
Ἔνθα ῥὰ Κυρήταις Κλαῦσος πίσωός τε κωὶ ἦβη,
Ἦλυθεν, ἠδ' ἔκαθεν Δρύοπ' ἔτασεν ἔγχεϊ αἰνῷ,

I 2 Ἀν-

❁ ❁ ❁

„Παιδὸς ἐέργει μυῖας, ἕθ' ἡδεῖ λέξατο ὕπνῳ.
Ὅ κωὶ Πάνδαρος ἀποτυχὼν τῷ σκοπῷ, κωὶ σιωιδὼν ἔφη: (Ἰλ: Ε'. στίχ. 187.) ὡς ἔσηκέτις τῶν ἀθανάτων.
„Ὅς τότε βέλος ὠκὺ κιχήμενον ἔτραπεν ἄλλῃ.

Στίχ: 355. ΧΡΩΤΟΣ Α ΔΕ ΧΡΑΥΣΟΝΤ . . . . Σημείωσαι ὧδε τὸ Μάρωνος ἔπος: Deflexit partim ſtringentia corpus: ὅπερ ἂν εἴη ἐπὶ λέξεως εἰπεῖν: (ἀπέκλινεν, ἢ ἀπέκαμψε χράυνοντα τῷ σώματος.)
Πῶς δ' σιῶ ἀπέκαμψε τε ἅμα κωὶ ἔχραυσεν; Οἱ μὲν ἀπέτρεψε φασὶ, τῆς καιριωτέρας πληγῆς παραγαγοῦσα τὸ βέλος, ἐπὶ πολῆς, κωὶ οἷον ἐπιγράβδιω ἅψασθαι τῷ σώματος ἐπιτρέψασα μικρὸν, ὅσον ἀμύξαι. Οἱ δὲ κατ' ἀντιχρονισμὸν ὧδε θέσθαι τὸν Ποιητὴν τὸ ſtringentia, τὸν ἐνεχῶντα μεταλαβόντα ἀντὶ τῷ μέλλοντος: Strictura. Ἀλλ' ἡμῖν ἔργον ἰδὲν καθ' ἑκάτερον ἀποδῶναι, κωὶ τὸ μέτρῳ σωζομένῳ, εἴτε ἐν χρόνῳ ἐνεχῶντι, εἴτε κωὶ μέλλοντι.

Στίχ: 357. ΕΙ Α ΒΕΛΗ ΠΑΡΘΟΥ κτ: Τοῦτ' ἰῶ τὸ τῷ ὑπαποδοσῷ ὑπέρφημα, τὸ ἐξ ἑτοίμυ προχειρίζειν βέλος ἕτερον τῷ πολεμιῷ, ὡς ἂν, δεῆσαν, βάλῃ κωὶ δεύτερον.

Στίχ: 358. . . . . ΓΡΑΙΚΩΝ ΤΑ ΓΕ ΣΩΜΑΣΙ ΠΗΚΤΟ. Οἷς, ἐπὶ τῷ Ἰλιακῷ πολέμῳ, κατὰ Δαναῶν ἐχρησάμεθα.

Στίχ: 364. . . . . ΒΡΑΧΙΟΝΑ ΚΑΜΨΑΣ, Ὡς ἂν σφοδρότερον βάλῃ ἐντείνας, καθάπω κωὶ ἀλλαχῷ ἡμῖν ἐπὶ παραπλησίας σεσημείωται τῆς ἐντάσεως.

Στίχ: 370. . . . . ΚΛΑΥΣΟΣ . . . . Ἐν ἄλλοις Κώδιξι Λαῦσος ἀναγινώσκεται. Ὁ δέ τοι Κέρδης τὸ Κλαῦσος ἐγκρίνει διὰ τὸς Κρήτας, (ἢ Κυρήτας.) τῷ γὰρ Λαύσῳ οἱ ἐξ Ἀγυλλίνης, φησὶ, παρεῖποντο, ἐχ οἱ Κρῆται, ὡς ἐν τῷ Ζ. Βιβλ: στίχ. 700. λέλεκται. Εἰ μήτις Λαῦσος ἰῶ ἔτος, ἕτερος τῷ Μεζέντυ υἱέως.

Στιχ: 371. . . . . ΗΔ' ΕΚΑΘΕΝ ΔΡΥΟΠ' ΕΤΑΣΕ κτ: Ὡσαύτως κωὶ παρ' Ὁμήρ. Ἀχιλλεὺς, Ἰλ: Υ. στίχ: 455.
„ —— Δρύοπ' ἔτασε κατ' αὐχένα μέσσον ἄκοντι

„Ἥρι.

Auſoniæ. Magno diſcordes æthere venti
Prælia ceu tollunt, animis & viribus æquis:
Non ipſi inter ſe, non nubila, non mare cedunt:
Anceps pugna diu: ſtant obnixa omnia contra.
Haud aliter Trojanæ acies, acieſque Latinæ
Concurrunt: hæret pede pes, denſuſque viro vir.
At parte ex aliâ, quà ſaxa rotantia late
Inpulerat torrens, arbuſtaque diruta ripis,
Arcadas inſuetos acies inferre pedeſtres
Ut vidit Pallas Latio dare terga ſequaci,
(Aſpera queis natura loci dimittere quando
Suaſit equos) unum quod rebus reſtat egenis;
Munc prece, nunc dictis virtutem accendit amaris.
Quò fugitis ſocii? per vos, & fortia facta,
Per ducis Evandri nomen, devictaque bella,
Spemque meam, patriæ quæ nunc ſubit æmula laudi,
Fidite ne pedibus: ferro rumpenda per hoſtes
Eſt via, quà globus ille virûm denſiſſimus urget:
Hac vos, & Pallanta ducem patria alta repoſcit.
Numina nulla premunt; mortali urgemur ab hoſte
Mortales: totidem nobis animæque, manuſque.
Ecce maris magno claudit nos obice Pontus:
Deeſt jam terra fugæ: pelagus Trojamne petemus?
Hæc ait, & medius denſos prorumpit in hoſtes.
Obvius huic primum, fatis adductus iniquis,
Fit Lagus; hunc, magno vellit dum pondere ſaxum,
Intorto figit telo, diſcrimina coſtis

Per

❀ ❀ ❀

„Ἤειπε δὲ προπάροιθε ποδῶν . . . .
Ἀλλὰ τὸν αὐτὸν ἑκατέρωσε Δρύοπα ὑποκεῖσθαι τὶς ποτ' ἂν φήσειε; Παρὰ Οὐιργιλίῳ δὲ, eminus ἐρηται τὸν Δρύοπα ἐτηθιῶσι, ὅ δὴ, ἀντὶ τοῦ (ἐγγύθεν) τινὲς ἐξέλαβον, οἷον εἰπεῖν e manu· (ἐκ χειρὸς) οἱ δὲ cominus ἀναγινώσκειν αἱρεῖνται, (ἔκαθεν). τούτων δὲ εἰς ταὐτὸ ἑκάτερον συλλαβεῖν ἐξεῖναι ὁ Κέρδης ὑπείληφε· τὸ μὲν γὰρ πόρρωθεν ἐηθείη διὰ τὸ μῆκος τοῦ δόρατος, τὸ δ' ἐγγύθεν, ὅτι ὁ ἀκοντίσας, κὰ τρώσας ἐδαμῶς ὑφῆκεν, ἐφεξῆς δὲ προσεπεώθει· κατὰ γὰρ Στράβ. ἐν Γ. τῶν Γεωγρ: Διττὴ ἡ τῶν δοράτων χρῆσις, ἡ μὲν ἐκ χειρὸς, ἡ δὲ ὡς παλτοῖς, καθάπερ καὶ ὁ κοντὸς ἀμφοτέρας τὰς χρείας ἀποδίδωσι· καὶ γὰρ κὰ συςάδην χρώμεθα, καὶ κοντοβολοῦντες, ὡς σεσημείωται. Θ. Αἰν: στίχ. 533.

Στίχ: 373. ΦΩΝΗΝ ΦΘΕΓΓΟΜΕΝΟΥ κξ: Οὕτω κὴ (ὃν Διομήδης ἀπεθειροτόμησε) τοῦ Δόλωνος: Ἰλ: Κ. στίχ. 457.
„Φθεγγομένῳ δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.

Στίχ: 374. ΠΡΗΝΗΣ Δ' Ὁ ΧΘΟΝΑ ΚΟΠΤΕ ΜΕΤΩΠΩι . . . . Καθάπερ οὖν καὶ τῶν ἐν Ὀδυσ· Χ. στίχ. 84. Εὐρύμαχος μὲν ὑπὸ Ὀδυσσέως τοξευθεὶς καὶ πεσὼν:
. . . . . Χθόνα τύπτε μετώπῳ.
Ὁδὲ Ἀμφίνομος ὑπὸ Τηλεμάχου (Αὐτ: στίχ. 94.) δορὶ κατόπισθε βληθεὶς
„Δέπησεν δὲ πεσὼν χθόνα δ' ἤλασε παντὶ μετώπῳ.

Στίχ: 375. . . . . ΤΠΑΤΟΙΟ ΓΕΝΟΥΣ ΒΟΡΕΑΟ. Ἀπορεῖν ἔπεισι τοῖς Σχολιογράφοις ἐνταῦθα: πότερον δὴ, ἀντὶ τοῦ ἔθνους νοητέον τὸ γένος, ὡς ἐκ

Ἀνθερεῶνος ἔνερθε· λάρυγγα δὲ τῇ διελάσσας
Φωνὴν φθεγγομένην ἅμα καὶ ψυχὴν ἐπαπηύρα·
Πρωνὴς δ' ὁ χθόνα κόπτε μετώπῳ, αἷμα δ' ἀπήμει.
Τρῆς δ' ἔτι Θρηϊκίης, ὑπάτοιο γένος Βορέαο,
Τρῆς θ' ὃς Ἴδας πέμψε πατήρ τε καὶ Ἴσμαρος αἶα,
Κάββαλε παντοίως. Ἑτέρωθε δ' Ἄλησος ὄρσεν,
Αὐρύγνοι τε λόχοι, καὶ φύτλη δ' ἣ Ποσιδῶνος
Μέσσαπος ἱπποδάμας. Ἄντιῳ δὲ σεῦδον ἐλαύνειν,
Νιῷ μὲν οἵ, ἄλλοτ' ἐκεῖνοι· ἀγὼν δ' ἐν ὅροισι τελεῖτο
Αὐτῆς Αὐσονίης. Ὡς τ' ἀντιαέντε ἀῆτα
Αἰθέρι ἐν μεγάλῳ, ἰσοθενέεσσι ῥιπῇσιν·
Οὐκ αὐτοὶ σφίσιν, ἀ νεφέλαι τ', ἀ πόντος ὑπείκει·
Δήρεται δ' ἀμφιβόλῳ, διὰ πάντ' ἐπερείδεται ἄντα.
Οὐκ ἄλλως εἶλαι Τρώων, εἶλαί τε Λατίνων,
Πᾶς ποδὶ ἠρείριστο θαμειῶς, ἀνδρὶ δὲ τ' ἀνήρ.

Ἀλλά

❁ ❁ ❁

ἐκ τῶν Βορεοτέρων τῆς Θράκης τὰς τρεῖς τάττας δεῖν μεταπέμπεσθαι; ἢ περὶ τῆς γενεᾶς αὐτῶν, ὡς Ζήθου τε καὶ Κάλαϊν ἐχνηκότων προγόνας, τὰς Βορέα τε καὶ Ὠρειθείας μυθολογηθέντας υἱὰς, τὰς ἐν τοῖς Ἀργοναύταις καταλεγομένας, περὶ ὧν Ἀπολλόδ. Βιβλ. Α. Κεφ. Θ'.

Στίχ: 376 . . . . ΪΣΜΑΡΟΣ ΤΑΙΑ. Θράκης δ' ἦν ἡ Ἴσμαρος πόλις Κικόνων· (Στέφ: Βυζ:) Περὶ ἧς καὶ Ὅμηρος, Ὀδυσ: Ι. στίχ. 39.

„Ἰλίοθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν,
„Ἴσμάρῳ . . . . . .

Ἦν δὲ καὶ Λίμνη ἡ Ἰσμαρὶς (καθ' Ἡρόδοτ. Ζ.) Μαρωνείας μεταξὺ καὶ Κύμης· ἥτις, ὡς Ἀβραάμ εἴρηται ὁ Βερκέλ: ἐν τοῖς εἰς τὸν Ἐθνογράφον Σημειώσεσιν, ἄλλως καὶ Μάρις ἐκλήθη, ἐξ ἧς τυχὸν ἐπώνυμος ἡ Μαρώνεια.

Στίχ: 378. ΑΥΡΥΓΚΟΙ ΤΕ ΛΟΧΟΙ· Περὶ τούτων Ζ: Αἰν: στίχ. 219.

Στίχ: 379. ΜΕΣΣΑΠΟΣ ΙΠΠΟΔΑΜΑΣ . . . . Ζ. Αἰν: στίχ. 740.

Στίχ: 380. ΝΥΝ ΜΕΝ ΟΙ, ΑΛΛΟΤ' ΕΚΕΙΝΟΙ . . . Ἀντιτάλαντος οὕτω ἐν τούτοις ἡ δῆρις ἴσατο, οἵαν τὴν μεταξὺ Λυκίων Ὅμηρος ἀμφὶ τῷ τείχει παρίσησιν. Ἰλ: Μ. στίχ. 417. ὡς καὶ Οὐρσῖνος παρέθετο:

„Οὔτε γὰρ ἴφθιμοι Λύκιοι Δαναῶν ἐδύαντο
„Τεῖχος ῥηξάμενοι θέσθαι παρὰ νηυσὶ κέλευθον,
„Οὔτέ ποτ' αἰχμηταὶ Δαναοὶ Λυκίης ἐδύαντο
„Τείχεος ἄψ ὧσαθαι ἐπεὶ τὰ πρῶτα πέλαθεν.

Στίχ: 381. . . . . ΩΣ Τ' ΑΝΤΙΑΕΝΤΕΣ ΑΗΤΑΙ κτ: Σωήθης ἡ χρῆσις τῆς τοιᾶσδε εἰκόνος. Καὶ γὰρ Ἰλ: Π. στίχ. 765 — 771.

„Ὡς δ' Εὖρος τε Νότος τ' ἐριδαίνετον ἀλλήλοιιν
„. . . . . .
„Ὡς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες
„Δῄουν, ἀδέτεροι μνώοντο ὀλοοῖο φόβοιο.

Καὶ παρὰ τῷ Καλαβρῷ Παραλ. Β. στίχ. 216.

„Σὺν δ' ἔπεσον καναχηδὸν ἐμῶς, ἅτε κύματα πόντε
„Πάντόθεν ἀγρομένων ἀνέμων ὑπὸ χείματος ὦρη.

Στίχ: 384. ΔΗΡΕΙ Δ' ΑΜΦΙΒΟΛΩι . . . . Ἦν ἄν Ὅμηρος εἴποι ἑτεραλκέα, ὡς Ἰλ: Η. στίχ. 26. Καὶ Ἰλ: Θ. στίχ. 171.

Στίχ: 386. ΠΟΤΣ ΠΟΔΙ ΗΡΕΙΡΙΣΤΟ . . . . . ΑΝΔΡΙ ΔΕ Τ' ΑΝΗΡ. Ἰλ: Ν. στίχ. 130.

„Φράζαντες δόρυ δορὶ, σάκος σάκεϊ προθελύμνῳ.
„Λαπὶς ἀσπίδ' ἔρειδε, κόρυς κόρυι, ἀνέρα δ' ἀνὴρ·
„Ψαῦον δ' ἱππόκομοι κάρυθες λαμπροῖσι φάλοισι
„Νευόντων ὣς πυκνοὶ ἐφέσαντο ἀλλήλοις.

Per medium quà ſpina dedit, haſtamque receptat
Oſſibus hærentem, quem non ſuper occupat Hisbon,
Ille quidem hoc ſperans. Nam Pallas ante ruentem,
Dum furit, incautum crudeli morte ſodalis,
Excipit, atque enſem tumido in pulmone recondit.
Hinc Helenum petit, & Rhœti de gente vetuſtâ
Anchemolum, thalamos auſum inceſtare novercæ.
Vos etiam gemini Rutulis cecidiſtis in arvis,
Daucia, Laride, Thymberque, ſimillima proles,
Indiſcreta ſuis, gratuſque parentibus error.
At nunc dura dedit vobis diſcrimina Pallas:
Nam tibi, Thymbre, caput Euandrius abſtulit enſis;
Te deciſa ſuum, Laride, dextera quærit,
Semianimesque micant digiti, ferrumque retractant.
Arcadas accenſos monitu, & præclara tuentes
Facta viri, miſtus dolor & pudor armat in hoſtes.
Tum Pallas bijugis fugientem Rhœtea præter
Trajicit: hoc ſpatium, tantumque moræ fuit Ilo:

Ilo

❀ ❀ ❀

Στίχ: 391. . . . . ΑΙ'ΝΕΙ'Ν 'ΑΝΑΠΕΙ'ΘΕ ΓΑ'Ρ 'ΙΠΠΟΥΣ. Παραιτεῖθαι τὴν ἵππων χρῆσιν πρός γε τὸ παρὸν· ὃ καὶ καθ' ἡμᾶς ἐν διχωρίαις, ἢ ξενώσεσιν, οἱ στρατηγικοὶ ἐνίοτε ποιεῖν τῷ ἱππικῷ ἐγκελεύονται.

Στίχ: 393 — 404. ΝΥ'Ν 'ΙΚΕ'ΤΗΣ . . . ΝΥ'Ν ΠΙΚΡΟ'Σ . . . . 'ΟΜΟΚΛΗ'ΤΩΡ. Πῇ μὲν ἠπιωτέροις, πῇ δὲ αὐστηροτέροις τοῖς ῥήμασι χρώμενος. Ὧν δ' ἀπεχρήσατο κεφαλαίων πρὸς τὸ πεῖσαι μένειν, ἢ ἄντις, ἐδ' ἐς ἄκρον ῥητορείας, ἐλήλακως ἀμείνονα ἔλειτο. Δυσωπεῖν γὰρ ἄρχεται πρὸς αὐτῶν ἐκείνων, καὶ ἧς, ἐξ ὧν ἔς γ' ἐπ' ἐκεῖνο ἤθλησαν, ἔτυχον εὐδοξίας· πρὸς Εὐάνδρε τε ἀποστείλαντος· πρὸς ἧς αὐτὸς Πάλλας ἐπ' αὐτοῖς ἦν τρέφων ἐλπίδος, τε μὴ χείρων τῆς τε πατρὸς ἀρετῆς δι' αὐτῶν ἐλεγχθήσεσθαι. Εἶτα, τὸ μηδὲ χώραν εἰς φυγὴν ὑπολείπεσθαι αὐτοῖς ὑποβάλλει· τετὶ δὴ τὸ τῆς πειθανάγκης, ὅ λέγεται. Ἐμπαρεσκεύασε δὲ πρὸς εὐψυχίαν. καὶ τὸ μηδὲ Θεοῖς, ἀνθρώποις δὲ παραπλησίοις αὐτοῖς ἀντιπαρατάσσεσθαι. Ὃ δὲ δὴ τελευταῖον ἐρωτηματικῶς ἐπιλέγει, ἰσχυρὸν ἅμα τὸ αὐτὸ καὶ ἀσεῖον: στίχ. 404.

„ . . . . . Πελάγει διζοίμεθα Τροίλω;

Διὰ θαλάσσης, πρὸς ἰῶ μία ἡ ὁδὸς, ἢ διὰ τῆς χέρσε; Τὸ γὰρ Τρόιλω, (ὡς καλῶς ἐπέβαλε Σέρβιος) ἐκ ἀντὶ τε κατὰ τὴν Φρυγίαν Ἰλιε ὧδε ληπτέον εἰρῆσθαι, ἀντὶ δε τῶν ἐν τῇ παρεμβολῇ Τρώων, ὧν εἰς ἐπικρείαν ἀφίκοντο, καὶ πρὸς ἃς τὴν πάροδον ὁ τῶν πολεμίων στρατὸς περικαθήμενος διεφράγνυ.

Στίχ: 398. ΜΗ' ΘΑΡΣΕΙ'ΤΕ ΠΟ'ΔΕΣΣΙ . . . . . Παραπλησίως καὶ παρ' Ὁμήρῳ, Ἰλ: Ο. στίχ. 501.

„Αἴας δ' αὖθ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν.
„Αἰδὼς, Ἀργεῖοι κτ: . . . . . .
(Καὶ κατωτ: στίχ. 561.
„Ὦ φίλοι, ἀνέρες ἐσὲ, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ,
„Ἀλλήλες τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας.
„Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι, ἢὲ πέφανται·
„Φευγόντων δ' οὔτ' ἄρ κλέος ὄρνυτ', οὔτέ τις ἀλκή.
(Καὶ ἔτι κατωτ: στίχ. 734.
„Ἀνέρες ἐσὲ φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
„Ἦέ τινας φαμὲν εἶναι ἀσσοντέρας ὀπίσω,
„Ἦέ τι τεῖχος ἄρειον, ὅ κ' ἀνδράσι λοιγὸν ἀμύναι;

Στίχ:

Ἀλλὰ γὰρ ὡς ἑτέρωθεν ἐπ' εὐρὺς λᾶς προκυλίνδων
Χειμάρρους οἶσεν, καὶ δένδρα τὰ ἤριπ' ἀπ' ὄχθων,
Ἀρκαδικὰς ἔλας ἀδαεῖς πεζῇ πολεμίζειν,
Πάλλας ἐπεὶ ἤφητο Λατίνοις νῶτα διδόσας·
(Χώρῳ ἀνωμαλίῃ αἰνεῖν ἀναπείθε γὰρ ἵππους.)
Τῷθ' ὅπερ ἐν πυμάταις χρείῃσ' ἐπιλείπεται ἶον·
Νῶῑ ἱκέτης βωτρῶν, νῶῑ πικρὸς δ' αὖ ὁμοκλήτωρ,
Κερτομίοις ἐπέεσσ' ἀνδρῶν ἀρετιὼ παραθῆγε.
Ποῖ ῥ' οἴχεσθε φίλοι; πρὸς θ' αὐτῶν, πρός τε ἀέθλων,
Κλέους τ' Εὐάνδρω, πολέμων θ' οἷς ἤρατε νίκας,
Ἠμῆς τ' ἐλπωρῆς ζηλήντος πάτριον ἔυχος,
Μὴ θαρσεῖτε πόδεσσι, σιδήρῳ ὁδὸν δέον οἶξαι·
Ἔνθα ῥὰ δυσμενέων ἕλη ταρφῆς κατεπείγει.
Ἔνθεν σφᾶς, καὶ ἀγὸν Πάλλαντα, πάτρη αἰτεῖται.
Οὐ Θεὸς ἀντίβιος· Θνητὸς θνητύς περ ἐόντας
Ἔσθ' ὁ πιέζων· ἦτορ ἰδ' ἀλκὴ ἔξι καὶ ἄμμιν.
Ἠνὶ δ' ἁλὸς μεγάλοις μοχλεύμασι πόντος ἐέργει·
Γῆθεν ἄφυκτα πέλει· πελάγει διζοίμεθα Τροίῃ;
Ὣς ἔπας θαμέων δηΐων ἄρ μέσσος ἐπᾶλτο.
Πρῶτος δ' ἀντίος οἱ, σκαιᾶς ἀχθεὶς ὑπὸ μοίρας,
Στῆ Λάγος, ὅνπερ, ἐν ᾧ λᾶαν πᾶτο βαρώ τε μέγαντε,
Οὔτησ' ἀμπεπαλὼν βέλος, ἦχι ῥὰ μέσσον ἀκάνθης
Πλευρὰ ἀποθρώσκει· ἐκ δόρυ δ' ἔνθεν ἀνέρυσεν ἄνθις,
Ἐμπαγὲν ἀσραγάλοις· τὸν δ' ἔτοι πρὸς λαβεν Ἴσβων,
Καὶ μάλα γ' ἐλπόμενος· Πάλλας γὰρ ἔ ὄρμενον ἔφθη
Ἐμμανὲς ἀπροφύλακτον, ἑταίρῳ ἀμφί γε πότμῳ,
Τῷ δ' αὖψ' οἰδαλέῳ ἐν πνεύμονι φάσγανον ἔλσεν.
Καὶ Σθένελον δ' ἔλε· κἀκ Ῥοίτῳ δὲ γένος ἀρχαίῳ,

❁ ❁ ❁

Στίχ: 401. . . . . ΘΝΗΤΟ'Σ ΘΝΗΤΟΥ'Σ ΠΕΡ 'ΕΟ'ΝΤΑΣ Καὶ Μηριόνης πρὸς Αἰνείαν: Ἰλ. Π. στίχ. 622.

. . . . . Θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.

Στίχ: 404. ΓΗ'ΘΕΝ "ΑΦΥΚΤΑ ΠΕ'ΛΕΙ. . . . . Οὕτω καὶ Αἴας Ἰλ: Ο. στίχ. 737.

„Οὐ μέν τις χεδὸν ἐστὶ πόλις, πύργοις ἀραρυῖα,
„Ἣι κ' ἐπαμυναίμεθ', ἑτεραλκέα δῆμον ἔχοντες·
„Ἀλλ' ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων,
„Πόντῳ κεκλιμένοι, ἐκὰς ἤμεθα πατρίδος αἴης.

Στίχ: 410. . . . . 'ΑΣΤΡΑΓΑ'ΛΟΙΣ. Ἀσράγαλοι δὲ τὰ τῆς ἀκάνθης, ὥσπερ καὶ τὰ τοῦ τραχήλου, ἢ τὸ αὐχένος ὀστέα, ἃς καὶ σπονδύλους, ἢ σφονδύλους καλοῦσι, καὶ ἔτι στροφέας, ἢ στρόφιγγας.

Στίχ: Αὖτ: . . . . ΤΟ'Ν Δ' Ο'ΤΤΟΙ ΠΡΟ'ΤΛΑΒΕΝ . . . Τὸν Πάλλαντα ὁ "Ισβων, σωεπικαμφθέντα μικρὸν, ὥστε τὸ ἐπὶ τῆς Λάγου ἀκάνθης προσεμπαγὲν δόρυ ἀνελκύσαθαι.

Στίχ: 413. . . . . ΟΙ'ΔΑΛΕ'Ω 'ΕΝ ΠΝΕ'ΥΜΟΝΙ. . . . . Τῷ τοῦ "Ισβωνος δηλονότι, ἀπό τε τοῦ δρόμου, καὶ τοῦ θυμοῦ πνευσιῶντος.

Στίχ: 414. ΚΑΙ' ΣΘΕ'ΝΕΛΟΝ Δ' "ΕΛΕ . . . Παρά τισιν ἀναγινώσκεται "Ελενον. Ἀλλ' οἱ πλεῖστοι, ὡς Τρωϊκὸν τὸν "Ελενον ἀπαξιοῦντες ἀντικαθιστῶσι τὸν Σθένελον. Καί τοι καὶ δι' ἐκεῖνό τὸ ἔπος ἂν ἔρρωτο ἡμῖν εἰπεῖσιν: "ΕΙΘ' "ΕΛΕΝΟΝ Δ' "ΕΛΕ. κτ:

Στίχ:

Ilo namque procul validam direxerat haſtam;
Quam medius Rhœteus intercipit, optime Teuthra,
Te fugiens, fratremque Tyren; curruque volutus
Cædit ſemianimis Rutulorum calcibus arva.
Ac velut optatò ventis æſtate coortis
Diſperſa immittit ſylvis incendia paſtor;
Correptis ſubito mediis, extenditur unà
Horrida per latos acies Vulcania campos;
Ille ſedens victor flammas deſpectat ovantes.
Non aliter ſociûm virtus coït omnis in unum,
Teque juvat, Palla. Sed bellis acer Haleſus
Teudit in adverſos, ſeque in ſua colligit arma.
Hic mactat Ladona, Pheretaque, Demodocumque;
Strymonio dextram fulgenti deripit enſe,
Elatam in jugulum; ſaxo ferit ora Thoantis,
Oſſaque diſpergit cerebro permiſta cruento.
Fata canens ſylvis genitor celarat Haleſum:
Ut ſenior letho canentia lumina ſolvit,
Injecêre manum Parcæ, teliſque ſacrarunt
Euandri; quem ſic Pallas petit, ante precatus.
Da nunc, Tybri pater, ferro, quod miſſile libro,
Fortunam, atque viam duri per pectus Haleſi:
Hæc arma, exuviaſque viri, tua quercus habebit.
Audit illa Deus: dum texit Imaona Haleſus,
Arcadio infelix telo dat pectus inermum.

At-

❁ ❁ ❁

Στίχ: 415. ΆΓΧΕ΄ΜΟΛΟΝ, κτ: Τοῦτον, ὡς Ῥοίτειόν φόν, τῷ ἀπὸ Φόρκυ κατιόντος, καὶ Μαξύεβίων βασιλεύοντος, τὸ μὲν γένος ἐπιφανῆ ὁ Μάρων ἐπιφημίζει, τὸν δὲ τρόπον μιαρὸν παρίστησι καὶ ἐξώλειαν, ὡς αἰσχρῶς τε καὶ ἀθέσμως Καπυρείας τῆς Μητρυιᾶς σωφρονιζούσης. Διὸ καὶ ὑπὸ τοῦ πατρὸς ἐκκηρυχθείς. Τύρεω, ὦ προσκαταφυγών ἰῶ, σωτεκράτευε· τιμὴ δ' Ἰσορίαν ὁ Σέρβιος ἡμῖν ἐξέθετο παρὰ Ἀλεξάνδρου παραλαβὼν τοῦ Πολυΐστορος.

Στίχ: 417. ΔΑΥΚΕΙ΄ΔΑΙ . . . ΆΛΙΓΚΙΑ ΤΕ΄ΚΝΑ. Τὰ γὰρ δίδυμα τῇ ὁμοιότητα μάλιστα παρεμφαίνει. (Πλάτ. ἐν τῷ Παραμυθ: πρὸς Ἀπολλ.) Ὁ δὲ Κέρδων ἐνταῦθα, καὶ τὸ Φίλωνι ῥηθέν πε παρατίθησιν: ὅτι ἐπὶ τῶν διδύμων ἡ Φύσις χρησαμένη τῷ αὐτῷ πολλάκις χαρακτῆρι, παρὰ μικρὸν ἀπαραλλάκτως ὁμοιότητας ἐτύπωσε.

Στίχ: 419. . . . . ΔΙΑΚΡΙ΄ΝΕ. Πληγαῖς ἐχ ὁμοίαις διαχρησάμενος, διαφορὸς τῷ θανάτῳ, τοῖς ἀδιαφόροις τὸ εἶδος ἐπήγαγεν.

Στίχ: 422. . . . . ΆΜΦΙ΄ ΣΙΔΗ΄ΡΩι Ἡ γὰρ δεξιὰ αὐτῷ μεθ' ἧς κατεῖχεν ὅπλα κατενήνεκται.

Στίχ: 424. . . . . ΆΝΙ΄Η, ΉΔΕ΄ ΚΑ΄Ι ΑΙ΄ΔΩ΄Σ· Καλῶς· καὶ γὰρ καὶ ἡ αἰσχύνη λύπητις ἐστὶ, καὶ ταραχὴ ψυχῆς περὶ τὰ εἰς ἀδοξίαν φαινόμενα. (Ἀριστ. Ῥητορ. Βιβλ: Α. Κεφ. ς'.)

Στίχ: 425. . . . . ΦΕΥ΄ΓΟΝΤΑ ΔΙΗ΄ΛΑΣΕ . . . . Πάλλας τὸν Ῥοιτέα, ὥσπερ Μενέλαος παρ' Ὁμήρῳ τὸν Στροφίου Σκαμάνδριον, Ἰλ: Ε'. στίχ. 56.

„Πρόσθεν ἔθεν φεύγοντα, μετάφρενον ἔτασε δουρὶ
„Ὦμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν.

Στίχ:

Ἀγχέμολον, θαλάμης μητρυιῆς ὅς γ' ἐμίηνε.
Χ' ὕμμες δ' οἱ δίδυμοι Ῥοτόλων ἠμύσατ' ἀρούρας,
Δαυκεΐδαν, Λαρίδης καὶ Θύμβερ, ἀλίγκια τέκνα,
Ἄκριτα οἰκείοισιν, ἄλη γλυκερὴ δὲ γονεῦσι.
Σφῶε δ' ἀπ' ἀλλήλοιν Πάλλας γ' αἰνῶς διακρῖνε.
Σοῦ γὰρ Θύμβρε κάρη Ἐυάνδριον ἄορ ἀφεῖλε,
Σὲ τμηθεῖσα δ' ἐὸν Λαρίδη, χεὶρ ἧλιθ' ἀπήτει,
Ἡμίβιοι σφύζον δ' ἄρ δάκτυλοι ἀμφὶ σιδήρῳ.
Ἀρκάδας οὐ ἄϊθωνας ὁμοκλῇ, ἔργα θ' ὁρῶντας
Ἔξοχα ἀνέρος, ὥπλισ' ἀνίη, ἠδὲ καὶ αἰδώς·
Τῆμος δ' ἐν δίφρῳ φεύγοντα διήλασε Πάλλας
Ῥοιτέα. Τοσσάτιον δέ τι ἔσκεν ὑπέρθεσις Ἴλῳ.
Ἴλῳ γὰρ πόρρωσ' ἐπιθωΰτο ὄμβριμον ἔγχος,
Κεῖν' ὅ μέσος Ῥοιτεὺς ὑποδέχνυτο, φάϊμε Τεύθρα,
Εὖτε σὲ φεῦγε, κάσιν τε Τύρῳ· ὀχέων δ' ἠρεπῶς
Κύμβαχος, ἡμίπνους, Ῥοτόλων λὰξ κόπτεν ἀρούρας.
Ὡς δ' ὅτε ἱμερτῶν ἀνέμων θέρεος πνειόντων,
Ποιμὴν πῦρ αἴθηλον ἐν ἀξύλῳ ὕλῃ ἐναύσῃ,
Αἶψα δ' ἄρ ἐκ μέσσης προϊᾶσα βίῃ Ἡφαίστου
Εὐρέα δὴ πάντῃ πεδία φρικτὴ κατὰ μάρψει·
Φλογμὸν ὁ δ' ὃν τεῦξε κατὰ ἦμενος ἄντα θεᾶται·
Οὕτως ἠνορέῃ ἑτάρων ἐς ἓν ἄμμιγ' ἰᾶσα,

Ἦν

❁ ❁ ❁

Στίχ: 426. . . . . ΤΟΣΣΑΤΙΟΝ ΔΕ ΤΙ ΕΣΚΕΝ ΥΠΕΡΘΕΣΙΣ ΙΛΩ.
Ῥοιτεὺς μὲν γὰρ φεύγων ἦν Τεύθρῳ τε καὶ Τύρῳ τὼς αὐταδέλφως ἐπελαύνοντας, ἐν ᾧ Πάλλας κατὰ Ἴλε τὸ ἔγχος ἰθυάσας προέηκεν· ἐμπεσόντι τοίνυν κατὰ συγκαιρίαν μεταξὺ τῷ Ῥοιτεῖ ἐμπέπηκται τὸ βέλος, καὶ τοῦτο πως ἀναβολίσ' ἐνεποίησεν Ἴλῳ, τὸ μὴ αὐτίκα τιωικάδε θανεῖν, κἂν ἄλλως μετ' ὀ πολύ, καὶ Ἴλος ἕτος κατὰ τὸ σιωπώμενον πέπτωκεν.
Στίχ: 429. . . . . ὈΧΕΩΝ Δ' ἩΡΕΙΠΩΣ κτ: ὁ Ῥοιτεὺς δηλονότι.
Στίχ: 430. . . . . ΛΑΞ ΚΟΠΤΕΝ ΑΡΟΥΡΑΣ. Ὥσπερ ὁ ἐν Ὀδυσ. Ἴρος, Σ. στίχ. 97.
„Καδδ' ἔπεσ' ἐν κονίῃσι . . . . . .
„Λακτίζων ποσὶ γαῖαν . . . . . .

Στίχ: 431 — 437. ΩΣ Δ' ΟΤΕ ΙΜΕΡΤΩΝ ΑΝΕΜΩΝ κτ: Ἰλ: Λ. στίχ. 155.
„Ὡς δ' ὅτε πῦρ αἴθηλον ἐν ἀξύλῳ ἐμπέσῃ ὕλῃ
„Πάντῃ τ' εἰλυφόων ἄνεμος φέρει, οἱ δέ τε θάμνοι
„Πρόρριζοι πίπτουσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ.
Καὶ παρὰ τῷ Καλαβρῷ, Παραλειπ. Β. στίχ. 534.
„. . . . . Ὡσεὶ πυρὸς δάσκιος ὕλη
„Οὔρεος ἐν ξυλόχοισιν, ἐπιπλέρχοντος ἀήτεω.
Ὁ μὲν οὖν τῷ Μάρωνος ποιμὴν, τὸ πῦρ ἤδη ἐξάψας, κατὰ ἦμενος (ἧπερ εἴρηται) ἄντα θεᾶται. Ὁ δέ τοι Πάλλας αὐτῷ ἐχ ὁμοῖος, ἢ καθ' ὅσον τῷ ἐπρησμῷ ἐγίνετο αἴτιος, καὶ κατά τι, ἐπὶ τῷ τοσῷδε ἐμπρησμῷ εὐθαρσές τε τῆς ψυχῆς καὶ ἀνέκπληκτον· Τὰ γὰρ ἄλλα, τῷ ἐν τῇ εἰκόνι ποιμένος πόρρωθεν ἰσαμένῳ ὀπτῆρος, ὁ ἐν τῷ πράγματι Ἀρκὰς νεανίσκος κατὰ τῶν πολεμίων προήει, ὅπερ ἐστὶν ἐντὸς τῷ ἐμπρησμῷ ἑαυτὸν ἐνέβαλεν, ἀνενδότως μαχόμενος. Τῇ αὐτῇ δὲ τάυτῃ εἰκόνι ὁ Μάρων ἐχρήσατο, καὶ Δίν. Β'. στίχ. 324 — 335.

At non cæde viri tantâ perterrita Lauſus,
Pars ingens belli, ſinit agmina. Primus Abantem
Oppoſitum interimit, pugnæ nodumque, moramque.
Sternitur Arcadiæ proles; ſternuntur Etruſci;
Et vos, ô Grajis imperdita corpora, Teucri.
Agmina concurrunt ducibusque & viribus æquis.
Extremi addenſant acies: nec turba moveri
Tela manuſque ſinit. Hinc Pallas inſtat & urget;
Hinc contra Lauſus: nec multum diſcrepat ætas:
Egregii formâ, ſed queis fortuna negârat
In patriam reditus. Ipſos concurrere paſſus
Haud tamen inter ſe magni regnator Olympi:
Mox illos ſua fata manent majore ſub hoſte.
Interea ſoror alma monet ſucurrere Lauſo
Turnum, qui volucri curru medium ſecat agmen.
Ut vidit ſocios; Tempus deſiſtere pugnâ;
Solus ego in Pallanta feror, ſoli mihi Pallas
Debetur: cuperem ipſe parens ſpectator adeſſet.
Hæc ait: & ſocii ceſſerunt æquore juſſo.
At Rutulûm abſceſſu Junonis, tum juſſa ſuperba
Miratus, ſtupet in Turno; corpusque per ingens

Lu-

❀ ❀ ❀

Στίχ: 437. . . . . ΑΛΗΣΟΣ . . . . . Haleſus εἴρηται καὶ Alæſus, ὁ Ἀλῆσος ὅδε, ὃς καὶ ἕτερος εἶναι ἔδοξε τῆ Ἀλήσῃ, ἢ Ἀλαίσῃ, τῆ Ἀγαμεμνονίδῃ πατρωνυμηθέντος· περὶ ἧ Ζ. Λὶν: στίχ. 774.

Στίχ: 438. . . . , ΑΥΤΟΝ Δ' Ε ΣΤΝΕΓΑΕΝ ΕΝ ΟΠΛΟΙΣ, Ὑπὸ τῷ σάκει συσαλεὶς, κατὰ τῶν βελῶν τῶν αὐτῷ πυκνῶν ἐπαφιεμένων.

Στίχ: 441. ΚΑΔΔΕΙΡΗΣ ΕΠΑΡΑΝΤΟΣ ΕΗΣ. Ἐν ᾧ γὰρ ὁ Στρυμόνιος ἦρεν ὡς καθικέσθαι Ἀλήσῃ, τὶω χεῖρα ἔτος τιὼ ἐκείνῃ φθάσας κατιώεγκε.

Στίχ: 443. ΣΥΝ ΤΕ ΔΕ' ΕΓΚΕΦΑΛΩ, ΚΕΔΑΣ' ΟΣΤΕΑ ΑΙΜΑΤΟΦΥΡΤΩ· Ὅμοιον τὸ περὶ τὸν Λήθῃ Ἱππόθοον. Καὶ τοῦτον γὰρ Αἴας ὁ τῆ Τελαμῶνος (Ἰλ: Ρ. στίχ. 297.) πλῆξ' αὐτοχεδίω . . . .

„Ἐγκέφαλος δὲ, παῤ ἀυλὸν, ἀνέδραμεν ἐξ ὠτειλῆς,
„Αἱματόεις . . . . . .

Στίχ: 444. ΜΑΝΤΙΣ ΜΕΝ ΓΕΝΕΤΗΣ . . . . Ἀλῆσον μὲν ὁ πατὴρ ὑπέρυπτεν, ἅτε δὴ μαντικὸς Ἀνὴρ, προορῶν τιὼ ὑπὸ τοῖς Ἐυάδρῃ βέλεσι τῆ ἰῆ πτῶσιν. Ἀλλ' ἦν ἄρα τὰ Μοιρῶν ἄφυκτα. Παρελθεῖν δ' ἐ δέον ἐνταῦθα, καὶ τὸς παῤ Ὁμήρῳ δὺο υἱὸς Περκωσίε Ἀδρηστόν τε καὶ Ἄμφιον. Καὶ γὰρ καὶ τούτων ὁ Πατὴρ, Ἰλ: Β. στίχ. 831.

„ . . . . . Ὅς πέρι πάντων
„Ἤδεε μαντοσύας, ἐδὲ ἓς παῖδας ἔασκε
„Στείχειν ἐς πόλεμον φθισήνορα· τὼ δὲ οἱ ἔπι
„Πειθέσθην· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.

Στίχ: 448. ΔΟΣ ΝΥΝ, ΘΥΜΒΡΙ ΠΑΤΕΡ, κτ: Καὶ Ἀσκάνιος δὲ, πρῶτον Διὶ ηὔξατο Ῥεμύλε κατατοξεύσων. Θ. Λὶν: στίχ. 946. Τῷ δὲ Θύμβριδι ὁ Πάλλας ὧδε, ὡς ἐπιχωρίῳ Θεῷ ἐκ τῆ σωτηρίου ὄντι, ἐπί τινος τῶν παροχθίων δρυῶν, εὐχεται αὐτῷ ἱερὰ ἐπαρτήσειν τῆ νικηθησομένῃ Ἀλήσῃ τὰ ἔναρα.

Στίχ:

Ἦν σοι ὄνειαρ, Πάλλα. Ἁλῆσος δ' οὐ μενεχάρμης,
Θωῦσεν ἐπαντιόων, αὐτὸν δ' ἑ σωεῖλεν ἐν ὅπλοις,
Πέφνε δὲ Λάδονα, καὶ Φηρήτιω, Δημοδόκον τε.
Στρυμονίδι σιλνῷ δὲ ἐν ἄορι χεῖρα καθεῖλε,
Καδδειρῆς ἐπάραντος ἔῆς· αὐτάρ τε Θόαντος,
Ὀκρυόεντι λίθῳ ὤπα σφοδρῶς κατακόψε,
Σώ τε δὲ ἐγκεφάλῳ κέδασ' ὀσέα αἱματοφύρτῳ.
Μάντις μὲν γενέτης ὑπέκευθεν Ἁλῆσον ἐν ὕλαις,
Τῷ δὲ γ', ἐπεὶ ῥὰ μόρῳ γηραιῷ ὅσσε λέλωτο,
Μοῖραι δὴ ἐπιθέντο, ἀτὰρ βελέεσσ' ὀσίωσαν
Υἱέος Ἐυάνδρου, τὼς πρῶτα γε ἐυξαμένοιο:
Δὸς νῦν, Θύμβρι Πάτερ, τῷ δ', ὅ προϊημι, σιδήρῳ,
Ἐυθυβόλως αἰνοῖο διΐξαν ἦτορ Ἁλήσυ!
Ὅπλα δὲ ἀνέρος, ἠδ' ἔναρα δρυὸς σεῖο τάδ' ἔξει.
Τῶν δὲ Θεὸς γ' ἐπάκουσεν· ἐν ᾧ δ' Ἰμάωνα Ἁλῆσος
Ἀμφὶ ῥὰ βὰς σάκεϊ σκέπεν, αὐτίκα, δὴ δύσηνος,
Ἀσκεπὲς Ἀρκαδικῷ ἓον ἦτορ δῶκε βελέμνῳ·
Οὐμιὼ εἷα δ' ἄρ Λαῦσος. μέρος ὦν μέγα χάρμης,
Τῆδ' ἐπ' ἀποκτασίαις διατρέσσαι ἴλας τοσσάς δε.
Πρῶτος δ' ἀντεπιόντα Ἄβαντα βαλὼν καταπέφνε,
Λευγαλέᾳ πολέμοιο συήμμ' ἰδὲ κάρτος ἐόντα.
Στρώννυτο Ἀρκαδίης γενέθλη, σρώννυτ' Ἐτρῦσκοι,
Χ' ὕμμες δ', ὦ Γραικοῖς ἀδαμῆ πρὶν σώματα, Τεῦκροι.
Σύμβαλλον δὲ φάλαγγες, ἀγοῖς τ' ἀλκῇσι τε ἴσαι.
Εἵλαι δ' ἀμπυκνώμεν' ἀπ' ἄκρων ἀ σωεχώρων
Ταρφειοῖς ὄχλοις χεῖράς τε βέλη τ' ἐπισεύειν.

❀ ❀ ❀

Στίχ: 453. ΑΣΚΕΠΕΣ ΑΡΚΑΔΙΚΩΙ κτ: Καλῶς μὲν Ἄλησος τῷ ἀρχῷ ἐχώρει, ἑαυτὸν συσείλας ἐν ὅπλοις, ὡς εἴρηται: στίχ. 438. ἐ καλῶς δ' ἐξῆς τῆς συσολῆς ἐπελήθη, ἀσκεπὴς αὐτὸς μείνας, ἐν ᾧ εἰς σκέπῃ Ἰμάονι τὸ σάκος περιβάλετο. Παραπλήσιον δὲ καὶ τὸ παρ' Ὁμήρῳ συμβὰν Ἐλεφήνορι καὶ γὰρ καὶ τοῦτον, Ἰλ: Δ. στίχ. 467.

„Νεκρὸν . . . . ἐρύοντα ἰδὼν μεγάθυμος Ἀγήνωρ
„Πλευρὰ, τὰ οἱ κύψαντι παρ' ἀσπίδος ἐξεφαάνθη,
„Οὔτησε ξυστῷ χαλκήρει, λῦσε δὲ γυῖα.

Στίχ: 457. . . . . ΣΥΝΑΜΜ' ΙΔΕ' ΚΑΡΤΟΣ . . . . Nodumque moramque, ὡς ἐπὶ λέξεως ὁ Μάρων: (δεσμόν τε μοιλῶ τε.) Νόει δέμοι τὸν μὲν (δεσμὸν) nodum ἤτοι, ὡς περὶ ἑαυτὸν, τὸ τῶν ὁπλιτῶν στῖφος συνάγοντα· ἢ καθότι συνεπάλαιστος ἦν τις ὁπλίτης ὁ Ἄβας, καὶ εἷον τι συνάμμα, ἢ πλέγμα, ὅπερ λῦσαι ἐ ῥᾴδιον. Καὶ τὸν (μοιλὸν δὲ) moram: ἀντὶ τῆ ἐυξαθῆς καὶ καρτερικῆ τῆς ψυχῆς παρασήματος, καθ' ὃ μενεχάρμας τε καὶ μενεδήϊος, καὶ μενεπτολέμας προσεῖπεν ἡ Ποίησις τὰς ἐμμενετικὰς ἐν συμβολαῖς καὶ ἀτρέπτας, οἷοι οἱ ἐπὶ σταθῇ τῇ ὑσμίνῃ ἀνενδότως ἔχοντες, σταθαῖοι μαχηταὶ καὶ μὴ φύξηλοι.

Στίχ: 458. . . . . ΑΡΚΑΔΙΗΣ ΓΕΝΕΘΛΗ . . . . ΕΤΡΟΥΣΚΟΙ. Οἱ μὲν, οἱ περὶ Πάλλαντα ὑπῆρχον: οἱ δὲ οἱ περὶ Τάρχωνα.

Στίχ: 459. Χ' ΥΜΜΕΣ Δ' κτ: Οἱ περὶ Αἰνείαν.

Στίχ:

Lumina volvit, obitque truci procul omnia viſu.
Talibus & dictis it contra dicta tyranni:
Aut ſpoliis ego jam raptis laudabor opimis,
Aut letho inſigni: ſorti pater æquus utrique eſt.
Tolle minas. Fatus medium procedit in æquor:
Frigidus Arcadibus coït in præcordia ſanguis.
Deſiluit Turnus bijugis; pedes apparat ire
Comminus, utque leo, ſpeculâ cum vidit ab altâ
Stare procul campis meditantem prælia taurum,
Advolat; haud alia eſt Turni venientis imago.
Hunc ubi contiguum miſſæ fore credidit haſtæ,
Ire prior Pallas, ſi quà fors adjuvet auſum
Viribus imparibus; magnumque ita ad æthera fatur.
Per patris hoſpitium, & menſas quas advena adiſti,
Te precor, Alcide, cœptis ingentibus adſis.
Cernat ſemineci ſibi me rapere arma cruenta,
Victoremque ferant morientia lumina Turni.
Audiit Alcides juvenem, magnumque ſub imo
Corde premit gemitum, lacrymaſque effudit inanes.
Tum genitor natum dictis affatur amicis:
STAT SVA cuique dies: breve & irreparabile tempus
Omnibus eſt vitæ; ſed famam extendere factis,
Hoc virtutis opus. Trojæ ſub mœnibus altis
Tot gnati cecidêre Deûm: qnin occidit unà
Sarpedon, mea progenies: et jam ſua Turnum
Fata vocant, metaſque dati pervenit ad ævi.
Sic ait, atque oculos Rutulorum rejicit arvis.
At Pallas magnis emittit viribus haſtam,

Vagi-

❀ ❀ ❀

Στίχ. 465. . . . . ΤΟΙ῎Ν Δ᾽ ᾽ΑΛΛ᾽ ᾽ΗΝΗ΄ΝΑΤΟ ΔΑΙ΄ΜΩΝ κτ: Τατὶ κἠ ῞Ομηρος περὶ πολλῶν ἀπεφθέγξατο· οἷον περὶ τῦ τῶν Λυκίων λόχε, Ἰλ: Ζ στίχ. 189.

„ —— Τοὶ δ᾽ ἔτι πάλιν ὅικονδε νέοντο.

Καὶ περὶ τῶν ἱῶν Μέροπος τῦ Περκωσίε, Ἰλ: Λ στίχ. 332.

„ —— Κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.

Καὶ περὶ Τρτακίδε, Ἰλ: Μ. στίχ. 114.

Ἄκρων, ἐκ Κορύτης ἀρχαίης Γραῖος ἔσκε,
Παῤγεγονὼς δραπέτης ὑμεναίων ἐξ ἀτελέστων·
Τὸν δ' ὡς τῆλ' ἐνόησ' ἀλαπάζοντα ῥίχας ἀνδρῶν,
Πορφύρεον λοφίοις, μνηστῆς ἀτὰρ ἀγλαΐῃσιν·
Ἔυτε λέων, ὅς ἄπαστος ἐὼν περίεισιν ἐπαύλεις,
(Λιμὸς ἐπεὶ ἄγχει·) ἄμπεν τυχὸν αἶγα ἐσείδῃ
Ἄγριον, ἢ ἔλαφον κεραὸν τινα, ἀντεπικύρσας
Χαίρει, χαίνει τ' ἐυρὺ, κόμας τ' ὀρθοῖ· κατὰ δ' ἴχων
Σπλάγχνα τ' ἐπαγκλίνεται, λύθροισι δὲ χείλεα νίζει·
Τῶς κατὰ δὴ δηΐων πυκνῆς Μεζέντιος ἕλης
Ἐμμεμαὼς ἐπόρεσε, δυσάμμορος ἤριπε δ' Ἄκρων,
Γῆν τε μέλαιναν ἄρασσε πόδεσσιν λάξ καταθνήσκων.
Ἔντεα δ' ἄττ' ἐφόρει κλαθέντα ἐν αἵμασι Φῦρτο.
Μεζέντης δ' Ὀρόδῳ φέυγοντ' ἀκ ἄξιον ἔμμεν
Ὠήθη

❁ ❁ ❁

Στίχ: 758. ΑΚΡΩΝ ΕΚ ΚΟΡΥΤΟΥ κτ: Περὶ τῆς πόλεως ταύτης, ἐν Γ. Αἰν: στίχ. 180. Ὁ δὲ Ἄκρων, Γραικὸς ἦν ἐκ γένους καταβολῆς, ἤδη δ' ἀπὸ Θύσκων ἐσράτευε τοσαύτῃ σιὼ προθυμίᾳ, ὥσε καὶ ἐς ἀρτίως σωέθετο ὑμεναίους ἀτελέστους παραλιπεῖν, ὡς αὐτῷ ἐπεμαρτύρει καὶ τὰ παρὰ τῆς μνησευθείσης κοσμήματα, οἷς κατηγλάϊσο. (κατωτ: στίχ 761.)

Στίχ: 760. ΤΟΝ Δ' ΩΣ ΤΗΣ ΕΝΟΗΣΕΝ ΑΛΑΠΑΖΟΝΤΑ ΣΤΙΧΑΣ ΑΝΔΡΩΝ. Ἰλ: Ε στίχ. 165.

Στίχ: 762 ΕΥΤΕ ΛΕΩΝ. ΟΣ ΑΠΑΣΤΟΣ κτ. Ἰλ: Γ. στίχ. 23.

„Ὡς τε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας.

Στίχ: 769. ΓΗΝ ΤΕ ΜΕΛΑΙΝΑΝ ΑΡΑΣΣΕ ΠΟΔΕΣΣΙΝ ΛΑΞ . . . . .
Ὡσαύτως καὶ Ῥοιτεὺς ἄνωτ: στίχι 430.

„Κύμβαχος, ἡμίπνους, Ῥοιτόλων λάξ κόπτεν ἀρούρας.

Στίχ: 770. ΕΝΤΕΑ . . . . ΚΛΑΣΘΕΝΤΑ . . . Τὸ παρὰ τῷ Ποιητῇ ὧδε Infracta, ἐν ἀντιθέτοις ἐννοίαις λαβεῖν παρέσαι, κατὰ Σέρβιον. καὶ ἤτοι τὰ ὅπλα τεθραυσμένα πάντῃ νοῆσαι, ἢ καὶ ἄθραυσα: Aut nimium fracta, aut re vera infracta. Ἀλλ' εἰ τοῦτο, ἐκ ἄλλως ὑποληπτέον εἰρῆθαι, ἢ διότι ὑδόλως τοῖς ὅπλοις Ἄκρων ἐχρήσατο· τὰ γὰρ ὅπλα ἐν τῇ χρήσει πέφυκε περικλᾶσθαι καὶ θραύεσθαι. Αὐτοὶ μέντοι κατὰ τὴν κοινοτέραν ἐνδοχὴν ἀποδῶναι δεῖν ἔγνωμεν τὰ κλασθέντα, καὶ τοι γε καὶ ἄκλαστα θέσθαι, καὶ τὰ μέτρα ἔτι σωζομένα, ἦν βάδιον. Οὕτω γοιῶ καὶ οἱ Γάλλοι ἀπέδωκαν ἐρμηνεύσαντες: Les armes brisées, καὶ ὁ Ἰταλὸς: El'armi, el petto infranto.

Ora cruor.
Sic ruit in denſos alacer Mezentius hoſtes.
Sternitur infelix Acron, & calcibus atram
Tundit humum expirans, infractaque tela cruentat.
Atque idem fugientem haud eſt dignatus Oroden
Sternere, nec jactâ cæcum dare cuſpide vulnus:
Obvius, adverſoque occurrit, ſeque viro vir
Contulit, haud furto melior, ſed fortibus armis.
Tum ſuper abjectum poſito pede, nixus & haſtâ,
Pars belli haud temnenda, viri, jacet altus Orodes.
Conclamant ſocii, lætum Pæana ſequuti.
Ille autem expirans: Non me, quicunque es, inulto,
Victor, nec longum lætabere: te quoque fata
Proſpectant paria, atque eadem mox arva tenebis.
Ad quem ſubridens miſtâ Mezentius irâ:
Nunc morere; aſt de me Divum pater, atque hominum rex
Viderit. Hoc dicens, eduxit corpore telum.
Olli dura quies oculos, & ferreus urget
Somnus; in æternam clauduntur lumina noctem.
Cædicus Alcathoum obtruncat, Sacrator Hydaſpen,

Parthe-

❁ ❁ ❁

Στίχ: 772. . . . . ΕΠΟΙΣΤΕΎΣΑΣ ΑΛΛΟΝ ΠΕΡ. Ἐπινοητέον βέλος ἀλαὸν, ἢ τρῶμα· οὕτω γὰρ ὁ Ποιητὴς χαίρει καλῶν: Cæcum vulnus, τὸ κρύφιον, καὶ τῷ τιτρωσκομένῳ, ὅθεν ἦκεν, ἀγνοούμενον, ὡς ὀραθῆναι μὴ φθάσαν· καθάπερ ἔων ὁ αὐτὸς, καὶ B. Λὶν: στίχ. 453. Cæcas fores ὠνόμασε τὰς ἐν τῷ Μεσαυλίῳ Πριάμε λανθανέσας πυλίδας, ἃς αὐτοὶ (θύρας κρυφίας) ἐκεῖ ἀπεδώκαμεν· στίχ. 485.

Στίχ: 775. . . . ΠΟΎΔ' ΈΟΝ, ΚΑΙ' ΔΟΎΡΟΝ ΈΡΕΙΣΑΣ, Οὕτω καὶ Μενέλαος ἐπὶ Πεισάνδρῳ πεσόντι: Ἰλ: Ν. στίχ: 618.

„. . . . . Λαὰξ ἐν σήθεσι βαίνων,
„Τεύχεά τ' ἐξενάριξε, καὶ εὐχόμενος ἔπος ἤυδα.

Καὶ Ἀχιλλεὺς δὲ Ἀστεροπαίῳ, Ἰλ. Φ. στίχ. 182.

„. . . . . Ἐνὶ σήθεσσιν ὀρέσας,
„Τεύχεά τ' ἐξενάριξε κτ:

Καὶ Ἕκτωρ Πάτροκλον ἀνελὼν, Ἰλ: Π. στίχ. 862.

„. . . . . Δόρυ χάλκεον ἐξ ὠτειλῆς
„Εἴρυσε λαὰξ προσβὰς, τὸν δ' ὕπτιον ὧσ' ἀπὸ δουρὸς.

Στίχ: 776, ΚΕΙΤΑΙ . . . , ΠΟΛΕΜΟΙΟ ΤΟ' ΦΕΡΤΑΤΟΝ, ... ΟΡΩΔΗΣ. Τὸν Ὀρώδιν εἰσὶν οἱ ἀπὸ τῆ ὄρες ἐτυμολογῆσι διὰ τὸ πελώριον τῆ ἀναξήματος, ὅιον βενώδη τινὰ τυγχάνοντα. Καὶ ὁ Μάρων δὲ, Altus Orodes εἰπὼν (αἰπύς τε μέγας τε)τλὼ ἐτυμολογίαν ἐπιβεβαιῶν δοκεῖ τῆ ὀνόματος· τῷ δὲ, ἢ παρὰ τὸ μέγεθος τῆς ἀναθρομῆς, καὶ τὸ ἀπὸ τῆς εὐψυχίας ἔτι προσίθησι μεγαλεῖον, ἡ Μεζέντε ἐπιφώνησις τῆ καταβαλόντος: (Κεῖται, πολέμοιο τό φέρτατον.) ἤτοι ὁ ἐν τοῖς πολεμίοις κράτιςος ἤδη πέπτωκε· προσέτι δὲ, καὶ ὁ τῶν Μεζέντε Παιανισμὸς ἑταίρων, διαφέρεσάντινα τιλὼ περὶ τῆς τῆ ἀνδρὸς ἀρετῆς μαρτυρεῖ γενομένῳ ὑπόληψιν. Ἀλλὰ πῶς γὰρ τὸν τοιῆτον τε ἢ τηλικῆτον, ὁ Ποιητὴς ἡμῖν ἀνωτέρω (στίχ. 771) παρέδειξε φεύγοντα; ἢ, ὅτι φεύγει καὶ ὁ ἀγαθὸς ἐνίοτε τὸν ἀμείνονα, ὡς ἢ Ἕκτωρ Ἀχιλλέα, καθ' Ὅμηρον. Ἰλ: Χ. 158.

„Πρόσθε μὲν ἐθλὸς ἔφευγε, διώκε δέμιν μέγ' ἀμείνων.

Στίχ:

Ὠήθη βαλέειν ἐποϊξεύσας ἀλαὸν περ·
Τῶτοι ῥ' ἀντιβίῃ οἱ ἐπέσῃ· ἀνέρι δ' ἀνὴρ
Κρίνετο· ἀκὶ δόλῳ ηρείσσων, ἀλκῇ δὲ καὶ ὅπλοις·
Εἶτ' ἐπ' ἐρειριπότος πόδ' ἐὸν, καὶ δέρον ἐρείσας,
Κᾶτα, ἔφη, πολέμοιο τὸ Φέρτατον, ὦνδρες, Ὁρώδης·
Αὐτὰρ ἐπὶ ηράξαν Φαιδρὸν Παιήον' ἑταῖροι.
Κεῖνος δ' ἐκπνείων· οὐ θἰῶ, ὅστις περ ἔοις κεν,
Οὐδ' αὐτός δηρόντι χαρήσῃ. ἄγχι δὲ καὶ σοι
Μοῖραι ὁμῶς πάρα· τιὼδ' ἐξῆς καὶ σὺ χθόνα μάρψεις.
Τῷ δ' ἅμα μειδιόων Μεζέντης, χωόμενός τε·
Τέθναθι· ἀμφὶ δ' ἐμοί γε πατὴρ ἀνδρῶν τε Θεῶντε
Ὄψεται. ὣς δ' εἰπὼν, ἐκ σώματος ἄρυσεν ἔγχος,

R 2 Αἶψα

❁ ❁ ❁

Στίχ: 782. ΤΕΘΝΑΘΙ ΑΜΦΙ Δ' ΕΜΟΙ ΓΕ κτ: Τοιαῦτα καὶ τὰ Ἀχιλλέως πρὸς Ἕκτορα. Ἰλ: Χ. στίχ. 365.

„Τέθναθι κἤρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
„Ζεὺς ἐθέλῃ τελέσαι, ἠδ' ἀθάνατοι Θεοὶ ἄλλοι.

Ἐφ' οἷς Μακρόβιος μὲν (Βιβλ: Ε. Κεφ: ΙΒ.) ἐπίσης ἄμφω τὼ Ποιητὰ ἐυδοκιμηκέναι φησὶν, ὁ δὲ Σκαλίγερος, παριδὼν ὅτι Ὁμηρικὸς ἅπας ὁ τρόπος, τὸν Μάρωνα παρευδοκιμῆσαι καὶνταῦθα δεῖξαι φιλονεικεῖ. (Βιβλ: Ε. Κεφ: Γ.) τίνι ποτὲ λόγῳ; ὅτι Μεζέντης μὲν Ὀρώδῃ, πρὶν ἢ θάνῃ, φησὶν, ἔτως ἰῷ ἐπεμβαίνων, ὡς δῆλον ἐκ τῆ χρονικῆ ἐπιρρήματος (νῦν) ὃ προσέθετο. Nunc morere τὸν δ' Ἕκτορα καὶ τεθνειῶτα προσηύδα δῖος Ἀχιλλεύς. (Ἰλ: Χ. στίχ. 364.) πως ἂν εἶχε λόγον, τῷ θανόντι, τέθναθι εἰπεῖν; Ἀλλ' ἐπιεικῶς φατριάζων ἐν ταῖς περὶ τοῦν Ποιητοῦν ἀνακρίσεσιν αὐτῆ ὁ γενιάδας Σκαλίγερος ἐξῆ πρόδηλος. Ἢ γὰρ, ἐχὶ ῥᾴδιον ἰῷ σωιδεῖν, ὅτι καὶ πεσόντι αὐτίκα καὶ ὀλιγοδρανέοντι, καὶ ὑπὲρ ψυχῆς λισσομένῳ, (Λυτ. στιχ. 336.) τῆτ' αὐτο τὸ τέθναθι) δῖος Ἀχιλλεὺς εἰρήκει τῷ Ἕκτορι; ὅτε ἤδη καταθνήσκων προσέφη: (στίχ. 355.)

„Ἦ σ' εὖ γιγνώσκων προτιόσσομαι, ἠδ' ἄρ' ἔμελλον
„Πείσειν, ἢ γὰρ σοί γε σιδήρεος ἔνδοθι θυμὸς κτ:

Καὶ εἶον ἐπαπειλῶν τῷ καταβαλόντι, καὶ ἰῷ περ καὶ αὐτὸς ἐξῆς τίσειν δίκιω ἐπὶ τῇ ἀπονοίᾳ προειπὼν ἀπιώτησε; (στίχ. 358.)

„Φράζεο νῦν, μήτοι τι Θεῶν μήνιμα γένωμαι
„Ἥματι τῷ κτ: . . . . . .

Τῆτο δὲ σαφῶς ἐμφαίνει καὶ ὁ ἐχ αὖτως προσεθεὶς ὑπὸ τῆ Ποιητῆ σωίδεσμος (ΚΑΙ) στίχ. 894.

„Τὸν ΚΑΙ τεθνειῶτα προσηύδα δῖος Ἀχιλλεύς.

Ἐξ οὗ σωάγεται, ὅτι ἄρα καὶ πρότερον θνήσκοντα· ὡς τὸ (τέθναθι) ἐπαναληφθὲν μηδὲν ἕτερον ἐπισημαίνειν, ἢ τιὼ ἐπὶ τῇ προλαβόσῃ προθέσει τε καὶ πράξει ἐπιμονιὼ τῆ ἀνελείῳος καὶ ἐπευδόκησιν. Ἅλως τε, ἠδ' ἐπὶ ἐνεῶτος μόνον, ἢ μέλλοντος, ἀλλὰ καὶ πρὸς τὸ παρωχημένον ἐκτείνεται ἡ τῆ ῥήματος ὧδε δυάμις: τὸ γὰρ (τέθναθι) ἰσοδυάμειν ἐξὶ καὶ τῷ (ἐσο τεθνηκώς), ὡς δῆλον ἐξ αὐτῆ Ὁμηρε ἐν ἄλλοις, τῆ τιὼ Ἑλλιωα φωνιὼ ἠκριβωκότος πάντως ὑπὲρ Σκαλίγερον· καὶ ἐν μὲν τῷ Ο. τῆς Ἰλ. στίχ. 494. ἐκφρασαμένε:

„ . . . . . Ὅς δέκεν ὑμέων
„Βλήμενος, ἠὲ τυπεὶς, θάνατον καὶ πότμον ἐπίσπῃ,
„Τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
„Τεθνάμεν . . . . . .

Ἐν δὲ P. στίχ 404 . . . . Τό μιν ἔποτε ἤλπετο θυμῷ
„Τεθνάμεν, ἀλλὰ ζωὸν, ἐνιχριμφθέντα πύλῃσιν,
„Ἀψ ἀπονοσήσειν . . . . . .

Καὶ

Partheniumque Rapo, & prædurum viribus Orſen:
Meſſapus Cloniumque, Lycaoniumque Ericeten:
Illum, infrænis equi lapſu tellure jacentem;
Hunc peditem pedes. Et Lycius proceſſerat Agis:
Quem tamen haud expers Valerus virtutis avitæ
Dejicit; Authronium Salius, Saliumque Nealces,
Inſignis jaculo, & longe fallente ſagittâ.
Jam gravis æquabat luctus, & mutua Mavors
Funera: cedebant pariter, pariterque ruebant
Victores victique, neque his fuga nota, nec illis.
Dî Jovis in tectis iram miſerantur inanem
Amborum, & tantos mortalibus eſſe labores.
Hinc Venus, hinc contra ſpectat Saturnia Juno.
Pallida Tiſiphone media inter millia ſævit.
At vero ingentem quatiens Mezentius haſtam
Turbidus ingreditur campo: quam magnus Orion,
Cum pedes incedit medii per maxima Nerei
Stagna; viam ſcindens, humero ſupereminet undas,
Aut ſummis referens annoſam montibus ornum;
Ingrediturque ſolo, & caput inter nubila condit.
Talis ſe vaſtis infert Mezentius armis.

Huic

❁ ❁ ❁

Καὶ Τ. στίχ. 334.

„Ἤδη γὰρ Πηλῆα γ' ὀΐομαι ἢ κατὰ πάμπαν
„Τεθνάμεν.

Ὡς ἄρισα σεσημείωται καὶ Σαμεὴλ Κλαρκ. Ἰλ: Χ. 365. Πρόσθες δ' ἐν τούτοις καὶ τὸ παρὰ Καλαβρῷ, Εὐρυπύλε πρὸς Νηρέα, Παραλειπ. ε'. στίχ. 385.

„Κεῖσο νιῶ ἐν κονίῃσιν . . . . . .

Καὶ τὸ τῷ αὐτῷ δὲ Εὐρυπύλε πρὸς Μαχάωνα, Αὐτ: στίχ. 429. ὃ καὶ ἀκριβέστερον ἐστὶ τῷ Ὁμηρικῷ τύπῳ ἐχόμενον:

„Τὸν δὲ καὶ ἐκὲτ' ἐόντα προσηύδα κύδιμος ἀνὴρ·
„Νιῶ μὲν δὴ σὺ κεῖσο κατὰ χθονὸς· αὐτὰρ ἔγωγε
„Ὕστερον, ἐκ ἀλέγω, καὶ εἰ παρὰ ποσσὶν ὄλεθρος
Σήμερον, ἡμετέροισι πέλει λυγρὸς . . . . .

Στίχ: 784. . . . . ΧΑΛΚΕΟΣ ΤΥΠΟΣ, Ferreus, παρὰ Μάρωνι (σιδήρεος) ὁ παρ' Ὁμήρῳ χάλκεος· τοιοῦτος δ' ἔμπης ὁ τῷ θανάτῳ, διὰ τὴν παντελῆ προσείρηται, ἴσως ἐπάγει, ἀναισθησίαν· τί δ' ἐχὶ καὶ ἰδιαίτερον ἄντις, τὸν ὕπνον ἕως ὧδε προσειρῆσθαι φήσειε, τὸν ἐν πολέμοις ἐπιόντα, ὡς διὰ χαλκῆ, ἢ σιδήρᾳ ἐπιφερόμενον;

Στίχ: 786 — 793. ΚΑΪΔΙΚΟΣ ΑΛΚΑΘΟΟΝ κτ: Δυσδιάκριτα, φασὶ, τῶν ἐνταῦθα ὀνομάτων, ἃ Ῥοτόλων ἐστὶ, καὶ ἃ Τρώων· Ἄλλοι δὲ τούτων γνώμονα τιθέασι τὸν ἐκ τῆς Διαλέκτου· Λατινικὰ μὲν γὰρ εἶναι τὰ Ῥοτόλων, Ἑλληνικὰ δὲ τὰ Τεύκρων· ὥστε Ἀλκάθοος, καὶ Ὑδάσπης, καὶ Παρθένιος, καὶ Ὄρσης, καὶ Κλόνιος, καὶ Λυκαώνιος ὁ Ἐρικήτης, καὶ ὁ Λύκιος Ἄγις, καὶ Αὐθρόνιος, καὶ Νεάλκης, Τεύκρων ἡμῖν ἔσονται, κατὰ τούτους· Καΐδικος δὲ, καὶ Σακράτωρ, καὶ Ῥάπων, καὶ Μέσσαπος, καὶ Ὀυαλέρος, καὶ Σάλιος, Ῥοτόλοι.

Στίχ: 799. ΕΝΘ' ΑΦΡΟΔΙΤΗ, ΕΝΘΑ ΔΕ' . . . . ΗΡΗ· Ἡ μὲν Τρώων, ἡ δὲ ὑπὲρ Ῥοτόλων ἱσαμένη.

Στίχ:

Αἶψα δ' ἐπιβρίσας ἑ δαμάσσατο χάλκεος ὕπνος,
Ὅσσε δ' ἔο βλεφάροισιν ἔδυ κατ' ἀτέρμονα νύκτα.
Καύδικος Ἀλκάθοον, Σακράτωρ πέφνε δ' Ὑδάσπιν,
Παρθένιον τε Ῥάπωνα, ἠδ' ἔξοχα ἄλκιμον Ὄρσιλον.
Καὶ Κλόνιον Μέσαπος, Λυκαώνιον αὖτ' Ἐρικήτιν.
Κεῖνον ἔραζε μὲν ἐξ ἵππων πεσόντ' ἀχαλίνω,
Τὸν δέ γε πεζὸν πεζὸς Ἀτὰρ προθέοντά τε Ἄγιν,
Ὀυαλέρος Λύκιον, προγόνοις ὄφθιμος ἀπέκτα.
Καὶ μιὼ Αὐθρόνιον Σάλιος, Σάλιον δὲ Νεαλκής,
Ἔξοχος ὢν βέλεσιν, καὶ οἴξοΐς τῆλ' ἀπροόπτοις.
Καὶ ῥ' ἀνδροκτασίας νέμεν ἴσας ὄμβριμος Ἄρης,
Πέφνον ἐπεὶ ἑκάτερθεν ὁμοίως, ἠδέ τε πίπτον.
Κρείσσων δ', ὀδ' ἦσσων, ὀδείς περ μνώετο φύζης.
Ὤκτειρον δὲ χόλον φρεσὶν θεοὶ οὐρανίωνες,
Ἀμφοτέρων, ὅτι ῥὰ θνητοὶ τόσα λυγρὰ τετλᾶσιν.
Ἔνθ' Ἀφροδίτη, ἔνθα δὲ ἀντία δέρκετο Ἥρη·
Τισιφόνη δ' ὠχρῶσ', ἐνὶ χιλιάδεσσι χάλεπτο.
Τόφρα δὲ Μεζέντης πάλλων δολιχόσκιον ἔγχος,
Βαῖνε καταθρῴων στρατὸν, ὥς μέγας εὖτε Ὠρίων,
Πεζὸς ὁδὸν τέμνων διὰ Νηρῆος λιμνάων,
Εὐρυπόρων βάσκει, ὑπερῴμιος ἐξαναδύς γε.
Ἠὲ φέρων μελίην ἀπὸ ὄρεος πτελυετῆα,
Γῆς ἐπιβαίνων εἶσι, καὶ ῥ' ἠ δὲ νεφέσι κεύθει.
Τοῖος Μεζέντης ἐνὶ τεύχεσιν ἦκε πελώροις.
Ἄντιῳ δ' Αἰνείας σκοπέων μακρὰς κατὰ εἴλας,
Ὥρνυτο χωρεῖν, τὸν δ' ἀτρέσσως μίμνεν ἐκεῖνος,
Δέγμενος ἀντίβιον δ' ἐυῴρα, ἔμπεδος ἔσῃ.
Χῶρον ἐς ἐγχείῃ μετρήσας δ' ἄρχιον ὄψει·

Δεξι-

❋ ❋ ❋

Στίχ: 800. ΤΙΣΙΦΟΝΗ Δ' ΩΧΡΩΣ' . . . . . Κοινῇ κατ' ἀμφοτέρων τῶν παρατάξεων· ἔσι δ' ἡ μία τῶν Ἐριννύων ἡ Τισιφόνη. Ὅρα Δ. Γεωργ. στίχ. 315. Σημ.)

Στίχ: 802—806. . . . . ΩΣ ΜΕΓΑΣ ΕΥΤΕ ΟΡΙΩΝ, Περὶ Ὠρίωνος εἴρηται, Α. Αἰν στίχ. 579. Διὰ δὴ τέτε νῦν ὁ Μάρων γιγαντιῶντα τὸν Μεζέντιν ἡμῖν παρίστησιν, ὡς ἂν γιγαντολέτιν ἄντικρυς Αἰνείαν ἐξῆς ἀναδέξῃ τὸν αὐτὸν Ἥρωα.

Στιχ: 803. . . . . ΔΙΑ' ΝΗΡΗΟΣ ΛΙΜΝΑΩΝ, Διὰ τῶν θαλασσῶν· ὅτι γὰρ λίμνην Ὅμηρος εἴωθεν ὀνομάζειν τινὰ θάλασσαν, καὶ τὸν Ὠκεανὸν αὐτὸν, δῆλον ἐκ τε ἐν Ἰλ: Τ. στίχ. 1,

„Ἠὼς μὲν κροκόπεπλος ἐπ' ὠκεανοῖο ῥοάων
„Ὤρνυθ' . . . . . .

Καὶ ἐκ τε Γ. Ὀδυσ: στίχ. 1. ὁμοίως:

„Ἠέλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην.

Ὅπερ δὴ ἔπος ὁ ἡμέτερος ἐκλατινίσας πεφιλοτίμηται ἐπὶ λέξεως, ἐν τῷ Δ. τῆς Αἰν: στίχ. 129.

Oceanum interea surgens Aurora reliquit.

Περὶ δὲ τε Νηρέως, ὅρα Αἰν: Β. στίχ. 445.

Στίχ: 811. ΧΩΡΟΝ ΕΣ ΕΓΧΕΙΗΝ ΜΕΤΡΗΣΑΣ· Δι' ὄψεος εἰκάσας τὸ μέτρον. Ὡς Ἰλ. Ο. στίχ. 358.

„ . . . . . ὅσον τ' ἐπὶ δουρὸς ἐρωή.

Huic contra Æneas, ſpeculatus in agmine longo,
Obvius ire parat: manet imperterritus ille,
Hoſtem magnanimum opperiens, & mole ſuâ ſtat:
Atque oculis ſpatium emenſus, quantum ſatis haſtæ;
Dextra mihi Deus, & telum quod miſſile libro,
Nunc adſint: voveo prædonis corpore raptis
Indutum ſpoliis, ipſum te, Lauſe, tropæum
Æneæ: dixit, ſtridentemque eminus haſtam
Jecit: at illa volans clypeo eſt excuſſa; proculque
Egregium Anthorem latus inter & ilia figit:
Herculis Anthorem comitem qui miſſus ab Argis,
Hæſerat Euandro, atque Italâ conſederat urbe.
Sternitur infelix alieno vulnere, cœlumque
Aſpicit, & dulces moriens reminiſcitur Argos.
Tum pius Æneas haſtam jacit: illa per orbem
Ære cavum triplici, per linea terga, tribuſque
Tranſiit intextum tauris opus, imaque ſedit
Inguine: ſed vires haud pertulit. Ocius enſem
Æneas, viſo Tyrrheni ſanguine, lætus
Eripit a femore, & trepidanti fervidus inſtat.
Ingemuit chari graviter genitoris amore,
Ut vidit, Lauſus, lacrymæque per ora volutæ.
Hîc morîs duræ caſum, tuaque optima facta,

Si qua

* * *

„Γίγνεται . . . . . .

Καὶ Ἰλ: Π. στίχ. 589.

„Ὅσσοι δ' αἰγανέης βριπὴ ταναοῖο τέτυκται, κτ:

Στίχ: 813. ΑΝΤΙ ΘΕΟΙΟ ΜΟΙ ΩΔΕ ΠΑΡΕΣΤΩΝ . . . , Ὅραμοι τῶν Μαζέντε ἀθέατον περὶ ἕ Αἰν: Η. στίχ. 501. Τοιαῦτα δὲ, τοῖς ὧδε τῶ Μεζέντε παραπλήσια, καὶ παῤ Ἀπολλωνίῳ ἐν τοῖς Ἀργοναυτ: Βιβλ: Δ. στίχ. 466. Ἴδας ἀφραίνων ἐλήρησεν.

„Ἴσω νῦν δέρυ θέρον, ὅτῳ περιώσιον ἄλλων
„Κῦδος ἐνὶ πτολέμοισιν ἀείρομαι, ὐδὲ μ' ὀφέλλει
„Ζεὺς τόσσον, ὁσσάτιόν περ ἐμὸν δέρυ, μὴ νύτι πῆμα
„Λοίγιον ἔσσεθαι, μηδ' ἀκράαντον ἄεθλον
„Ἰδεῶ ἑπομένοιο, καὶ εἰ Θεὸς ἀντίόωτο.

Στίχ: 815. . . . . ΤΡΟΠΑΙΟΝ. Τὸ μὲν Τροπαῖον ἀπὸ τῆς τῶν πολεμίων ἔρηται τροπῆς· ὁ δὲ Θρίαμβος, ἐπὶ τῆς μετὰ θρῦ ἐπὶ τῇ νίκῃ ἀναβοήσεως, καὶ τῶ ἀλαλαγμῶ τῶν στρατευομένων, ἐν πομπικαῖς πρόοδοις παιανιζόντων.

Στίχ: 818 ΑΝΤΩΝΟΣ Δ' ΕΠΑΤΗ . . . . Οἱ δ' ἄλλως ἀναγινώσκουσιν Ἄνθωρος. Ἄντων δὲ εἰς Ἡρακλῆν ἀνῆγε τὸ γένος, ἐξ οὗ καὶ ὁ παρὰ Ῥωμαίοις ἐπίσημος οἶκος, φασὶν, ὁ τῶν Ἀντωνίων. Ὁπότερον ἀλλ' οὖν καὶ θείης τῶν ὀνομάτων, τὰ ἔπη ἔρρωται

Στίχ: 821 ΤΡΩΜΑΤΙ ΑΛΛΟΤΡΙΩΙ κτ: Σωιέβη γὰρ τῷ Ἄντωνι, ἢ Ἄνθωρι ἰέτῳ, ὅπερ καὶ Λεύκῳ παῤ Ὁμήρῳ, Ἰλ. Δ. στίχ. 489, ἔνθα τὸν Λῖανται λιτυσκόμενος,

„ . . . . . Ἄντιφος αἰολοθώρηξ
„Περιαμίδης καθ' ὅμιλον ἀκόντισεν ὀξέϊ δουρὶ.
„Τὸ μὲν ἐξάμαρθ' ὁ δὲ Λεῦκον Ὀδυσσέος ἐθλὸν ἑταῖρον
„Βεβλήκει βεβαῶτα . . . . . :

Καὶ

Δεξιτερή τε, βέλος τε, τὸ τῇ δε ἐγὼν ἀναπάλλω,
Ἀντὶ Θεοῖο μοι ὧδε παρέξων· ἐκ δ' ὀσιῦμαι
Εἶναρα λῃϊῆρος ἀπ' Αἰνείᾳ ἆθ' ἕλωμαι,
Εἵμενον αὐτόν σε ϛῆσαθαι, Λαῦσε, τροπαῖον.
Ὣς φάτο, τηλόθεν ἠδ' ἔγχος προϊήλατο λίγξαν,
Ὀξὺ τὸ δ' ἱπτάμενον προτὶ ἀσπίδος ἀνταπεκρύθη.
Ἄντωνος δ' ἐπάγη μέσσον πλευρῆ τ' ἰλεῦτε.
Ἄντων Ἡρακλῆος ἔην δ' ὀπέων, ὅς ἀπ' Ἄργυς
Παῤ μὲν γ' Ἐυάνδρῳ μένεν, Ἰταλὸν Ἄξυ δὲ ναῖεν.
Τρώματι ἀλλοτρίῳ δ' ὁ πεσὼν, εἰς ὐρανὸν οἰκτρὸς
Ἄμβλεψε θνήσκων, γλυκερῆ δ' ἐμνήσατο Ἄργυς.
Τόφρα δ' ἰὸ Αἰνείας προΐει δολιχόσκιον ἔγχος·
Καὶ διὰ μὲν ῥὰ σάκος χαλκῷ κοίλῳ τριδύμοιο,
Δέρῤῥης τε τριπλοῖο λινοσκεπέος Ταυρείω,
Ἐλθὸν νειαίρῳ κατὰ γαϛέρα ἠρείρϊϛο,
Οὐμῷ δ' ἄῤ μένος ἀνδρὸς ἀπηύρα. Ὡς δ' ἴδεν αἷμα
Τυῤῥίωῖ, γήθων Αἰνείας, ὦκα μάλ' ἄορ
Παῤ μηρῆ πάσατο, φλογόεις τρομέοντι δ' ἐπέϛη.
Δεινὸν ἐπεϛονάχησε Φίλῳ δ' ἐφ' ἑῷ γενετῆϊ,
Λαῦσος ἐπεὶ ῥὰ νόησεν, ἀπ' ὄσσοιν λεῖβε δὲ δάκρυ.
Ὦδ' ἀλλ' αἰνὸν σεῦ πότμον, μεγα τ' ἔξοχον ἔργον,

S 2 (Εἴτῳ

❋ ❋ ❋

Καὶ ὁ τῷ Ὑψιώρει, Ἰλ: Ν. 411. Ὅτε τὸ ὑπὸ Δηϊφόβῳ κατὰ Ἰδομενέως ἀφεθὲν ἔγχος, τῆς τέτε ἀσπίδος ἀποκρυθέν,

„ —— Ἔβαλ' Ἱππασίδιω Ὑψιώρεα ποιμένα λαῶν
„Ἦπαρ ὑπο πραπίδων, εἶθαρ δ' ὑπὸ γένυθ' ἕλυσεν.

Ἐνθεντοι καὶ ἀλλότριον εἰκότως ὁ Μάρων εἶπε τὸ τρῶμα, τό γαὲ πρὸς Αἰνείαν ἐυθυωθὲν ἔγχος κατέβαλεν Ἄντωνα.

Στίχ: 823 ΤΟΦΡΑ Δ' ΙΔ' ΑΙΝΕΙΑΣ κτ: . . . . Ἀκέσεις τὸν Ὅμηρον Ἰλ: Γ. στίχ. 355.

„Ἦ ῥὰ, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
„Καὶ βάλε Πριαμίδαν κατ' ἀσπίδα πάντοσε ἴσην,
„Διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄμβριμον ἔγχος,
„Καὶ διὰ θώρηκος πολυδαιδάλε ἠρείρϊϛο,
„Ἀντικρυ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα.
„Ἔγχος. . . . . .

Στίχ: 825 ΔΕΡΡΟΥΣ . . . ΛΙΝΟΣΚΕΠΕΟΣ . . . . Λινοῖς δ' ὑφάσμασιν ἐσκέποντο τοῖς παλαιοῖς τὰ σάκη, ἐφ' οἷς εἰκόνες ἔχοιεν ἐπιγράφεσθαι, ἅσπερ ἕκαϛος προηρεῖτο, σύμβολον ἑαυτῷ προφαίνειν καὶ γνώρισμα.

Στίχ: 832. Ὦδ' ΑΛΛ' ΑΙΝΟΝ ΣΕΥ ΠΟΤΜΟΝ κτ: Δι' ἐπιϛροφῆς χηματίσας ὁ Ποιητὴς τὸν Λαύσε ἔπαινον, προσεκτικωτέρως ἐποίησε τὺς ἀκέοντας, πρὸς τὸ τῷ νέῳ κατόρθωμα· ἐξῆρε δ' ἔτι τιὼ πράξιν, καὶ ἐξῆς παρενθέμενος, ὡς παράδοξον:

„ Εἴτω πιϛάγε ταῦτα. πάρος θρυλλέμενα δόξει.)

Ἀλλὰ τὶ τὸ καινὸν, ἐρεῖς, εἰ τιω ψυχιὼ, ὑὸς ὢν παρεβάλετο ὑπὲρ τῆ γεννήσαντος; πολλὰ γὲν πάλαι τοιαῦτα ἡ ἱϛορία παρέδωκεν, ἐν οἷς καὶ τὸ τῆ Ἀντιλόχῳ τῆ Νέϛορος. (Πίνδ Πυθ. ὠδ: ϛ'.)

„ . . . . . ὃς ὑπερέθυτο,
„Πατρὸς, ἐναρίμβροτον ἀμμεὶ ——
„νας ϛράταρχον Αἰθιόπων Μέμνονα . . . .

Περὶ

(Si qua fidem tanto eſt operi latura vetuſtas,)
Non equidem, nec te, juuenis memorande, ſilebo.
Ille pedem referens, & inutilis, inque ligatus
Cedebat, clypeoque inimicum haſtile trahebat.
Proripuit juvenis, ſeſeque immiſcuit armis:
Jamque aſſurgentis dextræ, plagamque ferentis
Æneæ ſubiit mucronem, ipſumque morando
Suſtinuit: ſocii magno clamore ſequuntur,
Dum genitor nati parmâ protectus abiret:
Telaque conjiciunt, proturbantque eminus hoſtem
Miſſilibus: furit Æneas, tectuſque tenet ſe.
Ac velut effuſâ ſi quando grandine nimbi
Præcipitant, omnis campis diffugit arator;
Omnis & agricola, & tutâ latet arce viator,
Aut amnis ripis, aut alti fornice ſaxi,
Dum pluit in terris: ut poſſint, ſole reducto,
Exercere diem; ſic obrutus undique telis
Æneas nubem belli, dum detonet, omnem
Suſtinet; & Lauſum increpitat, Lauſoque minatur:

Quô

❁ ❁ ❁

Περὶ ἔ ὅρα καὶ Καλαβρὸν Παραλειπ: Β. στίχ. 242. Ἀλλ᾽ ὅτι γὰρ ὑπὲρ πατρὸς τοιῦτο, οἷος ἰῶ Μεζέντης (ἴδε Ζ. Αἰν: στίχ. 606:) θανεῖν εἵλετο Λαῦσος· ἢ μᾶλλον, ὅτι ἐκ τοιούτου ἔφυ τοιοῦτος, τοῦτ᾽ ἐ μάλα τοι πιστὸν εἶναι δόξειε τυχὸν ἰσορέμενον, εἰμήτις ἐκεῖνο ἐνθυμηθείη, ὅτι μητέρες ἐκ ἀεὶ τίκτουσιν ἐοικότα γονεῦσιν.

Στίχ: 835 — 843. ΤΡΩΜ᾽ Ὁ ΜΕ᾽Ν ᾽ΑΛΘΗ᾽ΣΩΝ. κτ: Θαυμαστὴ ἡ εἰκών, πολλὰ κατὰ τὸ αὐτὸ οἷον ὑπ᾽ ὄψεσι τιθεῖσα, χήματά τε καὶ πράγματα· τὶω τοῦ τρωθέντος Μεζεντίε ἐν ἀτονίᾳ καὶ ὀδύνῃ ὑποχώρησιν, τοῦ μόλις ἐκφυγεῖν δυναμένε, καὶ τὸ τρῶσαν δόρυ ἅμα τῷ σάκει σωεπισύροντος· τὶω Αἰνείε δεξιάν, ξιφοφόρον αἰρομένιν ὑπὲρ κεφαλῆς τοῦ ὑποχωροῦντος τραυματίε, καὶ ὅσον ἔπω τὶω πληγὶω κατενέγκασαν· τὶω τοῦ ἱππε Λάυσε εἰσφέρμησιν ἀντιπερισάντος, καὶ τὶω ἐπικατασκήψασαν τοῦ ξίφες προσβολὶω ἐναπείρξαντος, καὶ τὸν τοῦ πατρὸς διώκτιν πρὸς ἑαυτὸν ἐπιστρέψαντος· τὸν τῶν περιεστώτων ἑταίρων ἐπαλαλαγμὸν· τὶω μεταξὺ διαφυγὶω τοῦ ἀποιχομένε εἰκτρῶς ὁπλιτοπάλα, τοῦ νεανίσκε προμαχοῦντος καὶ προαπτίζοντος· τὰς πυκνὰς τῶν Ῥοτόλων πάντοθεν κοντοβολίας τε καὶ ἐπιτοξεύσεις κατὰ Αἰνείε, τῷ σάκει ῥεῤῥῶς ἀπαντώντος, καὶ ἀσεμβῶς κατὰ χώραν μένοντος καὶ ἀτρέπτως. Οὕτως ἐν ὀκταρίθμοις τοῖς ἔπεσι, δαιδάλεόν τινα τὶω εἰκόνα ταύτιω ἡμῖν ὁ Μάρων ὑπέγραψεν, ἰῶ ἐκ ἄμεινον ἐδ᾽ ἀκριβεστέραν, γραφεὺς τὶω τέχνιω ἄριστος, ἐπὶ πίνακος διαγράψειεν.

Στίχ: 836. ΕΙ᾽ΚΩΝ Δ᾽ ΕΙ᾽ΛΕΝ ᾽ΑΜΑ, ΞΥΝ᾽ Τ᾽ ᾽ΑΣΠΙ᾽ΔΙ ΔΗΪ᾽ΟΝ ᾽ΕΓΧΟΣ. Σαρπηδόνα δὲ ὑπὸ Τληπολέμε βεβλημένον, Ἰλ: Ε. στίχ. 663. ὅτοι ἑταῖροι,
„Ἐξέφερον πολέμοιο· βάρυνε δέ μιν δόρυ μακρὸν
„Ἑλκόμενον·

Στίχ: 844. ᾽ΩΣ Δ᾽ ᾽ΟΤΕ ΔΗ᾽ ᾽ΟΜΒΡΟΙ κτ: Παραπλησία ἡ παρὰ τῷ Καλαβρῷ εἰκών, Παραλειπ: Η΄. στίχ. 379.
„Ὡς δ᾽ ὅτε μηλοβοτῆρες ἐνὶ σταθμοῖσι μένωσι
„Λαίλαπα κυανέιν, ὅτε χείματος ἦμαρ ἵκηται
„Λάβρον ὑμῆ σεροπῇσι, καὶ ὕδατι, καὶ νεφέεσσι
„Ταρφέσιν· οἱ δὲ μάλ᾽ ἔτι, λιλαιόμενοίπερ ἰκέσθαι,
„Ἐς νομὸν αἰσσουσιν, ἄχρις μέγα λωφήσειε
„Χεῖμα, καὶ ἐυρύποροι ποταμοὶ μεγάλα βρομέοντες.

Στίχ:

(Εἴτω πιξά γε ταῦτα, πάρος θρυλλύμενα δόξει)
Οὐδ' αὐτὸν σ' αἰζηὲ ἀοίδιμε σῖγα παρέλθω.
Τρῶμ' ὁ μὲν ἀλθήσων, ἀμενιωὸς ἐὼν ὑπεχώρει,
Εἰκὼν εἶλκε δ' ἅμα ξιὼ τ' ἀσπίδι δήϊον ἔγχος.
Ὁρμηθεὶς δ' ὁ νεαξ μεσσηγὺς ἑ μίξατο ὅπλοις·
Δεξιτερὶὼ δ' ἤδη ἐπάραντος, πλήξοντός τε,
Φάσγανον Αἰνείαο ὁ δ' ὑπήλυθεν, ἠδ' ἐπιέχεν,
Ἀντιπεριξὰς· ἀμφὶ δὲ οἱ μεγ' ἄϋσαν ἑταῖροι,
Μέσφ' ὁ τεκὼν προμάχοιο ὑπ' ἀσπίδι χάζετο ἧος·
Οἱ δ' ἐν ἐκηβολίαις ταρφειαῖς δήϊον ὤχλεν.
Μαίμωσσ' Αἰνείας, ὑπὸ δ' ἔν σάκος ἔμπεδος ἔσκεν.
Ὡς δ' ὅτε δὴ ὄμβροι γε χαλαζήεντες λάβροι
Ῥήγνυνται, πᾶς τόφρα δ' ἀροτρεὺς χάζετ' ἀπ' ἀγρῶν,
Πᾶς δέ τε γηπόνος· αἶψα δ' ὑπαὶ σκέπας εἶσιν ὁδίτης,
Ἢ ποταμῦ ὄχθης, ἢ αἰπεινῦ γλάφυ πέτρυ,
Εὖθ' ὑετὸς ῥοθέῃσ', ἐς ὅ κ' ἠελίοιο φανέντος,
Ἤματος ἐργασίῳ τελέσειαν· πάντοθεν ἔτως
Ἔμβροχος Αἰνείας βελέεσσι, νέφος πολέμοιο
Σύμπαν ὑπέτλη, ἔς τ' ἐκβροντῆσαν γε παρέλθοι·
Λαῦσον ὁμοκλήσασκε δὲ, καὶ Λαύσῳ ἠπείλει·
Ποῖ θνήξων ἔρρεις; τὶ δὲ τολμᾷς κρείσσονα σεῖο;
Φῶτος σ' εὐσεβίη ἀπαφίσκει· οὔτι δ' ὁ μεῖον
Ἄλλετο ἔκφρων· εἰς ὅ κεν αἰνότερον χόλος ἀρθεὶς
Ἦφθη Δαρδανίῳ ἀγέτῃ· Μοῖραι δ' ἄρ' Λαύσῳ
Νήματα πρυμνὰ λέγοντο· ἐπεί τοι γ' ὄμβριμον ἄορ
Αἰνείας ἐλάσας, διὰ δὴ μέσσοιο νεᾶνος
Κρύψε διαμπὰξ· καὶ διὰ πέλτιω φάσγανον ὀξὺ
Ἦλθεν ἀπειλητῆρος, ἅπαντά τε ἔντεα κῶφα,

Καὶ

❁ ❁ ❁

Στίχ: 852. ΛΑΥ̓ΣΟΝ ὉΜΟΚΛἨΣΑΣΚΕ . . . . ἩΠΕἸΛΕΙ. Κατοικτείρων τὸν ὑπὲρ τῆ ἰδίᾳ πατρὸς εἰς κίνδυνον ἑαυτὸν παραβάλλοντα νεανίσκον. καὶ ἀπειλὰς προσετίθει, ἵνα τῆς ἐγχειρήσεως ἀποχέσθαι πείσῃ. Ὁ δὲ Μέμνων ἀνάπαλιν Νέσορα τὸν γενέτιω, ὑπὲρ τῆ πτώματος τῆ υἱέος Ἀντιλόχυ (ἔπερ ἀνωτέρω, Σημ: στίχ. 832. ἐμνήθημεν) ἀγωνίσασθαι ἐπιβαλλόμενον ὁμοίως ἀπείργε: παρὰ τῷ Καλαβρῷ Παραλ: Β. στίχ. 308—317.

„Ὦ γέρον, ἤ μοι ἔοικε κατ' ἀντία σεῖο μάχεσθαι·
„ . . . . . .
„Χάζεο, μή σε βάλοιμι, καὶ οὐκ ἐθέλων περ ἀνάγκῃ,
„Μηδὲ τεῷ περὶ παιδὶ πέσῃς, μεγ' ἀμείνονι φωτὶ
„Μαρνάμενος. μή σε καὶ ἄφρονα μυθήσωνται
„Λυκίων· οὐ γὰρ ἔοικεν ὑπερτέρῳ ἀντιάσθαι.

Στίχ: 857. ΝἨΜΑΤΑ ΠΡΥΜΝᾺ ΛἘΓΟΝΤΟ . . . . Τὰ λίνα δηλαδὴ τὰ ἑκατὰ σωθέρυν, μηκέτι περαιτέρω τῆς Κλωθῦς αὐτῷ συνεπικλωσάσης.

Στίχ: 859. ΚΡΥ̓ΨΕ ΔΙΑΜΠᾺΞ. Ἰλ: Π. στίχ. 333. καὶ στίχ. 340. καὶ Ἰλ: Υ. στίχ. 475.

„Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι . . . .
„ —— πᾶν δ' ἔσω ἔδυ ξίφος.

Στίχ: 860. . . . . ἈΠΕΙΛΗΤἨΡΟΣ . . . . Τῷ Αἰνείᾳ μοι νέῳ, ὃς καθάπερ εἴρηται: στίχ. 852.)

„Λαῦσον ὁμοκλήσασκέ τε, καὶ Λαύσῳ ἠπείλει.

Quò morituræ ruis? majoraque viribus audes?
Fallit te incautum pietas tua. Nec minus ille
Exsultat demens. Sævæ jamque altius iræ
Dardanio surgunt ductori; extremaque Lausi
Parcæ fila legunt. Validum namque exigit ensem
Per medium Æneas juvenem, totumque recondit.
Transiit & parmam mucro, levia arma minacis,
Et tunicam, molli matrem quam neverat auro:
Implevitque sinum sanguis, tum vita per auras
Concessit mœsta ad manes, corpusque reliquit.
At vero ut vultum vidit morientis, & ora,
Ora modis Anchisiades pallentia miris,
Ingemuit miserans graviter, dextramque tetendit;
Et mentem patriæ subiit pietatis imago.
Quid tibi nunc, miserande puer, pro laudibus istis?
Quid pius Æneas tantâ dabit indole dignum?
Arma quibus lætatus, habe tua; teque parentum
Manibus, & cineri (si qua est ea cura) remitto.
Hôc tamen infelix miseram solabere mortem;
Æneæ magni dextrâ cadis. Increpat ultro
Cunctantes socios, & terrâ sublevat ipsum,
Sanguine turpantem comptos de more capillos.
Interea genitor Tyberini ad fluminis undam,
Vulnera siccabat lymphis, corpusque levabat
Arboris acclivis trunco: procul ærea ramis
Dependet galea, & prato gravia arma quiescunt.
Stant lecti circum juvenes: ipse æger, anhelans
Colla fovet, fusus propexam in pectore barbam.

Mul-

❀ ❀ ❀

Στίχ: 862. . . . . ΜΕΛΑΝ ΡΥΕΝ ΑΥΤΟΥ ΑΙΜΑ· Οὕτω καὶ τῷ Τρωὸς Ἀλαστορίδᾳ, ὃν Ἀχιλεὺς ἔτησε Φασγάνῳ, Ἰλ: Υ. 470.

„ . . . . . μέλαν αἷμα κατ' αὐτῆς
„Κόλπον ἐνέπλησε, τὸν δὲ σκότος ὄσσε ἐκάλυψε.

Στίχ: 864. ΚΑΡΤΑ ΕΠΑΧΝΥΜΕΝΗ, ΙΘΥΤΙ ΑΙΔΟΣ ΔΕ ΒΕΒΗΚΕΙ. Καὶ Πάτροκλον δὲ ὑπὸ Ἕκτορος πεσόντα, Ἰλ: Π. στίχ. 855.

„ . . . . . τέλος θανάτοιο κάλυψε
„Ψυχὴ δ' ἐκ ῥεθέων πταμένη ἄϊδόσδε βεβήκει
„Ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.

Στίχ: 867. ΑΙΝΟΝ ΑΠΕΣΤΟΝΑΧΗΣ ΟΙΚΤΕΙΡΑΣ, ΧΕΙΡΑ. Τ' ΟΡΕΓΝΥ, Ὡς ἀναμοίβις τὸν τρόπον ὁ Μάρων παρέσησεν Αἰνείαν καὶ Τύργον· ὁποῖος γὰρ οὗτος ἀνωτέρω πρὸς Πάλλαντα ὤφθη τὸν τῆ Εὐάνδρᾳ; (στίχ. 520 — 525.) οἷος δ' ἐνταῦθα Αἰνείας πρὸς Λαῦσον τὸν τῆ Μεζέντι; στίχ. 865—876.

Στίχ: 872. . . . . (ΕΙ ΤΙΣ ΧΑΡΙΣ ΗΔΕ.) . . . . Εἴτε σοὶ τῷ μηκέτι τέτων δεησομένῳ, ὧν περ νῷ ἐγώ σοι χαρίζομαι· εἴτε δὴ καὶ τῷ σὲ τεκόντι, ὅς, εἰς τοσοῦτον δυσσεβείας τε καὶ βαρβαρότητος ἐξοκείλας, θαυμασὸν, εἴτινα καὶ τῶν περὶ σὲ καλῶς γινομένων λόγον ποιήσεται.

Στίχ: 874. ΔΕΞΙΤΕΡΗ ΠΕΣΕΜΕΝ Σ' ΑΙΝΕΙΟΥ . . . . Παρὰ τῷ Ποιητῇ κέται (μεγάλε Αἰνεία) Aeneæ Magni. Ἐπιλαμβάνονται δέ τινες διὰ τέτο, τῆ Μαρωνικῆ Αἰνείᾳ ἐνταῦθα, ὡς μαγαλαύχε τε καὶ ἀλαζόνος· Ἀλλ' ἃ χρὴ, φασὶν ἄλλοι, ἐν κοινοτέροις πήχεσι τὰ τῶν Ἡρώων ἔτ' ἔργα, ἔτ' ἔπη διαμετρεῖν.

Στίχ:

Καί γε χιτῶνα, τὸν οἱ χρυσῷ σωυφιώατο μήτηρ.
Ἴφι δε ϛαμένοιο, μέλαν ῥυὲν αὐτῆ αἷμα,
Κόλπον ἐνιπλῆσε· ψυχὴ δ' ἄρ' σῶμα λιπῆσα,
Κάρτα ἐπαχνυμένη, ἰθυὶ ἄϊδόςδε βεβήκει.
Ἀλλὰ γὰρ, ὡς θνήσκοντος ἐς εἶδος βλέψεν, ἰδ' ὦπα,
Ὤπ', Ἀγχισιάδης, ἐλεεινῶς ὠχριόωντος,
Αἰνὸν ἐπεσονάχησ' οἰκτέιρας, χεῖρα τ' ὀρέγνυ,
Τίεος ἐυσεβίῃ πεμπάζων πρὸς ῥὰ τοκῆα.
Τίπτε σοι, οἰκτρὲ παῖ, ὥς ἐν μοίρᾳ ἐπαίνων ἤδη
Αἰνείας, τὶ τόσης ἀρετῆς πέλον ἄξιον οἴσει;
Τεύχεα ἀλλ' ἔχε, τοῖς τ' ἔπι γάννυσο· καί σε τοκῆων
Χέρεσι, καὶ τέφρῃσ' (εἴτις χάρις ἥδε) μεθήσω.
Ἀλλὰ τό τοι, δύϛοτμε, ἔοι παρμύθιον ὅιον,
Δεξιτερῇ πεσέμεν σ' Αἰνείᾳ· Εἶτα δ' ὁμόκλει
Ὀκνοῦντας γ' ἑτάρους, γαίης μὶν δ' ἐξανάειρεν,
Αἵματι ἀβροκόμιω καλὰς λυθρώδεα χαίτας.
Μέσφα ῥὰ τῆ γενέτης, ποταμῆ παρὰ Θύβριδος ὄχθας,
Τρῶμα ῥεέθροις ῥύπτεν, ἀτὰρ δέμας ἀγκάφιζεν
Ἀγκλινθεὶς κορμῷ δένδρε· ἀγχῆ κλωνός δὲ,
Χαλκῇ ἥπτο κόρυς, γαίης δ' ἐπὶ τεύχεα ἤργει.
Λεκτοὶ δ' αἰζηοὶ πέρι ἔϛαν· ὁ δ' ἀυχένα κάμψεν
Ὡς Ὀλιγηπελέων, ϛέρνων δ' ἐπὶ χεῦτο ὑπήνη.
Πολλὰ δ' ὑπὲρ Λαύσε ἐρέεινεν, πέμπε δὲ πολλὲς
Κέκλεθ', ἐντολίας τ' οἵσειν οἰκτρῆ γενετῆρος.
Ἀλλὰ γ' ἑταῖροι Λαῦσον ἐπ' ἀσπίδος ἔκφερον ἄπνευ,
Τράυματι ἐν μεγάλῳ μεγαλωϛὶ δαμέντα γοῶντες.
Γνῶ δ' ἔκαθεν γόον, ὄφρα κακῆ προεπήθετο ἦτορ·

Τ 2 Καὶ

❁ ❁ ❁

Στιχ: 878. ΤΡΩΣΜΑ ΡΕΕΘΡΟΙΣ ΡΥΠΤΕΝ. ficcabat ἔχει ὁ Μάρων· ὅπερ ἐϛὶν (αὔχμεεν.) ὅτι, fluxus ſanguinis aquarum frigore continetur (Σίρβιος·) τετέϛιν, ἡ Αἱμόῤῥοια τῷ ψύχει τῶν ὑδάτων συνέχεται· Οἱ δὲ Γάλλοι, ὡς καὶ ἡμεῖς: Lavoit la plage· καὶ ὁ Ἰταλὸς ὡσαύτως:

„ . . . . . e la ferita
„Già lavata ne l'onde . . . .

Περιῤῥύπτων ἰῷ τιὼ ἐκ τῆς τρώσεως πληγιὼ ἐν ὕδασιν.

Στίχ: 879. ΑΓΚΛΙΝΘΕΙΣ . . . . Καὶ Σαρπηδόνα δὲ ὑπὸ Τληπολέμε βληθέντα, Ἰλ: Ε. ϛίχ. 692.

„ . . . . . Δῖοι ἑταῖροι
„Εἵϛαν ὑπ' αἰγιόχοιο Διὸς περικαλλέϊ φηγῷ.

Στίχ: 881. ΛΕΚΤΟΙ Δ' ΑΙΖΗΟΙ ΠΕΡΙ ΕΣΤΑΝ. . . . . Ὡς καὶ περὶ Μενέλαον βεβλημένον, Ἰλ: Δ. ϛίχ. 211.

„ — Περὶ δ' αὐτὸν ἀγηγέραθ', ὅσσοι ἄριϛοι
„Κυκλόϑ' . . . . . .

Στίχ: 885. . . . . ΛΑΟΝ ΕΠ' ΑΣΠΙΔΟΣ ΕΚΦΕΡΟΝ . . . . Καθὰ καὶ τὸν Εὐάνδρε Πάλλαντα ἀνωτ: ϛίχ. 536.

Στίχ: 887. . . . . ΚΑΚΟΝ ΠΡΟΕΠΗΘΕΤΟ ΗΤΟΡ. Οὕτω καὶ παρ' Ὁμήρῳ Ἰλ: Σ. ϛίχ. 2.

„Ἀντίλοχος δ' Ἀχιλῆϊ πόδας ταχὺς ἄγγελος ἦλθε·
„Τὸν δ' εὗρε . . . . . .
„Τὰ φρονέοντ' ἀνὰ θυμὸν, ἃ δὴ τετελεσμένα ἦεν.

Στίχ:

Multa ſuper Lauſo rogitat, multoſque remittit.
Qui revocent, mœſtique ferant mandata parentis.
At Lauſum ſocii exanimum ſuper arma ferebant
Flentes ingentem, atque ingenti vulnere victum.
Agnovit longe gemitum præſaga mali mens;
Canitiem immundo deformat pulvere, et ambas
Ad cœlum tendit palmas, & corpore inhæret.
Tantane me tenuit vivendi, nate, voluptas,
Ut pro me hoſtili paterer ſuccedere dextræ,
Quem genui? tua ne hæc genitor per vulnera ſervor,
Morte tuâ vivens? heu nunc miſero mihi demum
Exilium infelix; nunc alte vulnus adactum.
Idem ego, nate, tuum maculavi crimine nomen,
Pulſus ob invidiam ſolio, ſceptriſque paternis.
Debueram patriæ pœnas, odiiſque meorum;
Omnes per mortes animam ſontem ipſe dediſſem.
Nunc vivo! neque adhuc homines, lucemque relinquo!
Sed linquam. Simul hæc dicens, attollit in ægrum
Se femur; &, quanquam vis alto vulnere tardat,
Haud dejectus equum duci jubet; hoc decus illi,
Hoc ſolamen erat: bellis hoc victor abibat

Omni-

❀ ❀ ❀

Στίχ: 888. ΚΑΙ᾽ ΠΟΛΙΗ᾽Ν ΔΕ᾽ ΚΟ᾽ΝΕΙ . . . . . Μέτιθι Φαίθιον, τὰ ἐπὶ τοῖς πένθεσι τῶν παλαιῶν ἐθιμα καταλέγοντα. Βιβλ: Α. Κεφ: ΙΓ καὶ Βιβλ. Γ. Κεφ: ΙΕ. ὅρα δ᾽ ἀντὶ πάντων ἕνα τὸν τῆς Θέτιδος, ὅπως ἐπὶ τῇ τοῦ φιλτάτου Πατρόκλου διετέθη ἀναιρέσει, Ἀντιλόχου ἀπαγγείλαντος, Ἰλ: Σ. στίχ. 22.

„ —— Τὸν δ᾽ ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
„Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν,
„Χεύατο κακκεφαλῆς, χαρίεν δ᾽ ἤσχυνε πρόσωπον·
„Νεκταρέῳ δὲ χιτῶνι μέλαιν᾽ ἀμφίζανε τέφρη.
„Αὐτὸς δ᾽ ἐν κονίῃσι μεγαλωστὶ τανυσθεὶς
„Κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ἤσχυνε δαΐζων.

Στίχ: 889. ΗΡΕΝ ΕΣ Ο᾽ΥΡΑΝΟ᾽Ν . . . . Οὐχ ἱλασκόμενος Θεοὺς δηλ:, ἀλλ᾽ ἐξευμενίσαι σκοπῶν· καὶ τιὼ παρ᾽ αὐτῶν βοήθειαν ἐζαιτήσασθαι, ἀλλ᾽ ἐπιπλήττων τε καὶ καταβλασφημῶν ὡς Θεοῖς ἐχθρὸς.

Στίχ: Αὐτ: . . . . ΝΕ᾽ΚΥΝ ᾽ΑΥΤΟ᾽Ν ΠΕΡΙΕ᾽ΣΧΕ. Παρ᾽ Ὁμήρῳ δὲ Ἰλ: Ω. στίχ. 723.

„ —— Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο,
„Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα.

Στίχ: 890—900. ΤΟΣΣΟ᾽Σ Δ᾽, Ω᾽ ΤΕ᾽ΚΝΟΝ, κτ: Ὁ Μεζέντιος θρηνῶν ἐπὶ τῷ ὑῒ Λαύσῳ ἀναιρεθέντι, διὰ τῶν δέκα ἑξῆς ἐπῶν προσφυέστατα ἐπεξεργασμένος ἐν ᾧ καταμέμφεται μὲν ἑαυτὸν ὡς φιλοψυχήσαντος, ἀπολέγεται δὲ τὸ ζῆν, εἰ τῷ τοῦ υἱέως θανάτῳ αὐτῷ περίεστιν, ὁμολογεῖ δὲ ἐπὶ τὸ ἄκρον ἤδη ἐλάσαι τῆς ἀθλιότητος πολλῷ μᾶλλον ἢ πρότερον, ὅτε βασκανίᾳ τε καὶ φθόνῳ, ἢ φησὶ, τῆς τε πατρίδος καὶ τῶν προγονικῶν σκήπτρων ἐκπεσών, πρὸς τῇ συμφορᾷ καὶ αἰχμαλίῳ προσετριφῶς ἰσῶ τῷ τεχθέντι καὶ ὀνειδος· τελευταῖον δὲ ἀπογνὺς τῶν ὅλων ἐπὶ τὸ θανεῖν ἀσεύδει, μηκέτι ὁρᾶν τὸ παρὸν τοῦτο φῶς τῆς ζωῆς ἀνεχόμενος.

Στίχ: 894. ΣΧΕ᾽ΤΛΙΟΣ ᾽ΕΞΕ᾽ΛΑΣΙΣ. . . . . Ἡ ἀφ᾽ ἧς ἐκπέπτωκεν ἀπελαθεὶς πόλεως· οἷον εἰ ἔλεγεν, ὅτι Σὲ, ὦ τέκνον, περιόντος, καὶ τὸ τῆς ὑπεροψίας ἔτι μοι ἀνεκτὸν ἦν, νῦν δὲ ἀφόρητον.

Στίχ:

Καὶ πολιῶ δὲ κόνει κατὰ ἤχω, ἀμφοτέρας δὲ
Ἤρεν ἐς οὐρανὸν, εἶτα νέκυι δ' αὐτὸν περιέχε.
Τοσσὸς δ', ὦ τέκνον, βιότοιό με ἶμερος εἶλεν,
Ὡς τλῆν' ἐχθρῆ χεῖρα σ' ὑπελθέμεν εἵνεκ' ἐμεῖο,
Ὃν τέκον; ὠτειλῆσι δὲ σῇσι σαώσομ' ὁ φώτωρ;
Ζῶν ἐπὶ σῷ θανάτῳ; οἵμοι νῶι μοι δυσιώῳ,
Σχέτλιος ἐξέλασις· νῶι τραῦμ' ὀλοώτερον ἦκται.
Αὐτὸς ἐλεγχείη ἀλιτήσας σοὶ τέκος ὤφθιν.
Ὠθεὶς βασκανίῃ ἕδεος προγόνων καὶ σκήπτρων.
Αἶψ' ὄφελον πάτρης, ἠδ' ἔχθεα ἀγχισήων,
Οἷος τισαίμιν, ἔνοχος θανάτοις παντοίοις!
Νῶι δ' ἄρ' ζωὸς ἐγὼ, φῶτας τε, φόως τ' ἀλέγπον·
Λείψω δ' ἔμπης. Φὰς δ' ἐπὶ μηρῷ τῷ ῥὰ παθόντι
Ἐξυπανέξη. Καί κεν τραυματίας δὲ σκάζων,
Οὗτοι ἀπαυδήσας ἀχθῆν' ἐπικέλσεται ἵππον,
Ὅς γάνος οἱ πέλεν, ὅς θ' ἦδος, καὶν δήρισι νῖκος.
Τῷ δὲ γ' ἐπαχνυμένῳ προσθφέγξατο, τοῖα τε εἶπε:
Ῥοιβὲ σὺ, δὴν (εἰ δίω τι ὅλως θνητοῖς παρὸν ἔπλε.)

Ζώο-

❀ ❀ ❀

Στίχ: Αὐτ: . . . . ΝΥ͂Ν ΤΡΑΥ͂Μ' ΟΛΟΏΤΕΡΟΝ ΗΚΤΑΙ, Ἢ τὸ παρ Αἰνείᾳ μοι προενσκῆψαν.

Στίχ: 895 ΑΥΤΌΣ ΕΛΕΓΧΕΙΉ . . . . ΣΟΙ͂ ΤΈΚΟΣ. Αὐτὸς ἐγὼ, ὁ νῶι τῷ θανάτῳ τῷ Σῷ παραίτιος, ἀτιμίας Σοι ζῶντι πρίξενος ἐγενόμιν κατακριθεὶς ὑπερόριος. Καὶ σημείωσαι, ὅπως αὐτὸ τοῦτο ὁ Ποιητὴς Φθάσας ἀνωτέρω προεκτεφώνηκεν, ἐν οἷς ἔφασκε τὸν Λαῦσον πατρὸς ἀμείνονος λαχεῖν εἶναι ἄξιον. (Ὅρα Ζ. Αἰν: στίχ, 701)

Στίχ: 896. ΩΣΘΕΙΣ ΒΑΣΚΑΝΙΉι . . . . Προφάσει τιὼ ἰδίαν ἑαυτῷ ἀτασθαλίαν περιαμπέχει· ΑΛΛ' ὅτι δὴ Μεζέντης ἐπαξίως πεπόνθοι ἅττα πεπόνθοι, ὅρα Η. Αἰν: στίχ 500—515.

Στίχ: 298 . . . . ΈΝΟΧΟΣ ΘΑΝΆΤΟΙΣ ΠΑΝΤΟΊΟΙΣ. Omnis per mortes. διὰ πάντων, φησὶ, θανάτων.) ΑΛΛ' ὁ θάνατος εἷς· βέλεται δὲ λέγειν διὰ πάντες γένες, ἢ τρόπε θανάτε. Καὶ ἰὼ γὰρ καὶ ἄλλως μυρίων, ὃ λέγεται, θανάτων Μεζέντης ἄξιος.

Στίχ: 900. ΛΕΊΨΩ Δ' ΈΜΠΗΣ. . . . . Ὁρᾶς τιὼ τῷ πάθες ὑπερβολιὼ, τῷ ἐπιχειρῆντος καὶ τοῖ ὑπὲρ δυὰμιν; Ὅμοιον καὶ τὶ τῷ Γηραιῷ Νέσορος ἐπ' Ἀντιλόχῳ τῷ ὑεῖ κτανθέντι πρὸς τῷ Μέμνονος, παρὰ Καλαβρῷ, Παραλειπ. Β. στίχ. 301.

„ . . . . . ἂν δὲ καὶ αὐτὸς
„Ὥρμαινεν πονέεθαι ἀφ' ἅρματος, ἕνεκ' ἄρ αὐτοῦ
„Παιδὸς ἀποφθιμένοιο ποθὴ ποτὶ μᾶλλον ἄγεσκε
„Παῤ δυὰμιν.

Στίχ: 905 ΡΟΙΒΕ' ΣΥ͂ . . . . Προαίθησίν τινα τῷ ἐσομένῳ, καὶ ἐπ' αὐτῷ λύπιν, ὁ Μάρων τῷ Μεζέντι ἵππῳ προσάψας, καὶ λόγε ἔτι προφορικῷ αὐτῷ μεταδίδωσι, κατὰ ζῆλον Ὁμήρε, ὃς ἐχ ὅπως κατηφιῶντας, τὰς Ἀχιλλέως ἵππες, Ξάνθον τε καὶ Βαλίαν, ἐπὶ τῇ προγνώσει τῷ μέλλοντος ἀποφαίνει, ἀλλὰ καὶ πρὸς τιὼ γινομένιω αὐτοῖς ἐπίπληξιν λεκτικῶς ἀπαντῶντας. Ἰλ Τ. στίχ. 405.

„Τὸν δ' ἄρ' ὑπὸ ζυγόφιν προσέφη πόδας ὠκὺς ἵππος
„Ξάνθος, ἄφαρ δὲ ἤμυσε καρήατι . . . .
„ . . . . . .
„Αὐδήεντα δ' ἔθηκε Θεὰ λευκώλενος Ἥρη.
„Καὶ λίλιω σ' ἔτι νῶι γε σαώσομεν, ὀβριμ' Ἀχιλλεῦ·
„Ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον κτ: . . . .

Omnibus. Alloquitur mœrentem, & talibus infit:
Rhœbe diu (RES SI QVA DIU mortalibus ulla eſt)
Viximus: aut hodie victor ſpolia illa cruenta,
Et caput Æneæ referes, Lauſique dolorum
Ultor eris mecum: aut, aperit ſi nulla viam vis,
Occumbes pariter. Neque enim, fortiſſime, credo,
Juſſa aliena pati, & dominos dignabere Teucros.
Dixit: & exceptus tergo conſueta locavit
Membra, manuſque ambas jaculis oneravit acutis,
Ære caput fulgens, criſtâque hirſutus equinâ.
Sic curſum in medios rapidus dedit: æſtuat ingens
Imo in corde pudor, miſtoque inſania luctu,
Et furiis agitatus amor, & conſcia virtus:
Atque hic Æneam magnâ ter voce vocavit.
Æneas agnovit eum, lætuſque precatur:
Sic pater ille Deûm faciat, ſic altus Apollo;
Incipias conferre manum.
Tantum effatus, & infeſtâ ſubit obvius haſtâ.
Ille autem: Quid me erepto, ſæuiſſime, nato
Terres? hæc via ſola fuit, quâ perdere poſſes.

Nec

❀ ❀ ❀

Ὡσαύτως δὲ καὶ Ἕκτωρ Ἰλ: Θ. στίχ 184. τοῖς ἰδίοις
„ — — Ἵπποισιν ἐκέκλε ο, φώνησέν τε·
„Ξάνθε τε καὶ σὺ Πέδαργε, καὶ Αἴθων, Λάμπε τε δῖε·
„Νῦν μοι τίν κομιδὴν ἀποτίνετον . . . . .
„ . . . . . .
„ — Ἀλλ' ἐφομαρτεῖτον, καὶ ἀπεύδετον κτ:
Ἐφῆπται γὰρ τῇ Ποιήσει τερατεύεσθαι τὰ τοιαῦτα, ψυχὴν ὥσπερ ἐνιεῖσαν τοῖς ἀψύχοις, καὶ τοῖς ἀναισθήτοις αἴσθησιν, ἵνα καὶ τοῖς ἀλόγοις λόγον ἐναρθρόν τε καὶ ἔλλογον.

Στίχ: 906. . . . . Ἢ ΝΙΚὨΝ ΤἨΜΑΡ ΤὈΔΕ . . . . Ὁπότερον γὰρ αὐτῶν συμπεσεῖν γένοιτο, παραβαλέσθαι ἑτοίμως ἔχων Μεζέντης ἐπὶ τίν πράξιν ὁρμᾷ. Οὕτω καὶ Πάλλας ἀνωτέρω Τύρνον ὑπαντιάσας, στίχ. 479.
„Ἤτοι ἐγὼν ἐνάροις ἀφνειοῖς κῦδος ἀρέσμαι
„Ἢὲ μόρῳ κλεινῷ . . . . . .
Ὅρα δὲ καὶ τὰς ἐκεῖ σημειωθείσας ἐξ Ὁμήρε παραθέσεις.

Στίχ: Αὐτ: . . . . ΕΙΝΑΡΑ ΚΕΓΝΑ, Τὰ Αἰνείε φησὶν, ὅτι τὰ Λαύσε ὁ ἥρως ἑαυτῷ καταχεῖν παρήτησατο. (στίχ. 871.)
„Τεύχεα ἀλλ' ἔχε, τοῖς τ' ἐπὶ γάννυσο . . . .
„Ἀλλὰ πῶς αἱματόεντα καλεῖ τὰ ὅπλα Αἰνείε; Ἢ, ὡς τοῖς τῶν πολεμίων φόνοις, καὶ τῷ Λαύσε δὲ τῷ ἰᾷ προσλάτως αἱματόφυρτα.

Στίχ: 910. . . . . ΟΥ̓ ΓἈΡ ΔἨ Σ' Ἀ̓ΛΚΙΜ' Ὀ̓ἸὨ, Ὡς ἐκ τε ἵππε δῆθεν, καὶ αὐτῷ ἀπαξιώσοντος Τεύκρεις ὑπείξειν, τὰ Τεύκρων ἀλαζονικῶς ὧδε περιφρονεῖν ἐθέλει Μεζέντης· ὁ δὲ τρόπος ἐπί τε ἐπαίνε καὶ δυσφημίας πλαγιώτερον ἐπιτηδευόμενος, ἐξ τεχνικώτατος.

Στίχ: 913 ἈΜΦΩ ΠΛἨΞΕ ΔἘ ΧΕἸΡΕ κτ: Πλείονα γὰρ διενοεῖτο κατ' Αἰνείε βέλη ἀφήσειν, εἰ δὶ ἑνὸς γοῦν αὐτῷ γένηται τυχόντι τῷ πολεμίε περιγενέσθαι.

Στίχ: 914 . . . . ΚΥΝΈΗ . . . . ΙΠΠΟΔΑΣΕΊΗ. Κόρυθα ἱπποδασείαν Ὅμηρος ἀπεκάλει. Γ Ἰλ: στίχ. 369. καὶ Ν. στίχ. 714. καὶ Ρ. στίχ. 295. τὴν δ' αὐτὴν καὶ ἵππειον τετυφάλειαν εἶπεν· Ἰλ: Τ. στίχ. 382. Ἀλλὰ καὶ κυνέην ἵππειον· οὐκ ἐν εἴδει, ἀντὶ τῆς τῶ ποταμίε κυνὸς δορᾶς, ἣ τὰς κεφα-

Ζώομεν. ἡ νικῶν ἦμαρ τόδε, ἔναρα κεῖνα
Αἱματόεντα, κάρη τ' Αἰνείᾳ, ἶφι ἀπήρας,
Ἄλγεσι τοῖς Λαύσῳ σῷ ἐμοὶ νυῷ ἔκδικος ἔσσῃ,
Ἦέ θ' ὁδόν τινα, ἦν σφίσι κίνυς μήτις ἀνοίξῃ,
Θνήξεαι ὡσαύτως· ἐ γὰρ δὴ σ' ἄλκιμ' ὀΐω,
Ἄλλοις δεδμήσεσθ' ἐθέλειν, καὶ Τεύκροις εἴξειν,
Ἦ, καὶ δεξαμένᾳ ἐπ' ἐθήμοσι βήσατο νώτοις.
Ἄμφω πλῆσε δὲ χεῖρε ἐν ὀξυτέροισι βελέμνοις·
Χαλκῇ δ' αἰγλήεις κωπῇ κάρα ἱπποδασείῃ,
Θωύας ἰθὺς μέσσον ἐχώρει. Ζεῖε δὲ πάγχυ
Αἰδὼς τ' ἐν μυχάτῳ κραδίῃ, μανικὸν δέ τε πένθος,
Λυσσαλέος τε ἔρος, καὶ οἱ ἰωὴ γε σωήθης.
Ἔνθα τρὶς Αἰνείαν προκαλίζετο μακρὸν ἀΰσας.
Γνὰς δέ μιν Αἰνείας, μάλ' ἐπ' αὐτῷ εὔξατο γήθων·
Ὣς ῥὰ πατὴρ τελέσειε Θεῶν, ὥς φοῖβος Ἀπόλλων,
Ὧσε σε συμβαλέμεν χεῖρας τέ μοι ἂν ἐπιάρξαι.
Ὣς εἰπὼν φονίῳ, αἶψ' ἀντίος ἔγχεϊ ὦρτο.
Αὐτὰρ ὁ· οἰχομένοιο, ἀνηλεές, ἦος ἐμεῖο,
Τί με δείσκης; τὼς μόνον αὐτὸν μ' εἶχες ὀλέσσαι.
Οὐδ' ὄϊτον πτώσσω, ἀλλ' ἠδὲ Θεῶν τιν' ὃν ἔπποις·
Πάυεο· τεθνήξων ἧκω, τάδε σοι προενέκας
Πρῶτα ξείνια. Ἦ, καὶ ἀμπεπαλὼν βέλος ἧκεν.

V 2 Εἶτα

❁ ❁ ❁

κεφαλὰς οἱ παλαιοὶ σκέπειν εἰώθεσαν (ὡς σεσημείωκεν Εὐσάθιος.) ἀλλ' ἁπλῶς τῷ κωνείῳ, ἀντὶ τῆς κόρυθος, τῆς ἐξ οἱασδήποτε ὕλης, ἐκλαβόμενος· καθὰ δὴ καὶ Κωνείῳ εἴρηκε χαλκήρεα, καὶ Ταυρείῳ, καὶ Ἰκτιδείῳ, καὶ δὴ τέως καὶ Ἱππειρι. Ὀδυσ. Χ. στίχ. 123. περὶ Ὀδυσσέως λέγων:

„Κρατὶ δ' ἐπ' ἰφθίμῳ κωνείῳ εἰτυκτον ἔθηκεν
„Ἵππειριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.

Στίχ. 916. ΑΓΔΩΣ Τ' ΕΝ ΜΥΧΑΤΩι ΚΡΑΔΙΗΣ . . . . Σημείωσαι τὰ τὸν Μεζεντίῳ κατὰ τὸ αὐτὸ εἰς ἀλκιὴ τε καὶ εὐψυχίαν παραθήγοντα πάθη τῷ αἰδῶ, τῷ παρακολουθοῦσαν τῇ ἥττῃ τῷ λύπῳ ἐπὶ τῷ ὑᾷ ἀποκτανθέντι τῷ μανιώδη ὀργῇ, τῷ κατὰ τὸ κτείναντος, ὄρεξίν τινα καὶ αὐτῷ ὄσαν ἀντιλυπήσεως· τὸν δεινὸν ἔρωτα τὸ ἀντεκδικήσασθαι. Καὶ ἐπὶ πᾶσι, τῷ ἐξ ἀρετῆς μεγαλοψυχίαν, ἣν ἑαυτῷ πάλαι σωεσδὼς περιὸν ἐπήθετο.

Στίχ. 917. ΛΥΣΣΑΛΕΟΣ ΤΕ ΕΡΟΣ· Furiis agitatus amor, Ὁ Μάρων φησὶν (ὁ ὑπὸ τῶν Ἐριννύων ὑπερεθιζόμενος ἐν αὐτῷ πόθος,) ὅ τε πρὸς τὸν ὑὸν δηλονότι, καὶ ὁ πρὸς τῷ ἄμωνα.

Στίχ. 920. ΩΣ ΡΑ ΠΑΤΗΡ ΤΕΛΕΣΕΙΕ ΘΕΩΝ κτ: Κατεῖδε γὰρ, παῤ ἐλπίδα, πόῤῥωθεν ὡς αὐτὸν ἥκοντα θεασάμενος, ὡς ἔποτ' ὠήθη· διὸ καὶ γήθων, οἷα δὴ ὤρον τοῦτο παρὰ Θεῦ πεμπόμενον μετ' εὐχῆς ἐξεδέχετο.

Στίχ. 924. . . . . ΤΩΣ ΜΟΝΟΝ ΑΥΤΟΝ Μ' ΕΙΧΕΣ ΟΛΕΣΣΑΙ. Καὶ ἐδέν μοι τοῦτο εἰς φόβον, μή με τυχὸν ἀποκτείνῃς· ἤδη γὰρ μ' ἀπώλεσας τὸν ὑὸν φθάσας προανελεῖν· ἐκείνη γάρ μοι κυρίως ἀπώλεια, ὁ θάνατος ὁ ἐκείνου· οὗ παρόντος μὲν, ἐδὲν ἂν κατ' ἐμῦ ἰσχύσειας, ἀποιχομένου δὲ ἤδη, τὸ λοιπὸν ἐδέν μοι κἂν ζήσωμαι.

Στίχ. 925 . . . . . ΑΛΛ' ΟΥΔΕ ΘΕΩΝ ΤΙΝ' ΟΝ ΕΙΠΟΙΣ, Τοῦτο πρὸς τῷ Αἰνείᾳ ἀποτεινόμενος εὐχῷ (ἀνωτ: στίχ. 920.) ἅμα δὲ, καὶ ὡς τὸν τρόπον δυσσεβὴς ὢν αὐτὸς, καὶ Θεοὺς ἐκ ἀλέγων. Ὅρα γὰρ, ἐν οἷς ἐξηρέυξατο

Nec mortem horremus, nec Divûm parcimus ulli.
Deſine; jam venio moriturus, & hæc tibi porto
Dona prius. Dixit, telumque intorſit in hoſtem.
Inde aliud ſuper atque aliud figitque, volatque
Ingenti gyro: ſed ſuſtinet aureus umbo.
Ter circum aſtantem lævos equitavit in orbes,
Tela manu jaciens: ter ſecum Troïus heros
Immanem ærato circumfert tegmine ſylvam.
Inde ubi tot traxiſſe moras, tot ſpicula tædet
Vellere, & urgetur pugnâ congreſſus iniquâ,
Multa movens animo; jam tandem erumpit, & inter
Bellatoris equi cava tempora conjicit haſtam.
Tollit ſe arrectum quadrupes, & calcibus auras
Verberat, effuſumque equitem ſuper ipſe ſequutus
Implicat; ejectoque incumbit cernuus armo.
Clamore incendunt cœlum Troëſque, Latinique.
Advolat Æneas, vaginâque eripit enſem,
Et ſuper hæc: Ubi nunc Mezentius acer, & illa
Effera vis animi? contra Tyrrhenus, ut auras
Suſpiciens hauſit cœlum, mentemque recepit:
Hoſtis amare, quid increpitas, mortemque minaris?

Nul-

❁ ❁ ❁

ξατο τὸ πρῶτον ἀντιπαραταχθεὶς Αἰνείᾳ (σίχ. 813.), τίνα ποτὲ λόγον τῶν Θεῶν ἐποιεῖτο, ὑδὲν ἀνεκτότερα φρονῶν τε καὶ λέγων τῶν τῦ παρ' Ὁμήρῳ Κύκλωπος, Ὀδυσ: I. σίχ: 273.

„Νήπιος εἶς, ὦ ξεῖν', ἢ τηλόθεν εἰλήλυθας,
„Ὅς με θεὰς κέλεαι, ἢ δευδίμεν, ἢ ἀλέασθαι.

Στίχ: 928 ΕΙ᾽ΤΑ Δ᾽ ἘΦΕΞΗ᾽Σ, ᾽ΑΛΛΟ ΜΕΤ᾽ ᾽ΑΛΛΟ κτ: Ἐμπεπληκὼς γὰρ ἰῦ βέλεσι πολλοῖς ἀμφοτέρας τὰς χεῖρας, ὡς εἴρηται Ἀνωτ: 913. Ἡ δὲ ἀμετρία τῶν ὅπλων κατηγορεῖν ἔοικέπως τῦ ὁπλίτε ἀσθενειαν. Εἰ γὰρ καὶ Ἡρακλῆς παρὰ τῷ Καλαβρῷ, (ς΄. Παραλειπ. σίχ. 229.) ἐπὶ τὰς Στυμφαλίδας.

„ —— Κεχολωμένος ἄλλον ἐπ' ἄλλῳ
„Ἰὸν περίαλλε, μάλα ἀπευθοντι ἐοικὼς
Ἀλλ' ἐκεῖνος μὲν εἰκότως, ὅτι καὶ αἱ ὄρνεις ὑπῆρχον τῷ πλήθει πολλαὶ· ὧν

„ . . . . αἱ μὲν ὀϊστοῖς
„Βλήμεναι, ἐν κονίῃσιν ἀπέπνεον, αἱ δ' ἔτι φύζης
„Μνωόμεναι, πολιοῖο δι' ἠέρος ἐσσεύοντο.

Μεζέντης δὲ καθ'. ἑνὸς τῦ Αἰνείᾳ καὶ μόνῳ τὰ πολλὰ βέλη φερῦσα τε ἀφίει καὶ ἀμενῆνα.

Στίχ: 930. . . . . ΙΠΠΕ΄ΥΣΑΤΟ ΛΑΙΟ΄ΘΙ ΚΥ΄ΚΛΟΥΣ, Ἐπ' εὐθείας μὲν κατ' αὐτῦ χωρεῖν ἐ τολμῶν, κυκλόσε δὲ ἀπὸ διαζήματος περιίππαζόμενος, καὶ ἐξ ὑπερδεξίων βάλλων συχνάκις Αἰνείαν, τὰ λαιὰ ἐς ἀεὶ ἀντιπροβαλλόμενον, ὡς ὑπὸ τῷ σάκει σκεπόμενα.

Στιχ: 932. . . . . ᾽ΑΘΕ΄ΣΦΑΤΟΝ ῞ΥΛΗΝ· Τὸ πλῆθος τῶν ἐπαφεθέντων βελῶν, διὰ τῆς ὕλης ὧδε παρίσαται.

Στίχ 934. . . . . ΔΗ΄ΡΕΙ . . . . ᾽ΑΝΙ΄ΣΩι· Τῷ μὲν γὰρ, ἐφ' ἵππε φερομένῳ, ἐπ' ἐξουσίας ἦν προσιέναι τε καὶ ἀπιέναι, καὶ πρὸς τὸ δοκεῖν ἰὰς ἐμβολὰς διατίθεθαι· τὸν δὲ, σαδίαν ἐπάναγκες ἦν προσκαρτερεῖν, τῶν ἐπισκηπτόντων τὰ μὲν ἐκσείοντα, τὰ δ' ἀπεκδεχόμενον.

Στίχ:

Εἶτα δ' ἐφεξῆς, ἄλλο μετ' ἄλλο ἰεὶς ῥὰ ποτᾶτο,
Εὐρύ γε κυκλάζων· σάκος ἀλλὰ χρύσεον ἦντα.
Τρὶς πέρι μὲν ϛαδίαν, ἱππεύσατο λαιόθι κύκλῳ;
Χειρὶ ἰεὶς βέλεα· Τρὶς δ' αὖτως Τρώϊος ἥρως,
Ἀσπίδι χαλκελάτῳ ἐπιδέχνυτ' ἀθέσφατον ὕλιν.
Εἶτα ἐπεὶ ῥα τόσον δηθύνων, τόσσα τε κέντρα
Ἄχθετο ἐξερύων, δήρει δ' ἐβιάζετ' ἀνίσῳ,
Πολλὰ μενοινήσας ἐπόρσυνε τέως, καὶ μέσσον
Ἵπποιο κροτάφων ἴθυνε μαχήμονος ἔγχος.
Ἵππος δ' ὀρθοπλῆξ ἔϛη, λάκτιζέν τ' ἄυρας·
Ἵππεα δ' ἐκσειθέντα κυβιϛήσας σιωέρξε,
Κυμβάχῳ ἠριπότι πρωὴς δ' ἐπερείσατο ὤμοις.
Τόφρ' ἰαχὼ μέγα Τρῶες ἐπῆραν ἀτάρ τε Λατῖνοι.
Πτῆ δ' αἶψ' Αἰνείας, κολεῷ δ' ἐπάσατο ἄορ·
Καὶ, πῇ Μεζέντης νῶϊ, δριμὺς τ' ἔκπαγλός τε;
Πῇ θρασὺ δ', εἶπε, μένος; Τυρσηνὸς δ' εὖτ' ἀμπνιώθη,
Αὖρας τ' ἤφυσε, νοῷ τ' ἐπαγείρατο, καὶ φρένας ἄυθις·
Αἰνότατ' ἐχθρῶν, τίπτε μ', ἀπειλῶν οἷτον, ἐνίπτεις;
Οὐ νέμεσις κτανέειν μ', ὃϛ αὖτως δῆριν ἐς ἦλθον.
Οὐδ' ἦν ἄνεκ' ἐμεῖο γε σιὼ σοὶ ξιώθετο Λαῦσος.
Οἷον ἐγώ σε τόδ', αἴ κ' ἐχθροῖς θέμις ἠττηθεῖσιν
Ἐλπέμεναι χάριν· Ἓν τό δε μοι κρήηνον ἐέλδωρ·
Δὸς χοΐ σῶμα ταφῇναι ἐπὶ μάλ' ἐγ ὤδα ὁπόσσον
Ἡμοί

❀ ❀ ❀

Στίχ: 935 ΠΟΛΛΑ' ΜΕΝΟΙΝΗ'ΣΑΣ. . . . . Σκοπῶν, πότερον δὴ βαλεῖν σιωετέλει, τὸν ἵππον, ἢ τὸν ἐποχέμενον; εἵλετο δὲ τὸ πρῶτον πάνυ ἐμφρόνως· οὐδὲ γὰρ ἂν ἔσοιτο Μεζέντῃ τὸν μηρὸν ἤδη τετρωμένῳ, τῷ ἵππῳ καταβληθέντος, πεζῷ ἔπειτα ϛιῶναι, καὶ πρὸς τιὼ μάχιω ἐπαγωνίσασθαι.

Στίχ: 937. . . . . ΛΑ'ΚΤΙΖΕΝ τ' ΑΥΡΑΣ. Τοῖς ἐμπροσθίοις τῶν ποδῶν δηλονότι ἐπικόπτων τὸν ἀέρα, καὶ τὸν ἀναβάτιω προσεδίσας, τέως καὶ αὐτὸς γνύξ ἐπέπεσεν αὐτῷ, καὶ τοῖς ὤμοις ἐρεισάμενος οἷον ἐπέδησεν.

Στίχ: 940. . . . . ΤΡΩΕΣ . . . . ΛΑΤΙΝΟΙ. Οἱ μὲν μετὰ γήθους ἐπαλαλάξαντες, οἱ δὲ μετ' ὀδυρμοῦ ἐπολολύξαντες.

Στίχ: 946. ΟΥ ΝΕ'ΜΕΣΙΣ ΚΤΑΝΕ'ΕΙΝ Μ' κτ Οὔτε σοὶ δηλονότι. ἔτ' ἔμοι γε πρὸς νέμεσιν ἔσαι ἡ ἐμὴ ἀναίρεσις ὅλως. Σοὶ μὲν γὰρ ὡς πολεμίῳ θέμις ἐπὶ μάχης ἀνελεῖν τὸν ἀντίπαλον· ἐμοὶ δὲ οὐδὲν ἀπεικὸς ὑπὸ σοῦ ἀναιρεθῆναι, εἰς τοῦτο γὰρ καὶ ἦλθον, ὥϛε ἢ θανεῖν, ἢ νικῆσαι. Ἄλλως δὲ, οὐδὲ Λαῦσος ὁ ἐμὸς υἱὸς, τιὼ παρὰ σοῦ σωτηρίαν ἐκ σιωθήκης ἠτήσατο.

Στίχ: 950. ΔΟ'Σ ΧΟΪ ΣΩ'ΜΑ ΤΑΦΗ'ΝΑΙ κτ. Καὶ Ἀχιλλέως μὲν Ἕκτωρ δαμεὶς ἐδέετο, ἵνα τὸ αὐτοῦ σῶμα δοθείη τοῖς οἰκείοις τε καὶ ὁμογενέσι, μηδὲ ταφῆς ἀποϛερηθείη: Ἰλ: Χ. ϛίχ 339 — 343.

„Μή με ἔα παρὰ νηυσὶ κιὼν καταδάψαι Ἀχαιῶν,
„ . . . . . .
„Σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
„Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.

Ὁ δὲ Μεζέντης, ταφῆς μὲν καὶ αὐτὸς ἱκετεύει ἀξιωθῆναι, ἀλλὰ μὴ τοῖς ὁμοεθνέσι τε καὶ ὁμοπατρίοις τὸν αὐτοῦ νεκρὸν ἠξίϖ ἐπιτραπῆναι, οἰδὼς εὖ μαλα, ὅπως αὐτὸν διαθήσουσιν.

Nullum in cæde nefas: nec ſic ad prælia veni,
Nec tecum meus hæc pepigit mihi fœdera Lauſus.
Unum hoc, per, ſi qna eſt victis venia hoſtibus, oro,
Corpus humo patiare tegi: ſcio acerba meorum
Circumſtare odia: hunc (oro) defende furorem;
Et me conſortem nati concede ſepulchro.
Hæc loquitur; juguloque haud inſcius accipit enſem:
Undantique animam diffundit in arma cruore.

LIB. X. ÆN. EXPLICIT.

❁ ❁ ❁

Στίχ: 951. ΗΜΟΙ΄ ΜΕ ΣΤΥΓΕ΄ΟΥΣΙ· ΣΥ᾽ ΜΑΙΝΟΜΕ΄ΝΟΥΣ Δ᾽ ΑΠΟ΄ΕΡΞΟΝ. *Καὶ αὐτῷ γὰρ τῷ ἀνελόντος, πολλῷ δυσμενέστερον πρὸς ἑαυτὸν ἤδει διακειμένης τὸς καὶ γένει αὐτῷ καὶ πατρίδι προσήκοντας.*

Στίχ: 952 ΔΟ΄Σ ΔΕ΄, ΣΥ΄Ν Υ΄ΙΕΊ΄. κτ: *Ἡγνόει ἄρα Μεζέντης, τὸν Αἰνείαν αὐτῷ τιμὴ αἴτησιν, διὰ τὸ ᾗ Λαύσῃ, φθάσαι προϋπεχέσθαι. Π οὐπέτι γὰρ Αἰνείας, (ἀνωτ: στίχ. 872.) ἐνδέναι τὸν νεκρὸν Λαύσῃ τοῖς οἰκείοις ἐνταφιάσασθαι, τῇ τῶν τεκόντων τέφρᾳ σωναποκεισόμενον.*

Στίχ: 953 . . . . ΕΙ΄ΔΩΣ . . . , *Οὐκ ἀγνοῶν, ἐδὲ μάλα ἄκων, εἴ περ ἀληθεύων ἔφη, ἅπερ ἀνωτέρω (στίχ. 945—947.) μεγαλοψυχῶν πρὸς Αἰνείαν ἐφθέγξατο.*

Στίχ:

Ἤμοι με ϛυγέϱϭι· Σὺ μαινομένϱϛ δ' ἀπόεϱξον,
Δὸϛ δὲ, σιὼ ᾗέϊ, τᾷ μ' αὐτᾷ τύμβοιο μεθέξειν.
Ὣϛ φάτο· εἰδὼϛ δ' ἄῤ δειῇ ὑπεδέξατο ἆορ.
Ψυχὴ δ' ἐκ ῥεθέων εἰϛ ὅπλα σιὼ αἵματι χεῦτο.

X 2

ΤΕΛΟΣ ΤΟΥ Ι'. ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ ΒΙΒΛΙΟΥ.

❁ ❁ ❁

Στίχ: 954. ΨΥΧΗ . . . . ΣΥΝ ΑΙΜΑΤΙ ΧΕΥΤΟ. Οὐκ ἄρα ἡ ψυχὴ τῷ ἀνθρώπῳ, αὐτόχρημα τὸ αἷμα ἐϛὶ κατὰ Μάρωνα, εἰ δὴ τῷ αἵματι ἅμα σιωέξειϛι, σιωεξιᾶϛα γὰρ, ἀνάγκη ἕτερόντι πεφυκέναι, ἢ πράγματι διακρίνεϑαι. Δῆλον δὲ καὶ ἐκ τῶν ἄνωτ: (στίχ. 862.) περὶ Δαύϛϐ ἐπῶν.

„Ἴφι δὲ ϐταμένοιο μέλαν ῥυὲν αὐτᾷ αἷμα
„Κόλπον ἐπιπλήϛϛε· ψυχὴ δ' ἄῤ σῶμα λιπᾶϛα,
„Κάρτα ἐπαχνυμένη ἰθὺ Ἀιδόϛδε βεβήκει.

Ἀλλὰ γὰῤ περὶ Μάρωνοϛ ὑφορᾶϑαι, μὴ ποτε τῶν θνητοψύχων εἶϛ γένοιτο, τὲϛ τλὼ ϛ'. τῶν αὐτᾷ Ῥαψῳδιῶν μετελθόντας ἐχ οἴοντε.

ΤΕΛΟΣ ΤΩΝ ΕΙΣ ΤΟ Ι'. ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ

Σημειώσεων.

P. VIRGILII MARONIS
AENEIDOS
LIBER XI.

Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ
ΤΗΣ
ΑΙΝΕΙΑΔΟΣ
ΒΙΒΛΙΟΝ ΙΑ.

ΤΟΥ ΓΑ. ΤΗΣ
ΑΙΝΕΙΑΔΟΣ
ΒΙΒΛΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Μεξέντιω καταβαλὼν Αἰνείας, ἐξ ὅπλων τῶν ἐκείνε ἴσησι ἱρόπαιον. Καὶ τὸν μὲν τὸ προαναιρεθέντος Πάλλαντος νέκυ, Εὐάνδρῳ τῷ γεννήτορι πομπικώτερον διαπέμπει, Λατίνοις δὲ ἀνακωχὰς ἐξαιτησαμένοις ἡμερῶν δώδεκα, ἐφ' ᾧ τοῖς ἐξ αὐτῶν ἐν ἱῇ μάχῃ πεσοῦσι κτερέϊξαι τὰ αἴσια, ἐπιτρέπει. Ἅμα δὲ καὶ αὐτὸς τὰς ἐκ τῶν ἰδίων πεπτωκότας καθοσιοῦται πυρᾶις. Ἐν τούτοις Βενύλε τὸ προαποσταλέντος, ἐν ἀπράκτῳ τῇ πρεσβείᾳ πρὸς ἱὰς ἰδίας ἐπανελθόντος, καὶ Διομήδει ἀπονεῦσαι Λατίνοις τιὼ κατὰ Τεύκρων συμμαχίαν προσαγγέλαντος, ὁ Λατίνων ἄναξ τὰς ἀμφ' αὐτὸν συγκαλέσας περὶ τῶν καθεςώτων βελεύεται, δῆλος αὐτὸς ὢν τὰ εἰς εἰρήνω ἐν τῇ βελῇ ἀνθαιρεῖθαι ὡς ἀσφαλέςερα. Ἔνθα Δράγκης μὲν ἰσχυρῶς ἐπιπλήττων Τύρνῳ (πρὸς ὃν καὶ ἄλλως ἐτύγχανε δυσνοῶν) ὡς ἐπὶ δῆριν ἅτοι γε αἰσίαν τὸ ἔθνος αὐτὸς σωελάσειεν, εἰς διαλύσεις ἐλθεῖν μετὰ Τεύκρων ἐπιμελὲς θέθαι πρὸτρέπετο. Τύρνος δ' ἀπεναντίας ἐπικρατέςερόν τε ἐνέχων καὶ ἀλαζονικώτερον, ἐπὶ τὸν πόλεμον παρορμᾷ. Νικᾷ γὰν ἡ Τύρνε βελὴ· καὶ τὰ μὲν εἰς ἄμιναν ἡ πόλις παρασκευάζεται, διχῇ δὲ τὰ τῆς ςρατειᾶς διῳκονόμηται ἑκατέρωθεν. Τὸ γὰρ Αἰνέα τιὼ Ἱππάδα εἶλιω κατὰ τὸ Ἄσεος διὰ τῶν ὑπτίων ἐκπέμψαντος, αὐτὸ δὲ τῷ πεζικῷ ἐκ τὸ ὑπερτείνοντος τῆς χώρας λόφε ἐπιθέθαι προελομένε· ὡσαύτως καὶ Τύρνος, τὸ μὲν Ἱππικὸν πρὸ τῆς πόλεως ἔςησε παρατάξας, ἡγεμόνα ἐπισήσας Καμίλλαν τιὼ ἀντιάνειραν, σιὼ Μεσσάπῳ τῷ ὑπ' αὐτιὼ ἱππαρχήσοντι· αὐτὸς δὲ τὸ πεζικὸν ἄγων, ἐν ἐνέδραις τὰς δυχωρίας προκατελάβετο, δι' ὧν ἐξ ἀνάγκης γίνεθαι ἔμελλε τοῖς Τρωσὶν ἡ πάροδος. Μεταξὺ τοίνω τῶν ἱππικῶν μάχης καρτερᾶς συῤῥαγείσης, πολλὰ μὲν κατὰ Τδῶκρων ἠρίςευσεν ἡ Καμίλλα· ἀλλ' ἐν ᾧ ὀπίσω Χλωρέως τὸ Κυβέλης θυηπόλε, ἐν ὅπλοις διαπρέποντος ἀγλαεςάτοις, ἡ παρθένος ἐπήλαυνεν ἀπαραφυλάκτως, πέπτωκεν αὐτῇ καιρίαν πλησϊσα ἐξ ἀδοκήτε ὑπὸ Ἄῤῥωνος λάθρα ἐπιβαλόντος. Οὐκ ἀποινὰ μέντοι ςε κομιδῇ, ὡς καὶ ἱὸ Ἄῤῥωνος αὐτὸ ἐφεξῆς ἀναιρεθέντος ὑπὸ Ὤπιδος, μιᾶς διατελέσης τῶν Νυμφῶν τῶν περὶ τιὼ Ἄρτεμιν.

Τῆς

Τῆς οὖ Καμίλλης ἕτω πεσούσης, οἱ μὲν Ῥοτόλοι θροηθέντες τρέπονται εἰς φυγὴν, οἱ δὲ Τρῶες ἐπὶ τὸ Ἄξυ, ὡς ἐξ ἐφόδου ἑλεῖν, ἐπελαύνουσι. Τύρνος δὲ ὑπὸ Ἄκκας, τῆς μάλιστα πιστῆς Καμίλλῃ, καὶ πρὸ τῶν ἄλλων κεχαρισμένης αὐτῇ συστρατιώτιδος ταῦτα διαμωυθεὶς, καὶ περὶ τῶν ὅλων δείσας, αὐτίκα τῆς ἐνέδρας ἐξυπανίσταται, καὶπὶ τὸ Ἄξυ σπεύδει τῶν πραγμάτων ἀντιληψόμενος. Αὐτῷ δὲ παρὰ πόδας ὡσαύτως ἕπεται καὶ Αἰνείας μετὰ τοῦ σὺν αὐτῷ πεζικοῦ, καὶ κατ' ἀλλήλων ὅλαις ταῖς δυνάμεσιν ἀντιπαρατάσσονται. Ἀλλὰ τῆς νυκτὸς ἤδη ἐπικαταλαβούσης, ἀμφότεροι ἐγγὺς τῆς πόλεως παρεμβαλόντες διεταφρεύσαντο.

ΕΠΙΓΡΑΦΗ

Τῆς Γ'Α. τοῦ Μάρωνος Ῥαψῳδίας.

Δέδμητ' ἰφθίμη, καὶ ἀρίστευσα Καμίλλα.



P. VIRGILII MARONIS

AENEIDOS

LIBER XI.

OCeanum interea ſurgens Aurora reliquit.
Æneas (quanquam & ſociis dare tempus humandis
Præcipitant curæ, turbataque funere mens eſt)
Vota Deûm primo victor ſolvebat Eoo.
Ingentem quercum deciſis undique ramis
Conſtituit tumulo, fulgentiaque induit arma;
Mezentî ducis exuvias, (tibi, magne tropæum
Bellipotens:) aptat rorantes ſanguine criſtas,

Tela-

❀ ❀ ❀

Στίχ: 1. ΗΩΣ . . . Οὕτω καὶ Ὅμηρος κατήρξατο τῆς Ἰλ: Τ. ξαψῳδίας.
„Ἠὼς μὲν ῥοδοπέπλος ἀπ' ὠκεανοῖο ῥοάων
„Ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι, ἠδὲ βροτοῖσιν.
Τῷ δ' αὐτῷ ἕπεται ὁ Μάρων κέχρηται, καὶ Δ. Αἰν: στίχ. 129. ἀπαραλλάκτως.

Στίχ: 4. ΠΡΩΤΑ ΘΕΟΙΣ κτ: Ἀεὶ δὲ τὰ Θεῖα πρότερα τῶν ἀνθρωπίνων θετέον.

Στίχ: 5. ΔΡΥΝ ΜΕΝ ΥΠΕΡΜΕΓΕΘΗ κτ: Καὶ παρὰ Πλουτάρχῳ δὲ δρυῶ εἰς τὸ Ῥωμύλε τρόπαιον καθιῶσι ἑστῶτα (εἰς Βίον) Καὶ ἐν τῷ πρὸ τῦδε Βιβλ: Ι. Αἰν: Καίτοιγε καὶ ὕλαις ἑτέραις ἐώθεσαν εἰς τῦτο κεχρῆθαι· παρὰ δὲ Παυσανίᾳ (ἐν τοῖς Ἀττικοῖς, καὶ λίθος Πάρειος ἐλήφθη εἰς τροπαίε ποίησιν.

Στίχ: 7. . . . . ΤΡΟΠΗΪΟΝ . . . . Ὅ, τι δὲ ἦν τὸ τροπαῖον, ἀλλαχῦ εἴρηται: Γ. Αἰν: στίχ. 815. ὅπως δὲ ἐπὶ κορμῦ δένδρε, τοῖς τῦ περιτρα-

ΠΟΥΒΛΙΟΥ ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ

ΤΗΣ ΑΙΝΕΙΑΔΟΣ

ΒΙΒΛΙΟΝ Ι'Α.

Ἠὼς δ' ὠκεανὸν ῥόον ἤδη ὦρτο λιποῦσα·
Αἰνείας δ' (οὔπω ἐπεύδεσκε πεσόντας ἑταίρους
Τυμβοχοήσειν, καὶ Πάλλαντος κῆδος ἐνίσχε·)
Πρῶτα Θεοῖς ἠοῖ νίκης εὐχὰς ἀναπέμπε.
Δρυὸς μὲν ὑπερμεγέθη, τῆς κλῶνας ἀπάντοθε κέρσε,
Στῆσ' ἐπὶ γειολόφῳ, τιὼ δ' ἀγλαὰ ἕσσατο ὅπλα,
Εἴναρα Μεζέντι ἀγέτᾳ, (Σοι Τροπήϊον, Ἄρες
Ὀμβριμόθυμε·) λόφους ἀτὰρ ἄρσατο αἱμορῥάντους,

❁ ❁ ❁

ριτραπέντος πολεμίε τεύχεσιν εἰς ὁπλίτε μόρφωμα διασκευαζομένοις, ἱδρύετο ἐν ἀπόπτῳ πρὸς ἔνδειξιν, ἐνταῦθα ὑπὸ τῆ Ποιητῆ περιγράφεται. Ἔοικε δὲ Ἑλληνικὸν εἶναι τὸ ἔθος, ἐδὲ γὰρ ὄνομα φέρεται παρὰ Λατίνοις γνήσιον, τὸ τῆτο δηλοῖ· εἴγε καὶ τιὼ Ἑλληνικῇ φωνῇ προσερανισάμενοι, τῇ τῆ ψιλῆ στοιχείε (π) εἰς τὸ δασὺ (φ) μεταλήψει κατεβαρβάρωσαν (Tropheum) Τροφαῖον ἀντὶ Τροπαίε, τῆ ἀπὸ τῆς τροπῆς, ἥκιστα δὲ τῆς τροφῆς, ἐτυμολογεμένε, κατονομάσαντες. Ἕλληνας οὖν ζηλώσαντες οἱ πρῶτοι Ῥωμαίων τρόπαιον ἔστησαν, καὶ τέτοις παλαιότατα τρόπαια ἐγένετο τὰ Ὀπίμια σκῦλα, (Περὶ ὧν ὅρα ς'. Λίν: σίχ. 920.) ἐξ ὧν Φερομένων πομπικῶς, καὶ τῷ Διῒ ἀνατιθεμένων, καὶ τὸν Δία αὐτὸν Φερέτριον προσηγόρευσαν, τὸν καὶ Τροπαιοῦχον ἄλλως, καὶ Σκυλοφόρον προσειρημένον, καὶ μὲν δὴ καὶ Ὑπερφερέτιον, ὡς πάντων ὑπερφέροντα. (Ὅρα Διον. Ἁλικαρν. ἐν τῷ Β. τῶν Ῥωμαϊκῶν Ἀρχαιολ.) Εἴτε δὲ τῆτο καὶ ἀπὸ τῆ Φερετρευσ-

Telaque trunca viri, & bis ſex thoraca petitum
Perfoſſumque locis, clypeumque ex ære ſiniſtræ
Subligat, atque enſem collo ſuſpendit eburnum.
Tum ſocios (namque omnis eum ſtipata tegebat
Turba ducum) ſic incipiens hortatur ovantes:
Maxima res effecta, viri: timor omnis abeſto,
Quod ſupereſt: hæc ſunt ſpolia, & de rege ſuperbo
Primitiæ; manibusque meis Mezentius hic eſt.
Nunc iter ad regem nobis, muroſque Latinos:
Arma parate animis, & ſpe præſumite bellum:
Ne qua mora ignaros (ubi primum vellere ſigna
Annuerint ſuperi, pubemque educere caſtris)
Impediat, ſegneſque metu ſententia tardet.
Interea ſocios inhumataque corpora terræ
Mandemus: qui ſolus honos Acheronte ſub imo eſt.
Ite, (ait) egregias animas, quæ ſanguine nobis
Poſtqam introgreſſi, & coram data copia fandi;
Munera præferimus, nomen, patriamque docemus,
Qui bellum intulerint, quæ cauſa attraxerit Arpos.
Auditis, ille hæc placido ſic reddidit ore:

O

❀ ❀ ❀

Στίχ: 252 ΑΣΤΥ̓ Ὁ Δ᾽ ΑΡΓΥΡἸΠΗΝ κτ: Περὶ Ἀργυρίπης εἴρηται I. Αἰν: στίχ. 27.

Στίχ: 253. . . . . ΓΑΡΓΑΝἸΟΥ̓ ΙἈΠΥΓΟΣ κτ: Ἔστι δ᾽ ὁ Γάργανος ὄρος τῆς Δαυνιακῆς Ἰαπυγίας, ἤτοι Ἀπελίας, ἐπ᾽ ἄκρας διὰ σταδίων (κατὰ Στράβωνα) τριακοσίων εἰς τὸ πέλαγος διατεινόσης. Καλεῖται δὲ νῦν τὸ ὄρος, Monte di S Angelo. οὗ ἐν ὑπωρείᾳ τὸ Διομήδες ἵδρυτο κτίσμα ἡ Ἀργυρίπη, ἢ οἱ Ἄρποι.

Στίχ: 260. . . . . ΔἨΡΕΙΣ . . . . ΑἨΘΕΙΣ. Πεφήμισται γὰρ, ὡς ἐν εἰρήνῃ εὐσταθεῖ καὶ ἀταράχῳ διάγον τὸ πάλαι Κρονιακὸν ἔθνος, σάσεών τε ἀπεχόμενον καὶ πολέμων, ὅθεν ἡ παροιμία τιὼ ἐπὶ Κρόνε διεθρύλησε βασιλείαν.

Στίχ: 264. ΔΕΙΝἈ ΤΑἨΜΕΝ Ἄ̓ΠΑΝΤΕΣ. . . . . Οὐδὲν ἀγαθὸν ἐκ τῆς Ἰλίε ἐκπορθήσεως ἡμῖν ἀπέβη τοῖς Ἕλλησι καὶ νικήσασι· παρὰ γὰρ αὐτὰ τὰ δεινὰ τῷ πολέμῳ, ὅσα ἐπὶ τὰς πατρίδας ἀπονοσῶσι συνέπεσεν ἀτυχήματα κατά τε γιῶ καὶ θαλάσσας; (Ὅρα Ὀδυσ. Γ. περὶ τέτων, τὰ ἀπὸ στίχ. 86—185. καὶ πρὸς, ἐπέκεινα τῷ ἡμίσει τῆς Ῥαψῳδίας.

Στίχ: 266. Ἦ̓ΠΟΥ̓ ΚΑἸ ΠΡΙἈΜΟΣ ΚΑΤἈ Ἄ̓ΩΚΤΙΣΕΝ, ... Τοσοῦτον ἦν τῶν κακῶν ἐκείνων τὸ μέγεθος καὶ τὸ πλῆθος, ὥσε καὶ τῶν ἐχθρῶν τῷ πρωτίσῳ κινήσαι ἂν οἶκτον. Ὅμοιον ἐστὶ πρὸς τιὼ τῶν συμφορῶν ἐπάυξησιν καὶ τὸ ὑπὸ Αἰνείε τῇ Διδοῖ ῥηθέν. Β. Αἰν· στίχ. 6.

„ . . . . . Τίς τὰ πιφάσκων
„Μυρμιδόνων, Δολόπων τ᾽, αἰνῇ τ᾽ Ὀδυσῆος ἐπάων,
„Δάκρυ κατάσχοι; . . . . . .

Στίχ:

Ἄξυ ὁ δ' Ἀργυρίπιω, πατρίῳ οἱ ὁμώνυμον ἔθνει,
Νικῶν Γαργανίῃ Ἰάπυγος κτίσεν ἐν ἀγροῖς.
Ὡς δ' ἐπιβᾶσι δόθη παρσήμενα, ἠδὲ πιφάσκειν,
Δῶρα γε παρθέμενοι, τίνες, αὐτὰρ ὅθεν δηλῶμεν,
Οἵ τε φέρον δήριν, ὅ, τι δ' ἡμᾶς ἔλξεν ἐς Ἄρπας.
Ταῦτα δ' ἐνωτισθεὶς πρηὺς προσαμείψατο τοῖα:
Ὦ τρισσεύδαιμον γένος, ὦ Κρονιὰς βασιλείη,
Οἱ πρόμαλ' Αὐσόνιοι, τὶς δαίμων σφᾶς ἄρ' ἐκήλας
Πείθησ' ὀτρύνει δήρεις προκαλεῖσθαι ἀήθεις;
Ὅσσοι γ' Ἰλιακὴς ἀγορὴς ἀλαπάξαμεν ὅπλοις,
(Λείπω δ' ἄττ' ἐδέης' αἰποῖς ὑπὸ τείχεσιν οἴσειν,
Τὴς τ' ἄνδρας Σιμόεις ἰδίοις ὑπὸ ῥεύμασι κεύθει.)
Δεινὰ τλῆμεν ἅπαντες ἄφρας', ἀνὰ γλῶ τ', ἀνὰ πόντον'
Αὐτὰρ ἀταθαλίης γε δίκας ἀπετίσαμεν ἴσας.
Ἦπυ καὶ Πρίαμος κατὰ ὤκτισεν, ἦν περιῆεν.
Εὖ μάλ' Ἀθηναίης τόδ' ἐπίσταται ἔλιον Ἄρρον,
Εὐβοϊκαὶ πέτραι τε, Καφηρεὺς αὐτὰρ ἀμυντωρ.

Κέκυκλος

❁ ❁ ❁

Στίχ: 267. . . . . ΑΘΗΝΑΪΗΣ . . . . ΟΥΛΙΟΝ ΑΣΤΡΟΝ. Ἡ γὰρ Παλλὰς τοῖς Ἀχαιοῖς ἐπιχαλεπήνασα, εἴτε ὡς ἀγνώμοσι πρὸς αὐτήν· εἴτε καὶ διὰ τὴν ὑπὸ Αἴαντος τὸ Οἰλέως, πρὸ τῆς αὐτῆς ἀγάλματος, ἐπιτολμηθεῖσαν τῇ Κασσάνδρᾳ βίαν (ὡς ἐν Α. Αἰν. στίχ. 46. σεσημείωται.) δεινὸν κατὰ νόσον αὐτοῖς ἐπήγειρε κλύδωνα, ὑφ' ἧ τῶν νηῶν αἱ πλείους, περὶ τὰς Εὐβοϊκὰς ἀκτὰς καὶ τὸν Καφηρέα, ναυαγήσασαι ἀπώλοντο. Ὀδυσ. Γ. στίχ. 134.

„ —— Τῷ σφέων πολέες κακὸν ἕιτον ἐπέπον.
„Μιλίος ἐξ ὀλοῆς Γλαυκώπιδος ἐβριμοπάτρης.

Τί δὲ τὸ Ἀθηναίης ὦδε οὔλιον Ἄρρον σημαίνει λεγόμενος; Ἢ ὅτι, ἐπὶ τῆς Ἐαρινῆς Ἰσημερίας ὁ Κλύδων σωίβη· Ἀθηνᾶ δ' ἀνάκεισαι τὸ ζῴδιον ὁ Κριὸς, ὡς καὶ ὁ Ὀφιοῦχος Ἀσκληπιῷ, καὶ οἱ Δίδυμοι Ἀπόλλωνι, ἢ Ἡρακλεῖ. (Σέρβ.) Ἢ ἅλως (κατὰ Κέρδιν.) Ἀθηνᾶς ἄρρον νοήσειέτις τὰ Ναυπλίᾳ πυρσὰ, ἅπερ οὗτος, (διὰ τὴν ὑφ' Ἑλλήνων τῇ γῇ Παλαμήδες ἀναίρεσιν,) αὐτοῖς ἐπὶ τὰς πατρίδας καταγομένοις, ἐπὶ τῶν περὶ τὴν Εὔβοιαν ἀποκρότων ἀνῆπτεν· ὑφ' ὧν τε ἀπατηθέντες, καὶ προσκείλαντες ἐναυάγησαν. Εἰς γὰρ πυρσὸν μετείληφε καὶ Εὐριπίδης τὸ Ἄρρον, περὶ τῆς Ναυπλίου εἰπών:

„ —— Πέτραις
„Καφηρείαις ἐμβαλὼν
„Αἰγαίαις τ' ἐναλίοις ἀκταῖς
„Δόλιον ἀστέρα λάμψας.

Τὴν δὲ τῶν Ἑλληνικῶν νεῶν ταύτην ναυαγίαν ἐξ ἐπιβουλῆς Ναυπλίου, καὶ Καλχαβρὶς ἐξεφαψώδησε Παραλειπ. Ἰδ. στίχ. 610.

„ . . . . . Οἱ μὲν ἀν' εὐρυὼ
„Πόντον, ὀρινομένης ἁλὸς ἄχετον· οἱ δ' ἐνὶ πέτραις
„Ἄξαντες περὶ νῆας, ὀϊζυρῶς ἀπόλοντο
„Ναυπλίου ἐννεσίῃσιν· ὁ γὰρ κοτέων μάλα παιδὸς,
„Χείματος ὀρνυμένοιο, καὶ ὁλυμένων Ἀργείων,
„Καίπερ ἀκηχέμενος, μέγ' ἐγήθεεν, οὕνεκ' ἄρ' αὐτῷ
„Δῶκε τίσιν Θεὸς αἶψα, καὶ ἕδρακεν ἐχθρὸν ὅμιλον
„Τειρόμενον κατὰ βένθος . . . . . .

Στίχ: 268. ΕΥΒΟΙΚΑΙ ΠΕΤΡΑΙ . . . ΚΑΦΗΡΕΥΣ . . . ΑΜΥΝΤΩΡ· Ὄρος Εὐβοίας ὁ Καφαρεὺς, ἐπὶ τὰ μεσημβρινὰ νεῦον τῆς νήσου. Ἐπεὶ δ' ἐκειθεν

O fortunatæ gentes, Saturnia regna,
Antiqui Auſonii, quæ vos fortuna quietos
Sollicitat, ſuadetque ignota laceſſere bella?
Quicunque Iliacos ferro violavimus agros,
(Mitto ea quæ muris bellando exhauſta ſub altis,
Quos Simoïs premit ille viros) infanda per orbem
Supplicia, & ſcelerum pœnas expendimus omnes,
Vel Priamo miſeranda manus. Scit triſte Minervæ
Sidus, & Euboïcæ cautes, ultorque Caphareus.
Militiâ ex illâ diverſum ad littus adacti,
Atrides Protei Menelaus ad uſqve columnas
Exulat; Ætnæos vidit Cyclopas Ulyſſes.
Regna Neoptolemi referam, verſoſque penates
Idomenei? Libycone habitantes littore Locros?
Ipſe Mycenæus magnorum ductor Achivûm
Conjugis infandæ prima inter limina dextrâ
Oppetiit: devictâ Aſiâ ſubſedit adulter.
Invidiſſe Deos, patriis ut redditus oris,
Conjugium optatum, & pulchram Calydona viderem?
Nunc etiam horribili viſu portenta ſequuntur:
Et ſocii amiſſi petierunt æthera pennis,

Flumi-

❁ ❁ ❁

ἐκεῖθεν ἡ περὶ τὸ ὑὸ ἄμιωα τᾷ Ναυπλίῳ ἐγένετο, ἐκ τοῦ ζυγοῦ ἄνωθεν τὰ πυρσὰ ἀραμένῳ, καὶ ἐλπίδι τοῦ τυχεῖν λιμένος εὐόρμου τοῖς κλυδωνιζομένοις τλῶ ναυαγίαν παρασκευάσαντι, διὰ τοῦτο ἐπαμώτορα τὸν Καφαρέα ὁ Μάρων ὠνόμασεν.

Στίχ: 269, ... ἈΚΤΑ᾽Σ Δ᾽ ἙΤΕΡΑΣ ἘΛΑΘΈΝΤΕΣ, Οὐ γὰρ πᾶσαι ἐκεῖ αἱ τῶν παλινοστούντων Ἀχαιῶν νῆες ἀπώλοντο, ἄλλαι δ᾽ ἀλλαχόσε τῇ βίᾳ τῆς ζάλης ἐξαπωνέχθησαν. Ὡς γὰρ ὁ Καλαβρὸς ἔφη ἔνθ: ἀνωτ: στίχ. 626.

„ —— πάλιν δὲ φύγον μόρον, ὅς τ᾽ ἐσάωσεν
„Ἡ Θεὸς, ἤ δαίμων τις ἐπιῤῥοθος . . .

Καὶ αὐτ: στίχ. 656.

„Ἄλλη δ᾽ ἄλλος ἵκανεν, ὅπη Θεὸς ἦγεν ἕκαστον,
„Ὅσσοι ὑπὲρ πόντου λυγρὰς ὑπάλυξαν ἀέλλας.

Ὥσπερ οὖν καὶ Μενέλαος καὶ Ὀδυσσεὺς, ὅς, σιὼ ὲ πολλοῖς ἄλλοις ἐκ τῶν περισωθέντων ὁ Ποιητὴς προϊὼν καταλέγει.

Στίχ: 270. ΠΡΩΤΈΟΣ ᾽ΑΤΡΕΊΔΗΣ ΣΤΉΛΑΣ ΜΕΝΈΛΑΟΣ . . . Αἴγυπτε τὰς ὕρας, ἧς Πρωτεὺς πάλαι ἱσόρηται βασιλεύων, σήλας ὁ Μάρων ἀποκαλεῖ, ὅτι σήλαις οἱ παλαιοὶ τὰ τῶν ἐπαρχιῶν καὶ χωρῶν εἰώθεσαν διασημαίνειν ὁρίσματα, ὅθεν καὶ αἱ τοῦ Ἡρακλέους διεθρυλλήθησαν σῆλαι, καὶ αἱ τοῦ Διονύσου δὲ, ὧν αἱ μὲν πρὸς ἥλιον ἀνίσχοντα, αἱ δὲ πρὸς δυόμενον, τέρματα τῆς ἐκείνων κατέσχε περιηγήσεως. Ὅτι δὲ καὶ Μενέλαος ἄχρι τῆς κατ᾽ Αἴγυπτον Φάρου ἐκπλεύσας κατήχθη, καὶ ἅπερ ἐκεῖσε κατάραντι συνέπεσε δυσχερῆ, παρὰ Ὁμήρῳ ἱσόρηται, Δ. Ὀδυσ. στίχ. 351. κξ. Μετιτέον δὲ καὶ Στράβωνα περὶ τούτων, πρὸς ὃν καὶ Οὐρσῖνος ἡμᾶς παραπέμπει περὶ δὲ τοῦ Πρωτέως ὅρα Γεωργ. Δ. στίχ. 476. —481.

Στίχ: 271. ΑἸΓΥΠΤΙΑΊΟΥΣ ᾽ΑΥΤΑ᾽Ρ ΚΎΚΛΩΠΑΣ . . . . Ἄττα δ᾽ Ὀδυσσεὺς ἔτλη τῷ Κύκλωπι περιπεσών, ἐς πλάτος ἡμῖν ὁ Μάρων, ὡς ἐξ Ἀχαιμενίδου, διεξέλαψώδησεν Αἰν: Γ. στίχ. 640—708. καὶ ὅρα τὰ ἐν ἐκείνοις σημειωθέντα.

Στίχ:

Κάνης ἐκ στρατιῆς ἀκτὰς δ' ἑτέρας ἐλαθέντες,
Πρωτέος Ἀτρείδης στήλας Μενέλαος ἀπῶσο,
Αἰτναίης αὐτὰρ Κύκλωπας δέρξατ' Ὀδυσσεὺς.
Τίπτε Νεοπτολέμῳ βασιλείῳ μυθησάμην;
Ὅππως δ' ἐξίη ἔσκεν ἀνάσσατος Ἰδομενῆος;
Ὡς τ' ἀκτὰς Λιβυκὰς Λωκροὶ νηῶν ναιετάουσιν;
Ὡς τε Μυκηναῖος μὲγ' ἄριστος Ἀχαιῶν κρείων,
Μαχλοσύνης ἔργον μιαρῆς ἐξώλεθ' ἀκοίτης
Οὐδοῖς ἐν πρώτοις· ὃ δὲ δὴ Ἀσίης νικήτωρ
Οἴκτιστος συγεροῖο δάμη μοιχῷ ὑπ' ἐνέδραις;
Κἀμὲ Θεοὶ βάσκηναν ἰδέσθαι πείρατα πάτρης,
Ἰμερτιώ τε ἄκοιτιν, ἀτὰρ καλιὼ Καλυδῶνα.
Ἔσι δ' ἅ μοι καὶ νῦν ἔκπαγλα τεράσια ὤπται,
Οὓς δ' ἑτάρους ἀπόλεσσ', οἱ δ' ἄρ πτερύγεσσιν ἄερθεν,
Ἐν ποταμῶν ῥείθροις δ' ἠλάσκασ' οἷαπερ ὄρνεις,
(Οἴμοι, ὅσας ἠμοὶ δεινὰς ποινὰς καθυπέσαν!)
Πιμπλάντες σκοπέλους ἐν ἰωγαῖς δακρυοέσσας.

G 2 Ἦ

* * *

Στίχ: 272. ΤΙΠΤΕ ΝΕΟΠΤΟΛΕΜΟΥ ΒΑΣΙΛΕΙΗΝ . . . . : Τὰ περὶ Νεοπτολέμου διεξιῶσαν Ἀνδρομάχῃ ἐυρήσεις, Αἰν: Γ. στίχ. 345—355.

Στίχ: 273 . . . . ΕΣΤΙΗ . . . . . ΑΝΑΣΤΑΤΟΣ ΙΔΟΜΕΝΗΟΣ. Περὶ τέτε ὅρα Γ. Αἰν: στίχ. 129 καὶ 424.

Στίχ: 274. . . . . ΑΚΤΑΣ ΛΙΒΥΚΑΣ ΛΩΚΡΟΙ ΝΥΝ ΝΑΙΕΤΑΟΥΣΙ. Καὶ περὶ τέτων, Γ. Αἰν: στίχ. 422.

Στίχ: 275—278. . . . . ΜΥΚΗΝΑΙΟΣ . . . . ΑΧΑΙΩΝ ΚΡΕΙΩΝ. Ὁ Ἀγαμέμνων· τιὼ δε συμφορὰν αὐτὸς τιὼ αὐτῷ διέξεισιν Ὀδυσσεῖ ἐν Ἅιδε ἐπερωτήσαντι Ὀδυσ: Λ. στίχ. 405.

„Ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε μόρον τε
„Ἕκτα σὺν ἀλομένῃ ἀλόχῳ οἴκονδε καλέσσας,
„Δειπνίσσας, ὥς τις τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
„Ὡς θάνον οἰκτίστῳ θανάτῳ. . . . . .

Στίχ: 276. . . . . ΜΙΑΡΗΣ . . . . ΑΚΟΙΤΗΣ· Τῆς Κλυταιμνήστρας.

Στίχ: 277. ΟΥΔΟΙΣ ΕΝ ΠΡΩΤΟΙΣ . . . . . Ὡς πρῶτον ἐπὶ τιὼ ἐμιὼ νοσήσας ἀφικόμιν πατρίδα.

Στίχ: 279. ΚΑΙΜΕ ΘΕΟΙ ΒΑΣΚΗΝΑΝ κτ: Τὰ τοῖς ἄλλοις ἀπαντήσαντα διεξελθὼν, σωάπτει καὶ ἅπερ αὐτῷ σωεκύρησεν. Ὅρα Γ. Αἰν: στίχ. 27.

Στίχ: 280. . . . . ΑΚΟΙΤΙΝ . . . . ΚΑΛΥΔΩΝΑ. Τιὼ Αἰγιάλειαν, ἣν γαμηθεῖσαν τῷ Σθενέλῃ ὑῷ Κυλλαβάρῳ μαθὼν, ἐπὶ τιὼ πατρίδα ἐκ ἠνεγκεν ἐπανελθεῖν, ἀλλ' εἰς Ἀπελίαν, τιὼ πάλαι Μεσσαπίαν, κατάρας, πόλιν ἐκεῖ Καλυδῶνα ὀνομάσας κατώκισεν, ὁμώνυμον τῇ ἐν Αἰτωλίᾳ Καλυδῶνι, ἣν ἀναφέρει ὁ τῶν Ἐθν: Συγγραφεύς.

Στίχ: 281. . . . . ΕΚΠΑΓΛΑ ΤΕΡΑΣΤΙΑ ΩΠΤΑΙ, Ὁ μῦθος ἐστὶν, ὡς οἱ Διομήδες ἑταῖροι, εἰς ὄρνεα μετεμορφώθησαν αὐτῷ ἔτι ζῶντος· (οἱ δὲ τῦτο, φασὶν, αὐτὸς παθεῖν μετὰ τιὼ τελευτιὼ ἐκείνε, ἀπαύστως κλαίοντας.) τὰ δ' ὄρνεα, οἱ μὲν τὰς Ἐρωδιὸς εἶναι βάλονται, οἱ δὲ Κύκνες, οἱ δὲ Πελαργὸς, οἱ δὲ Ἱέρακας. Ὄρνεις δὲ ἐκλήθησαν Διομήδειοι· τὸ δ' ἔτι τερατωδέσερον τῷ μύθῳ προσίθεται, ὅτι τὰ περὶ ὧν ὁ λόγος πτιλὰ, ὁποῖα ποτ' ἂν ᾖ, πρὸς μὲν τὰς ὁμογενεῖς Ἕλλιπας, τιθασσὰ τε ὄντα, καὶ προσιλῶς φερόμενα καὶ φιλίως, εἶτισι τῶν βαρβάρων συγκυρήσειαν, ἀπεχθῶς τε λίαν καὶ χαλεπῶς διατίθεται, ὡς κ᾽ κατὰ τέτων ἐφίπταθαι ἀγριόμενα, καὶ διασπαράττειν ἀπεύδοντα ῥύγχεσί τε καὶ ὄνυξι, τὸν ὑπὸ τῶν Ἰλλυριέων δῆθεν φόνον τῷ ἀρχηγῷ αὐτῶν Διομήδες ὥσπερ ἀμυνόμενα.

Στίχ:

Fluminibusque vagantur aves (heu dira meorum
Supplicia!) & ſcopulos lacrymoſis vocibus implent.
Hæc adeo ex illo mihi jam ſperanda fuerunt
Tempore, cum ferro cœleſtia corpora demens
Adpetii, & Veneris violavi vulnere dextram.
Ne vero, ne me ad tales impellite pugnas.
Nec mihi cum Teucris ullum poſt eruta bellum
Pergama; nec veterum memini lætorve malorum.
Munera, quæ patriis ad me portatis ab oris,
Vertite ad Æneam. Stetimus tela aſpera contra,
Contulimusque manus: experto credite, quantus
In clypeum aſſurgat, quo turbine torqueat haſtam.
Si duo præterea tales Idæa tuliſſet
Terra viros, ultro Inachias veniſſet ad urbes
Dardanus, & verſis lugeret Græciâ fatis.
Quicquid apud duræ ceſſatum eſt mœnia Trojæ,
Hectoris, Æneæque manu victoria Grajûm
Hæſit, & in decimum veſtigia rettulit annum.
Ambo animis, ambo inſignes præſtantibus armis:
Hic pietate prior. Coëant in fœdera dextræ,
Quâ datur: aſt, armis concurrant arma, cavete.

Et

❁ ❁ ❁

Στίχ: 286. Ἢ ΤΑ΄ΔΕ ΜΟΙ ΧΡΗ΄Ν ἘΚ ΡΑ΄ ΔΕ΄ΧΕΣΘΑΙ ⋮ ⋮ ⋮ ⋮ Οὕτως οἱ ἐν κακοῖς περιπεσόντες καὶ θλίψεσιν, ὀψὲ τῶν ἰδίων ἀταθαλιῶν ἐπιμιμνήσκονται.

Στίχ: 288. ΤΗΜΟΣ ΔΕΞΙΤΕΡΗ΄Ν κτ: Ὅμηρ. Ἰλ: Ε΄. στίχ. 336.

„Ἀκρίῳ ἔτασε χεῖρα μετάλμενος ὀξέϊ χαλκῷ.

Καὶ στίχ. 339.

„Πρυμνὸν ὑπὲρ θάναρος . . . . . .

Καὶ στίχ. 883.

„ . . . . . Οὔτασε χεῖρ ἐπὶ καρπῷ.

Ἐπαινεῖ δ' ὁ Κέρδης ἐνταῦθα Μάρωνα, ὅτι τῷ Ὁμήρῳ μηδὲν πλέον ἢ χειρὸς μεμνημένῳ, ἔτος τιὼ δεξιὰν ἀρισμένως εἶρηκε. Laudo Poetam qui optime Homerum intellexit, et ante Virgilium nemo. (τον Ποιητὴν ἄγω δὶ ἐπαίνε, τὸν ἄριστα τὸν Ὁμήρε συνέντα νοῶν, ὡς πρὸ τῦ Ουἰργιλίε ἐδεὶς.) τὶς δ' ὁ τῦ ἐπαίνε λόγος; ὁ αὐτὸς, ὃν ἡ Πλάταρχος ἐπιζήσας προσεσημείωκε (Βιβλ: Θ. τῶν Συμπ. Προβλ: Δ.) ὅτι δὴ ἐπὶ τῷ τιὼ ἀρίστε χεῖρα τῆς Θεᾶ τρῶσαι, Τυδείδῃ ἐκ ἔδει μεταπηδήσεως: Ἀλλὰ μὴ ἐκ ἄμεινον εἰπεῖν, ὅτι τῇ δεξιᾷ τὸν πέπλον Ἀφροδίτη κατεῖχε, τὸν υἱὸν ἐπισκέπτσα· φησὶ γὰρ Αὐτ: στίχ. 315.

„Πρόσθε δὲ οἱ πέπλοιο φαεινῆ πτύγμ' ἐκάλυψε κτ:

Καὶ στίχ. 337. . . . .

„ . . . . εἴθαρ δὲ δόρυ χροὸς ἀντετόρησεν

„Ἀμβροσίε διὰ πέπλε . . . . . .

Στίχ: 291. ΠΕ΄ΡΓΑΜ' ἘΠΕΙ΄ ΠΕ΄ΣΕΝ, Ο΄ΥΔΕ΄ ΚΑΚΩ΄Ν ΜΕ΄ΜΝΗΜ' ἈΡΧΑΙ΄ΩΝ. Ὁ γὰρ τῆς κατὰ Τρώων ἐκστρατείας σκοπὸς ἤδη πεπλήρωται, καὶ τὰ τῇ πρὸς ἐκείνες πολέμε πέρας ἔχε, Τροίας πεσέσης. Καὶ τῇ λοιπῇ δίκαιον τὸ τῆς ἀμνησίας. Κακὰ δὲ ἀρχαῖα λέγει, ἃ πάλαι καθ' Ἑλλήνων εἰργάσαντο· οἷον ἡ Ἑλένης ἁρπαγὴ ὑπὸ Πάριδος, καὶ τὸ ὑπερφθεῖναι ὑπὸ τέτων ἐκείνες πρεσβευσαμένες, ἢ τὰ δίκαια ἀπαιτήσαντας. κτ:

Στίχ.

Ἦ τάδε μοι χρὴ ἐκ ῥὰ δέχεσθαι τόφρα ἐφήξειν,
Ὄφρα ἐπερανίοις ἐπετόλμων σώμασιν ἔκφρων,
Ἥμος δεξιτερὴν ἔτησ' αὐτῆς Ἀφροδίτης.
Μή μ' ἄρα, μὴ δὴ, πρὸς τοιάδ' ὀτρύνετε δήρεις·
Οὐδὲ γὰρ ἔς' ἔτι μοι κατὰ Τεύκρων δηιοτής τις
Πέργαμ' ἐπεί πεσεν, ὐδὲ κακῶν μέμνημ' ἀρχαίων,
Οὐδὲ μνησάμενος περ ἐφήδομαι, ὐδ' ἐπιχαίρω.
Δῶρα τὰ δ' ἐκ πάτρης σφετέρης μοι ἐνείκατε ἕρων,
Τρέψατ' ἐς Αἰνείαν· Τῷ δ' ὅπλοις ἀντιπαρέξιω·
Σύμβαλον οἱ χεῖρας· πειρησαμένῳ δὲ πίθεσθε.
Ἠλίκος ἐξὶ σάκει ἐπιάλμενος! Ὡς δόρυ νωμᾷ!
Τοιάδ' ἄμπε δύω Ἴδης ἀπενείκατο γαῖα,
Ἔμπαλιν εἰς Ἰνάχῳ δὴ ἄξεα Δάρδανος ἶξεν,
Ἑλλὰς δ' ἀντιθέτοις Μοίραις ἀνεβάλλετο πένθη.
Εἰ γάρ τι Τροίης δήθωεν ἄλωσις πύργων,

Ἔκτο-

❁ ❁ ❁

Στίχ: 294. ΤΡΕ'ΨΑΤ' 'ΕΣ ΑΙ'ΝΕΙ'ΑΝ. Οἷς ἔμοι γε προσηνέγκατε δώρεις, αὐτὸν Αἰνείαν τούτοις ἐξευμενίσαι καὶ ἐκμειλίξασθαι πέπυσατε, καθ' ὃ τὸν πόλεμον ἤρατε. Ἐνταῦθα δὲ καλῶς ὁ Δοιάτος: Qui auxilium non dat, dat consilium. (ὁ μὴ σωαρήγων, συμβουλεύει.) καὶ γὰρ καὶ ἡ τῶ σωσίοντος ὑποθήκη, ἀντικρυς ἐπικουρία.

Στίχ: 295. . . . . ΠΕΙΡΗΣΑΜΕ'ΝΩι ΔΕ' ΠΙ'ΘΕΣΘε. Μεγαλωΐει Διομήδης τὸ Αἰνείᾳ ἐν μάχαις ἀνδρικὸν καὶ γενναῖον, ἵνα πείσῃ Ῥοτόλῃς σιὼ ἐκείνῳ εἰς διαλύσεις ἐλθεῖν· συμμεγαλωΐει δὲ ἅμα καὶ ἑαυτὸν, ἐχ ὅπως ἐπὶ ἀνδρείᾳ καὶ ῥώμῃ, ὡς ἀνδρὸς τοιούτου κρείσσων αὐτὸς ἐν τοῖς ἀγῶσιν ἐφθεις, ἀλλὰ καὶ ἐπὶ ἤθεσ μετριότητι καὶ Φρενῶν σωέσει, ὅτι καὶ τῶ πολεμίῳ προϋπάρξαντος τιὼ ἀρετιὼ ὅιδε θαυμάζειν τε καὶ ἀνακηρύττειν.

Στίχ: 297. ΤΟΙΟΥ'Σ Δ' Α'ΙΚΕ ΔΥ'Ω . . . . Τριπλασίων ὅδε ὁ παρὰ Διομήδει Αἰνείᾳ ἀπονεμόμενος ἔπαινος, τῶ ὑπὸ Ἀγαμέμνονος ἀποδεδομένῳ Ἰῶ γηραιῷ Νέστορι Ἰλ: Β. στίχ. 372.

„Τοιῶτοι δέκαμοι συμφράδμονες εἶεν Ἀχαιῶν
„Τῶ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο Ἄνακτος
„Χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.

Πῶς δὲ καὶ ἦν δύω, φησὶν ὁ Μάρων, παρεῖεν, εἰ δὴ καὶ τῷ ὄντι παρῆσαν, Αἰνείας τε καὶ Ἕκτωρ, ὡς ἐξῆς προσίθησιν; (στίχ. 301.) Ἀλλὰ γὰρ εἴπερ δύω ἀνθ' ἑνὸς τῶ Αἰνείᾳ, ἡ Ἰδαία γῆ ἀπιωέγκατο, ἐκέτι δύο μόνοι, τρεῖς δ' ἄν εἶεν ἅτως οἱ πάντες, καὶ τῶ Ἕκτορος τοῖς ὑποτιθεμένοις δυσὶ σωαριθμεμένῳ.

Στίχ: 298. . . . . ΕΙ'Σ Ἰ'ΝΑ'ΧΟΥ . . . . . Ἄ'ΣΤΕΑ . . . . . Σωεκδέχεται τιὼ Ἑλλάδα· ἐκ γὰρ Ἰνάχῳ τῶ Ὠκεανῶ καὶ Τηθύος, ὁ ἐν Ἄργει ποταμὸς Ἴναχος ἐκλήθη· ἐξ Ἰνάχου δὲ παῖδες ἐγένοντο Φορωνεύς, καὶ Αἰγιαλεύς· ὧν ἐκ μὲν τούτῳ ἡ χώρα Αἰγιάλεια ἤκουσεν, ἥτις ἐπὶ Φορωνέως δωασεύοντος ἐπωνόμασαι Πελοπόννησος, καθάπερ ἔτι καὶ ἐξ Ἀπίδ τῶ ὑῶ Φορωνέως, Ἀπία, ὕστερον. (Ἀπολλόδ. Βιβλ: Β Κεφ: Α.) Ἰναχίᾳ γεμιὼ καὶ ἡ Πελοπόννησος, ἐ μόνον τὸ Ἄργος. (Στέφ: Βυζ.) Τὸ δέ τοι Ἄργος αὐτὸ κτισθῆναι λέγεται ὑπὸ Ἰνάχῳ ἐπὶ Ἀβραάμ, εἶναι δὲ τῶν ἐν Ἑλλάδι δωασειῶν τιὼ πρώτιω ταύτιω καὶ ἀρχαιοτάτιω. Ἴναχον δὲ μετοικίσαι ἰσόρηται ἀπὸ Φοινίκης ἐλθόντα, καὶ ἐπὶ πολὺ διαρκέσαι τῆς βασιλείαν τοῖς αὐτῶ ἀπογόνοις, ἄχρις ἐ Δαναὸς, ἐξ Αἰγύπτῳ πλεύσας, τὸς Ἰναχίδας τῶ κράτες ἀπήλασεν.

Et reſponſa ſimul quæ ſint, rex optime regum,
Audiſti, & quæ ſit magno ſententia bello.
Vix ea legati: variuſque per ora cucurrit
Auſonidum turbata fremor: ceu ſaxa morantur
Cùm rapidos amnes, clauſo fit gurgite murmur,
Vicinæque fremunt ripæ crepitantibus undis.
Ut primum placati animi, & trepida ora quiêrunt,
Præfatus Divos, ſolio rex infit ab alto.
Ante equidem ſummâ de re flatuiſſe, Latini,
Et vellem, & fuerat melius: non tempore tali
Cogere concilium, cum muros obſidet hoſtis.
Bellum importunum, cives, cum gente Deorum,
Invictiſque viris gerimus; quos nulla fatigant
Prælia, nec victi poſſunt abſiſtere ferro.
Spem, ſi quam accitis Ætolùm habuiſtis in armis,
Ponite: ſpes ſibi quiſque; ſed hæc quam anguſta, videtis,
Cætera quâ rerum jaceant perculſa ruinâ,
Ante oculos, interque manus ſunt omnia veſtras.
Nec quemquam incuſo: potuit quæ plurima virtus
Eſſe, fuit: toto certatum eſt corpore regni.
Nunc adeo, quæ ſit dubiæ ſententia menti,

Expe-

Στίχ: 301. ΕΚΤΟΡΟΣ ΗΔ' ΑΙΝΕΙΟΥ κτ: Πιστοποιεῖ δὲ τὸν περὶ τούτων κρίσιν παρ' Ὁμήρῳ, καὶ Ἕλενος ὁ Πριαμίδης Ἰλ: Ζ. στίχ. 77.

„Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
„Τρώων καὶ Λυκίων ἐγκέκλιται, ἕνεκ' ἀρίστοι
„Πάσαν ἐπ' ἰθὺ ἐσσὶ, μάχεσθαί τε φρονέοντε·

Καὶ Λυτομέδων Ἰλ: Ρ. στίχ. 513.

„Ἕκτορ, Αἰνεία θ' οἱ Τρώων εἰσὶν ἄριστοι.

Καὶ περὶ τῶν αὐτῶν δὲ, τὸν μαρτυρίαν καὶ ὁ Ποιητὴς ἐπισφραγίσας; Αὐτ: στίχ. 753.

„ . . . . . Δύω δ' ἐν τοῖσι μάλιστα
„Αἰνείας τ' Ἀγχισιάδης, καὶ φαίδιμος Ἕκτωρ.

Στίχ: 302. ΑΧΡΙ ΔΕ' Γ' ΕΣ ΔΕΚΑΤΟΝ . . . . Ὃ καὶ μεγαλαυχῶν Τύρνος Τρωσὶν ἐπετόξευεν, Αἶν: Θ. στίχ. 158.

„ . . . Δεκετὲς τὸς ἄββαλεν Ἕκτωρ.

Στίχ: 304. ΟΥΤΟΣ Δ' ΕΥΣΕΒΙΗ ΠΕΛΕ ΦΕΡΤΕΡΟΣ . . . . : Ἀνδρεία μὲν ἴσον, ὁσιότητι δὲ, καὶ τὸ περὶ τὸ θεῖον σέβας, κρέισσονα Ἕκτορος Αἰνείαν ὁ Διομήδης ἀνακηρύττει· τετὶ δὲ ἐπὶ μὲν τῆς Ὁμήρε Ποιήσεως, ἐχ ἕτω δῆλον, τῇ δὲ τὲ Μάρωνος, καὶ πάνυ πρὲργου γίνεται, τὲ ἀείποτε, ὁσάκις ἂν παρῇ, ἐκ τῆς εὐσεβείας, Pium Æneam, τὸν αὐτὲ Ἥρωα ἐνθειάζειν μὴ παραλείποντος.

Στίχ: 309 ΩΣ ΟΤΕ ΔΗ ΠΕΤΡΑΙ κτ: Ἐπὶ παραπλησίε τῷ θρῷ Ὁμηρος Ἰλ: Β. στίχ. 394.

„ . . . . . Ἀργεῖοι δὲ μέγ' ἴαχον, ὡς ὅτε κῦμα
„Λκτῇ ἐφ' ὑψηλῇ, ὅτε κινήσει νότος ἐλθὼν
„Προβλῆτι σκοπέλῳ . . . . . .

Τὸν παρ' Ὁμήρῳ τετονὶ τόπον, Διονύσ. ὁ Ἁλικαρν. (ἐν τῷ περὶ τῆς Ὁμήρε Ποιήσ: ΚεΦ: Γ·) οἱονεὶ δεῖγμα προβάλλεται τῆς ἐν τῷ διηγεῖσθαι ἐξεργασίας. Ἀλλ' ὐδὲν ἐλάσσων τὸν δυάμιν ἡ τὲ ἡμετέρε ὧδε εἰκών, ἐπὶ ποταμῷ τὸν παραβολλὸν μεθαρμοσαμένη, καὶ τῷ διὰ τῶν προβεβλημένων

κατὰ

Ἕκτορος ἠδ' Αἰνείᾳ Ἀχαιοῖς χεῖρες ἐνέσαν,
Ἄχρι δὲ γ' ἐς δέκατον νίκη ἔτος ἄμβαλεν ἴχνη.
Ἀμφὼ μὲν μένος ἔσσαν ἐρικλυτοι, ἀμφὼ δ' ὅπλοις,
Οὗτος δ' εὐσεβίῃ πέλε φέρτερος. Ἀλλὰ γὰρ ὦκα
Δῆναι δεξιτεράς γε, σιδήρῳ μήτι δ' ἐρίζειν.
Διὴ αἴσις Κρείων, ἅπερ ἡμῖν κῆνος ἀμεῖπτο.
Ὅττι τε οἱ δοκέει περὶ αὐνῆς δηϊοτῆτος.
Ταῦθ' ὡς ἠγγέλθη, ὅμαδος γένετ' Ἀυσονίδῃσιν.
Ὡς ὅτε δὴ πέτραι σφοδροῖς ποταμοῖς προτὶ ἔσαν,
Μυκηθμὸς δ' ἄρ γίγνετ' ἐναιργυμένων δινάων,
Ὄχθαι δ' ἀμβρομέῃσι ῥεέθροιν ἐκπαταγέντων.
Θυμὸς δ' ὡς ὑπανέντες ἀκλὼ ἐγένοντο σιωπῇ,
Πρῶτα Θεὸς καλέσας, τάδ' ὁ κρείων ἔνθρονος εἶπε:
Πρόσθεν ξυμπεφράσθαι ὑπὲρ τῶνδ' ὧδε Λατῖνοι,
Ἦκεν ἐγὼ τὸ θέλοιμι, ἄμεινον ἔῃ τ', ἀ νιῶ γε
Ἀθροίζειν ἀγορλὼ, δὲ τείχεα δήϊοι εἷρξαν·
Οὐχ οἵῃ' εὐφραδέως, πολιῆται, θεογενέσσιν
Ἀυτὰρ ἀηττήτοις πολεμίζομεν, οὓς ἄρα δῆρις
Οὔτις ἀποκναίει παύσαθ', ἀδ' ἡττηθέντας.
Εἴτις ἄρ ἐλπωρὴ σφίσιν Αἰτωλῶν ἐπὶ ὅπλοις,
Τλιὼ δ' ἀπόθεσθε· ἕκαστος οἱ ἐλπὶς· ὁράτε δὲ ὅσση.
Τἄλλα δ' ὅπως ἡμῖν ἠρειπότα ἐξ' ἐν ὀλέθρῳ,
Καὶ σφὶν ταῦτα πρόοπτα, πρόχειράτε ἔπλετο πάντα.

❋ ❋ ❋

κατὰ τὰς ἐκβολὰς πετρῶν, μυκηθμῷ τινι τὸν ἀποτελούμενον ἦχον ἐξεικάσαντος, καθ' ὁμοίωσιν τλιὼ τῶν βοῶν, οἷς οἱ Ποιηταὶ τὸς ποταμοὺς παραβάλλειν χαίρουσιν.

Στίχ: 312 ΘΥΜΟΣ Δ' ΩΣ ΥΠΑΝΕΝΤΕΣ . . . . Πρὸς γὰρ τὸς ὑπὸ πάθος σφοδρᾶ τινος κινουμένους, λέγειν τε καὶ παραινεῖν τὸ δέον ἐπιχειρεῖν, μήπω τῆς παραχῆς μικρὸν ὑπενδούσης, καὶ τῇ ψυχῇ τὸ σάλπιγγος λωφήσαντος, κομιδῇ ἀσωτελὲς καὶ ἀνήνυτον. Ἀληθεύει γὰρ ἐπὶ τῶν τοιούτων εἰπεῖν τὸ Σοφόκλειον.

„Νέος φρενὸς, ὥτ' ἀχρεῖα, φρενοῦσθαι κενά.

Στίχ: 313. ΠΡΩΤΑ ΘΕΟΥΣ ΚΑΛΕΣΑΣ κτ: Εἶθ' ὥσπερ σωαρωγὸς ἔχειν πρὸς Ἰλιὼ δημηγορίαν, εἴτε καὶ μάρτυρας· ἔνθεον δὲ τὸ ἔθος, ἀπὸ Θεοῦ ἐπὶ πᾶσιν ἄρχεσθαι, ἔργου τε ἅπτομένους, καὶ λόγου παντός.

Στίχ: 314. ΠΡΟΣΘΕΝ ΞΥΜΠΕΦΡΑΣΘΑΙ κτ: Τοῦτο γὰρ τὸ Προμηθέως καλὸν, ὅσης ὠφελείας ἐν ἅπασι πρόξενον, ἐδεὶς ἀγνοεῖ.

Στίχ: 317. ΟΥΚ ΟΙΓ' ΕΥΦΡΑΔΕΩΣ κτ: Τὸ ἀσιώπητον καὶ ἐπισφαλὲς τοῦ ἀναλημφθέντος πολέμου, διὰ πολλῶν ὁ βασιλεὺς κατασκευάζειν ἐπιχειρεῖ. Α. ἐν τῷ, πρὸς τὰς θείας σαφῶς ἀπολαύοντας ἀρωγῆς τε καὶ προσασίας, τὸν πόλεμον αὐτοῖς ἐπισπάσασθαι. Β. Ὅτι καὶ πρὸς Ἄνδρας ἐπεχείρησαν μάχεσθαι Ἀρείκλς καὶ Φιλοπολέμους· περὶ ὧν ἄντις καὶ καθ' Ὅμηρον εἴποι, ὅτι μάχης ἀκόρητοι ἔασσιν, ὃς τε δὴ ἡ προλαβοῦσα ἥττα συσσείλαι κατίσχυσε, καὶ τὸ θάρσος ἀναγκάσαι ἀποβαλεῖν. Γ. ὅτι καὶ ἧς τὸ Λατινικὸν εἶχεν ἐλπίδος ἐκ τῆς Διομήδους ἐπικουρίας τε καὶ σωαντιλήψεως, ἐκπεπτώκασι. Δ. ὅτι καὶ τὰ πράγματα σφίσιν ὑποῤῥεῖ, καὶ πρὸς ἀλκλὼ ἐ πάνυ ἕυθετα ἐσὶ, καὶ αὐτὸς, φησὶν, εἶναι μάρτυρας.

Expediam, & paucis (animos adhibete) docebo.
Eſt antiquus ager, Thuſco mihi proximus amni,
Longus in occaſum, fines ſuper uſque Sicanos:
Aurunci, Rutulique ſerunt, & vomere duros
Exercent colles, atque horum aſperrima paſcunt.
Hæc omnis regio, & celſi plaga pinea montis
Cedat amicitiæ Teucrorum: & fœderis æquas
Dicamus leges, ſociosque in regna vocemus.
Conſidant, ſi tantus amor, & mœnia condant.
Sin alios fines, aliamque capeſſere gentem
Eſt animus, poſſuntque ſolo decedere noſtro:
Bis denas Italo texamus robore naves,
Seu plures complere valent: jaeet omnis ad undam
Materies: ipſi numerumque, modumque carinis
Præcipiant: nos æra, manus, navalia demus.
Præterea, qui dicta ferant, & fœdera firment,
Centum oratores primâ de gente Latinos
Ire placet, paciſque manu prætendere ramos:
Munera portantes aurique eboriſque, talenta,
Et ſellam, regni trabeamque inſignia noſtri.
Conſulite in medium, & rebus ſuccurrite feſſis.
Tum Drances idem infenſus, quem gloria Turni
Obliquâ invidiâ ſtimuliſque agitabat amaris.
Largus opum, & linguâ melior, ſed frigida bello
Dextera, conſiliis habitus non futilis auctor.

Sedi-

❁ ❁ ❁

Στίχ: 324. ΟΥΤΙΝ' ΟΝΟΣΣΟΜΑΙ. Τύρνον ἔοικεν ἐνταῦθα παρασημαίνειν· ἂν μὴ μέμφεσθαι λέγων, ὅσον ἐχὶ διαῤῥήδην ἐστὶν ἐκ πλαγίου μεμφόμενος, ὡς τῶν κακῶν γεγονότα παραίτιον· τὸ δ' (ἔτιν' ὀνόσσομαι) ἔστι κ) ἁπλῶς νοεῖν, ὡς εἰ λέγοι: γενναίως μὲν ἐπὶ τῷ ἀγῶνος πάντες ἠνέχθησαν οἱ ἡμέτεροι, καὶ οὐδὲν ἀπέλειπον, ὅσον ἐπ' αὐτοῖς ἦν, προθυμίας τε καὶ δυνάμεως, (ὃ καὶ διὰ τῶν ἐφεξῆς καθομολογεῖ) ἀλλὰ τυχάλλως.

Στίχ: 328 — 345. ΕΣΤΙΜΟΙ ΑΓΡΟΣ ΔΗΝ ΑΡΧΑΙΟΣ κτ: Πρὸς συμβάσεις ὁ γηραιὸς ἄναξ τὰς οἰκείας παραινεῖ ἀποδοῦναι. προβάλλεται δὲ αὐτὸς ἐκ τῶν ἰδίων, ἀγρὸν τοῖς περὶ Αἰνείαν ἀφορίσαθαι ὃν οἰκήσαιεν, ἐπὶ σωθήναις ἅις πρεπέσαις, καὶ δὶ εἰρήνης ἔτω προσοικειώσαθαι, οἷς διὰ τῶν ὅπλων ἀπελάσαι ἐ συμφερόντως διενοήθησαν. Ἰχνογραφεῖ δὲ καὶ τὰ ὅρια τῷ ἀγρῷ: ἀπὸ μὲν τῷ ποταμῷ Τίβριδος· (ὃν Θύσκον ἀποκαλεῖ, ὡς ἀπὸ τῶν Τυῤῥηνῶν ὀρέων προχεόμενον, καθάπερ ἀλλαχῇ εἴρηται, (B. Αἰν: στίχ. 838.) ἀρχόμενα, πρὸς Δυσμὰς δὲ ἄχρι τῶν Σικανῶν (τῶν πάλαι μὲν τηνικῦτα ἐκείνην ἐχόντων, ὑπὸ δὲ Πελασγῶν ἀπελαθέντων·) παρατείνοντα. Τοῦτο δέ, φασὶ, τὸ ἀπὸ Τίβριδος εἶναι χωρίον, ἕς γ' ἐπὶ τὸν Νυμικὸν ποταμὸν ἐφαπλόμενον· ἐν ᾧ δὴ καὶ ὑπὸ Αἰνείᾳ ὕστερον, μέσον Λαυρεντῶν καὶ Ἀρδέας, ἐκτίσθη ἡ πόλις τὸ Λαβίνιον.

Στίχ: 339. . . . . ΕΣΠ ΓΑΡ ΥΛΗ. Ναυπηγήσιμος δηλονότι.

Στίχ: 341. . . . . ΧΕΙΡΑΣ ΚΑΙ ΝΗΪΑ ΠΑΝΤΑ. Ἐργάτας ναυπηγὲς, καὶ τὰ πρὸς ναυτιλίαν χρειώδη.

Στίχ: 346. ΚΑΙ ΔΙΦΡΟΝ . . . . ΚΑΙ ΑΛΟΥΡΙΔΟΣ ΑΡΧΙΚΟΝ ΑΝΘΟΣ. Καὶ θῶκον Ἡγεμόνι πρέποντα, καὶ Ἀλεργίδα τηβέννην, Trabeam: περὶ ἧς Z. Αἰν. στίχ. 201.

Στίχ:

Οὕτιν' ὀνόσσομαι· ὅσσον ἐπὶ πέρι ἠνορέης περ,
Πᾶσα παρέξη, σῶμα δὲ πᾶν ὥπλισαι κάρτος.
Νῶϊ δ' ὅ, τι μηδομένῳ αὐτῷ μοι φρεὶ ὑποβάλλει,
Αὐτίκα ἐξερέω, (πρόσεχοιτε) ὑμῖν δ' ὑποθήσω.
Ἔξι μοι ἀγρὸς διὼ ἀρχαῖος, Τύβριδος ἄγχι,
Πρὸς δυσμὰς ὀρόων, Σικανῶν ἐς πείρατα μακρὸς·
Αὐρύγκοι Ῥοτόλοι τε γεηπονέοντες τρηχὺ
Τίνει βωλοκοποῦσιν, ὀρεινὰ δὲ βοσκομένοισι.
Πᾶς μὲν χῶρος ὅδε, κλιτύς τε ὄρος πιτυοῦσα,
Ἐκχωρείσθω δῆ Τεύκρων φιλίη, ἐν δ' ἴσαις
Σωσθεσίαις ἡμῖν ἀρχῆς κοινωνοὶ ἔσων.
Ναιεσθων δ' ὧδ', ἢν ἐθέλωσιν, ἰδ' Ἄσυ δομείτων.
Αἴκεν ὄρος δ' ἑτέρως, ἕτερόν τ' ἐπὶ ἔθνος ἰκέσθαι
Θυμὸς ἀνώγει, καὶ θέμις ἔνθεν τάς δε ἀπαίρειν,
Ἐκ δρυὸς Ἰταλίδος σφίσι τεύξομεν εἴκοσι νῆας,
Καὶ πρὸς δ', ἢν ῥὰ δέοι· παρὰ ῥείθροις ἔξι γὰρ ὕλη.
Οἱ μὲν, ἀριθμὸν ἀτὰρ μέτρον νηῶν γε κελέσθων,
Οἱ δ' ἐπορέξωμεν, χεῖρας καὶ νῆϊα πάντα.
Πρὸς δ' ἔτι ἐξ ἔθνος ἑκατὸν λεκτάς γε Λατίνων
Ἔναδεν ἐκπέμπειν, κηρυκεύσεσθαι Τεύκροις,
Εἰρωαίκας μὲν κλῶνας χερσὶ προτείνοντας,
Δῶρα τε οἰσομένους, χρυσᾶ σκαθμὸν, ἠδ' ἐλέφαντος.
Καὶ δίφρον δ' ἐπὶ τοῖς, καὶ ἀλκυονίδος ἀρχικὸν ἄνθος.
Ταῦθ' ἅπερ ἡμετέρῳ ἐς ἀγλαὰ σήματα Κάρτος.
Ἦδ' οὕ μῆτις καὶ σφίσι νῶϊ κοινῇ προτεθείσθω,
Φρασσομένοισιν ὅπως τοῖς πράγμασιν οἷον τ' ἀλέξειν.
Τῆμος ἄρα Δράγκης, ἔχθιστος ὃς ἔπλετο Τύρνῳ,
Οἵ τε σιλοτυπῶν, πικροῖς ὑπενύσσετο κέντροις·
Ἀφνειὸς μάλα· χέλεσ' ἀρείων· αὐτὰρ ἐν ὅπλοις
Χειρὶ ἀλαπαδνὸς ὅδ', ἀλλ' ἀγορῇσιν μῆτιν ἀμύμων,
Δεινὸς δ' ἐν σάσεσιν· (μητρὸς γε ἐῇφιν ἀγήνωρ,
Ἔμπης δ' ἐκ γενετῆρος ἀσήμου ἐκγεγαὼς περ·
Στῆ δ' ὅγ' ἐνίπτων τοῖς δε, ἀτάρ τε χόλως ἐπαέξων.

Οὐκ

Στίχ. 350. . . . . ΔΡΑ'ΓΚΗΣ, ΕΧΘΙΣΤΟΣ . . . . Ὅπως γὰρ πρὸς Τύρνον διέκειτο Δράγκης ἀνωτέρω Φθάσας ὁ Μάρων περανεκρέσατο· ἐνταῦθα δὲ, τὸ παρὰ Ὁμήρῳ Πολυδάμαντος, τὸν παρὰ τῷ Μάρωνι τοιοῦτον Δράγκιον, Οὐρσῖνος εἶναι, φησὶν, ἀπομίμημα. Ἰλ: Μ. 210.

Στίχ: 352. ΑΦΝΕΙΟ'Σ ΜΑ'ΛΑ κτ: Οὐκ ἀσκόπως παρετέθη τὸ (ἀφνειὸς μάλα.) εἰ γὰρ καὶ ἄλλοις συγγερᾶ τὰ τῆ πολέμῳ, καὶ ἀποτρέπαια, ἀλλὰ τοῖς ἐν πλέτῳ περισσίᾳ ἐξόχως· ὅτι ἐδὲ τύχῃσι ἀμεῖψαι ἐλπίζουσι τιὰ ἐπὶ τὸ βέλτιον, καὶ ὅτι τῶν ἄλλων ζημιῆσθαι κινδυνεύουσι πλείονα.

Στίχ: 353 ΧΕΙΡ' ΑΛΑΠΑΔΝΟ'Σ κτ: Ὁ πρὸς ὑπερθυμὸν Ἀγαμέμνων ἐπέρριψε Διομήδει. Ἰλ: Δ. στίχ 399 περὶ Τυδέως εἰπὼν . . . . . Ἀλλα τὸν ἠὸν.

„Γείνατο εἶο χέρεια μάχῃ, ἀγορῇ δὲ τ' ἀμείνω·

Στίχ: 354. ΔΕΙΝΟ'Σ Δ' ΕΝ ΣΤΑ'ΣΕΣΙ . . . . Στασιαστὴς μὲν μάλα γενναῖος, πολεμιστὴς δ' ἔτοι μάλα, ὁμοίως τῷ Ὁμηρικῷ Θερσίτῃ.

Seditione potens (genus huic materna ſuperbum
Nobilitas dabat, incertum de patre ferebat)
Surgit, & his onerat dictis, atque aggerat iras.
Rem nulli obſcuram, noſtræ nec vocis egentem
Conſulis, ô bone Rex: cunctì ſe ſcire fatentur,
Quid fortuna ferat populi; ſed dicere muſſant.
Det libertatem fandi, flatuſque remittat,
Cujus ob auſpicium infauſtum, moreſque ſiniſtros
(Dicam equidem, licet arma mihi mortemque minetur)
Lumina tot cecidiſſe ducum, totamque videmus
Conſediſſe urbem luctu: dum Troïa tentat
Caſtra, fugæ fidens, & cælum territat armis.
Unum etiam donis iſtis, quæ plurima mitti
Dardanidis, dicique jubes, unum, optime regum,
Adjicias: nec te ullius violentia vincat;
Quin natam egregio genero, digniſque hymenæis
Des pater, & pacem hanc æterno fœdere jungas.
Quod ſi tantus habet mentes & pectora terror,
Ipſum obteſtemur, veniamque oremus ab ipſo:
Cedat jus proprium regi, patriæque remittat.
Quid miſeros toties in aperta pericula cives

Proji-

❋ ❋ ❋

Στίχ: 362. (ΕΙ᾽ΠΩ ΚΑΙ᾽ ΓΑ᾽Ρ . . . . Ἰλ: Κ. στίχ. 115.
„Νεικέσω, εἴπερ μοι νεμεσήσεαι, οὐδ᾽ ἐπικεύσω.

Στίχ: 366. ΦΥ᾽ΖΗ, ΈΗ῎ ΠΙ᾽ΣΤΝΟΣ. . . . . Τὸ ἐπισυμβὰν Τύρνῳ, ἐν ᾧ τὸ Αἰνείᾳ οἱ ἐποφθὲν εἴδωλον ἦν ἐπελαύνων, Αἰν: Ι. στίχ. 670 — 727.) ὡς φυγὶῶ ὁ Δράγκης τᾷ ἀνδρὶ κακοήθως ὧδ᾽ ἐπισκώπτει.

Στίχ: 370. ᾽ΑΛΛ᾽ ᾽ΕΣΘΛΩ῎ ΣΥ᾽ ΘΥ᾽ΓΑΤΡΑ ΠΟ᾽ΣΕΙ κτ: Τᾧθ᾽ ὅπερ καὶ τῷ Ἀνακτι ἦν κατ᾽ εὐχιὼ. (Ζ. Αἰν: στίχ. 288.) πρὸς τύπον δὲ εἴρηται τᾧ ὑπ᾽ Ἀντήνορος προβληθέντος, παῤ Ὁμήρῳ Ἰλ: Η. στίχ. 350.
„Δεῦτ᾽ ἄγετ᾽, Ἀργείῳ Ἑλένιω, κτήματθ᾽ ἅμ᾽ αὐτῇ
„Δώομεν Ἀτρείδῃσιν ἄγειν . . . .
Ὡς Ὀυρσῖνος πέ: εισαι ἐν ταῖς Παραθέσεσι. Dubium non eſt, quin expreſſerit locum illum.

Στίχ: 373 — 379. ΤΟ῎ΙΟ ΛΙΤΩ᾽ΜΕΣΘΑ, κξ. Ὅσιω οἷον τὸ χῆμα κινῆσαι κατὰ Τύρνε τιὼ νέμεσιν! Καθικετεύσωμεν, φησὶν, ὦ παρόντες ἅπαντες, Τύρνον, εἴπως ἡμῖν ἐπιτρέψει τοῖς ἡμῶν χρῆθαι δικαίοις, ἵνα τᾧ ἐπικειμένῳ πολέμῳ ἀπαλλαξωμεν τὶω ἡμῶν πατρίδα, ἵνα τὰς ἐλευθὰς συμπολίτας ἡμῶν διασώσωμεν τᾧ ὀλέθρῳ Εἶτα διὰ τῆς ἐπιτροφῆς τεχνηέντως δείνωσιν ἐπιπροσίθησι τῇ καταφοξᾷ, ὡς ἐξ ἁπάντων τᾷ πρωταιτίῳ παντὸς τᾧ κακᾧ προσφθεγγόμενος.

Στίχ: 377. . . . . Ὦ ΛΑΤΙ᾽ΟΥ᾽ ᾽ΑΡΧΑ᾽ΙΤΙΕ ΜΟ᾽ΧΘΩΝ· Οὐ μιᾶς τινος ἢ μόνης πόλεως, ἀλλὰ τοῦ σύμπαντος ἔθνες. (Σέρβ.)

Στίχ: 378. . . . ΦΙΛΙ᾽ΗΝ Σ᾽ Α᾽ΙΤΟΥ᾽ΜΕΘΑ ΠΑ᾽ΝΤΕΣ, Τὶω πρὸς Ἰὰς πολεμίας Τεύκρες, ἰῶ ἄν αὐτὸς ἐπιτρέψαις· Σὲ, Τύρνε, τὶω εἰρὶνίω οἱ πάντες αἰτᾰμεν· πῶς δὲ δώσεις; εἰ πολέμων αὐτὸς ἀπόχοιο, εἰ τὶω Λαβινίαν ἑκὼν ὑποχωρήσαις Λῑνέια τετὶ γὰρ εἰρὶνης ἐχέγγυον μόνον σεῤῥᾶς καὶ ἀμεταθέτε, ὅπερ καὶ ἀνωτέρω πρὸς Λατῖνον ἐφασκε. στίχ. 371.
„Δὸς, Πάτερ, εἰρὶνίω τε ξιώθεο ἔμπεδον αἰεὶ.

Στίχ:

Οὐκ ἐπ' ἀδήλοις, οἷς τε καὶ ἡμετέρῃ δέοι αὐδῇς,
Βαλιὼ ἴζης, ὦ Ἄνα! εὖ γὰο ἁπάντεσι πρᾶπτον,
Τίς πτε λεῶ δαίμων, ἐξαπεῖν πᾶς δ' ἐπιμύξει.
Ἐνδιδότω ἐνέπειν, οἰδήματος ὄγκον ἀνείτω,
Τᾶ διὰ οἰωνᾶς τε ἀπότμας, ἔκτροπα δ' ἤθη,
(Εἶπω καὶ γὰο κ' ἦν μοι ἀπειλέοι ὅπλα ἰδ' οἶτον.)
Τόσσα ῥὰ ἡγεμόνων φάεα πτωσαντα ὁρῶμεν,
Πᾶν τε καθιζῆσαν γοεροῖς ἐνὶ πένθεσιν Ἄξυ.
Εὖθ' ὅδε καππέρσαι πειρᾶται Τρώϊον ἔρκος,
Φύζῃ ἐῇ πίσωος. θροέει δ' ὅλον ἀρανὸν ὅπλοις.
Ἓν μὲν τ' ἐν πλείοις, Βασιλεῦ, δωρήμασιν, ὅσσα
Δαοδαμιδῶν ἀγέμεν κέλεαι ἀοχῷ, προτιθείης·
Μή σε βιησαμένη νικήσειέν τις ἀνάγκη,
Ἀλλ' ἐθλῷ σὺ θύγατρα πόσει, καλοῖς θ' ὑμεναίοις,
Δὸς πάτερ, εἰρώίω τε ξώθεο ἔμπεδον αἰεὶ.
Αἴ δέ κε τὼς σὲ δέος κατέχει Φρένας, ἠδέ τε ἦτορ,
Τοῖο λιτώμεθα, ξυγγνῶναι τ' ἐκλιπαρῶμεν,
Ἐκχωρεῖν τε Ἄνακτι δικαίοις χρῆσθαι ἑοῖσι,
Καὶ καθυφέντα φίλης αὐτᾶ φείδεσθαι πάτρης.
Τίπτε ῥὰ δὴ κακότησι τοσαῖς δ' οἰκτρὰς πολίτας
Ἐκ προϊάπτεις, ὦ Λατίν ἀρχαίτιε μόχθων;
Οὐ σώζει δήρη· φιλίω σ' αἰτώμεθα πάντες,
Τύρνε, καὶ εἰρώίης ὅ ῥ' ἐχεγγυον ἔμπεδον οἶον.
Πρῶτος ἐγὼ, τόν περ σοι δυσμενέ' ἔμμεν' ὀΐω,
(Οἶκ δ', ἐκ ἀλέγω·) ἱκετης πάρα φείδεο τῶν σῶν.
Ἄββαλε δὴ χόλον, ἐκ δὲ κραθεὶς χάζεο· ἄδδιω
Ὠπόπαμεν κταμένους, λίπομεν δ' ἀγρὰς πανερήμους.
Ἤ (κλέος ἦν σε φέρει, μένος αἴ κ' ἐν σήθεσι τόσσον,
Τὼς σιὼ δ' ἔχεν ἔρως κραδίην προικὸς βασιλείης·)
Τολμῶν ἀντιβίω θάρσει πρὸς δήϊον ἴξειν.

❋ ❋ ❋

Στίχ: 380—382. ΠΡΩΤΟΣ ΕΓΩ· κτ: Τὸ. ἐχθρὸς, ἢ μὴ, νομίζεθαι παρὰ Τύρνε, ἐν ἴσῳ τίθησιν ὁ Δράγκης ἐκεῖνο δὲ ὑποτεθεὶς, ὅμως ἱκέτης παρίσταται, καὶ Φίλος ἅτως ἐφέλκεται τὸς ὑπὲρ ὧν ἱκετεύει (Φείδεο τῶν σῶν.) Ταύτῃ δ' ἐκμειλίξαθαίπως τὸν ἄνδρα πειρώμενος Ἄββαλε χόλον·) ἅμα καὶ ἐρεθιστικόν τι προσεπιτοξεύει καὶ κέρτομον Εἶκε, φησὶν, ἀποβληθεὶς, καὶ τιὼ ἀνάγκῃ ποίει Φιλοτιμίαν· εἴ ε ἰὰ τιὼ ἀπὸ τᾶ Αἰνείᾳ προλαβᾶσαν φυγιὼ τᾶτο ἐπιῤῥίψας, ἧς καὶ ἀνωτ: στίχ. 366. ἐμνήθη· εἴτε καὶ διὰ τιὼ τῶν γάμων τῆς Λαβινίας ἀπότευξιν.

Στίχ: 383. ΩΠΟΠΑΜΕΝ ΚΤΑΜΕΝΟΥΣ. ΛΙΠΟΜΕΝ Δ' ΑΓΡΟΥΣ ΠΑΝΕΡΗΜΟΥΣ. Ὅμοια τὰ πρὸς Πάριν εἰρημένα ὑφ' Ἕκτορος Ἰλ: Ζ. στίχ. 527.

„Λαοὶ μὲν φθινύθουσι περὶ πτόλιν, αἰπύ τε τεῖχος
„Μαρναμένοι Σέο δ' εἵνεκ' ἀϋτή τε πτόλεμός τε
„Ἄξυ τόδ' ἀμφιδέδηε

Στίχ: 384.—491 Ἤ (ΚΛΕΟΣ Ἦν ΣΕ ΦΕΡΕΙ κτ. Ἀπογνὰς οἷον Δράγκης τᾶ εἰς τὸ εἰρωνικὰ φρονεῖν Τύρνον ἀναπεῖσαι ἃ ἔχειν, εἰς τἐναντίον τρέπει τὸν λόγον, καὶ λοιπὸν αὐτῷ, φησιν, εἶναι τὸ εἰς μονομαχίαν Αἰνείᾳ προκαλεμένῳ

Projicis, ô Latio caput horum & cauſa malorum?
Nulla ſalus bello: pacem te poſcimus omnes,
Turne, ſimul pacis ſolum inviolabile pignus.
Primus ego, inviſum quem tu tibi fingis (& eſſe
Nil moror) en ſupplex venio, miſerere tuorum;
Pone animos, & pulſus abi: ſat funera fuſi
Vidimus, ingentes & deſolavimus agros.
Aut (ſi fama movet, ſi tantum pectore robur
Concipis, & ſi adeo dotalis regia cordi eſt)
Aude, atque adverſum fidens fer pectus in hoſtem.
Scilicet, ut Turno contingat regia conjux,
Nos, animæ viles, inhumata, infletaque turba,
Sternamur campis: Et jam tu, ſi qua tibi vis,
Si patrii quid Martis habes, illum aſpice contra,
Qui vocat.

Talibus exarſit dictis violentia Turni:
Dat gemitum, rumpitque has imo pectore voces:
Larga quidem ſemper tibi, Drance, copia fandi,
Tum cum bella manus poſcunt, patribuſque vocatis
Primus ades: ſed non replenda eſt curia verbis,
Quæ tuto tibi magna volant, dum diſtinet hoſtem

Agger

❀ ❀ ❀

μένῳ τολμᾶν χωρῆσαι, εἴτις οἱ περίεσι δυνάμις· καὶ σαρκασμὸν τῷ λόγῳ ἐπισωάπτει:

„Ἦ νύ τοι ὥς κεν ἔχει Τύριος βασίλειον ἄκοιτιν κτ:

Οὗ, ἐδὲν ἂν γένοιτο θυμοδακέστερον ἐδ' ἰχυρότερον, αἰζηὸν ἀγέρωχόν τε καὶ γαῦρον διαταράξαι.

Στίχ: 392. . . . . ΒΙΗ ΈΞΗΤΟ ΓΕ ΤΥΡΝΟΥ Κατὰ τὴν Ὁμήρῳ σωὴ θη περίφρασιν: (βίη Ἡρακλείη)

Στίχ: 393. ΩΧΘΗΣΕΝ κτ: Ἰλ. Α. στίχ. 188.

„Ὣς φάτο, Πηλείωνι δ' ἄχος γένετ' . . . .

Στίχ: 394. ΔΡΑΤΚΗ, ΑΙΕΙ' ΤΟΙ ΜΥΘΟΙ κτ: Ἰλ: Β. στίχ. 596.

„Ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοὶ εἰσὶν
„Ὡς ποτ' ἐπ' εἰρήνης· πόλεμος δ' ἀλίαστος ὄρωρεν.

Στίχ. 395—401. ΕΥΤ' ΕΠΙ' ΤΣΜΙΝΗΣ ΧΡΕΙΩ' ΧΕΙΡΩΝ κτ: Ὡς καὶ ἀνωτ: στίχ. 352.

„ . . . . . χείλεσ' ἀρείων· αὐτὰρ ἐν ὅπλοις
„Χειρὶ ἀλαπαδνὸς ὅδ', ἀλλ' ἀγορῇσι μῆτιν ἀμύμων.

Τὸ μέν τοι ὑπὸ τῦ Ποιητῦ ἐκεῖ ῥηθὲν (ἀρείων τε, καὶ ἀμύμων.) εἰς περιττιὼ τινα ἐνταῦθα καὶ ἄκαιρον ἀδολεχίαν μεταληφθὲν ὑπὸ τῦ Τύρν τρέπεται, λαβραγόραν τινὰ τὸν Δράγκιν ἀποφαίνοντος, καὶ λῆρον ἄντικρυς.

Στίχ: 402—404. ΤΟΦΡΑ ΜΕ, ΔΡΑΤΚΑ, κτ: Ὡς εἶπερ ἔφη, τότε μοι ἐδωάσσο δειλίαν ἐποιεῖδίζειν, ὁπότε καὶ αὐτὸς σαυτὸν κατὰ τῶν πολεμίων ἀριστεύσαντα ἐπιδείξαθαι εἶχες· καὶ πλαγιώτερον ἔτως ἀριστείας ἑαυτῷ ἀπονέμει, ὧν ἐκεῖνον ὡς ποῤῥωτάτω ἀπέχειν διασημαίνεται.

Στίχ: 405—410. ΕΣΤΙ ΔΕ ΠΕΙΡΗΘΗΝΑΙ κτ: Προκαλεῖται Τύρνος τὸν Δράγκιν κατὰ τῶν πολεμίων ἅμα σὺν αὐτῷ προελθεῖν πειράσαθαι, ἐγγὺς ὄντων· μηδὲ γλώσσῃ μὲν τὸν πολεμιστὴν ἐπιδείκνυθαι, ποσὶ δὲ τὸν δειλανδρεῖντα ἐμφαίνειν.

Στίχ:

Ἦ νύ τοι, ὡς κεν ἔχοι Τύρνος βασίλειον ἄκοιτιν
Ἡμεῖς ὄχλος ἀχρεῖος, ἀκηδέες, ἀκτερέϊστοι,
Κεισόμεθ' ἀμπεδον. Ἀλλὰ γὰρ, εἴτις δήποτε νίκυς
Σοὶ προσένεξιν, ἔχεις δέ τι γᾶν πατρώϊον Ἄρευς
Εἶ' ἄγε πρὸς κεῖνον καλέοντα ἐπαντωπῆσαι.
Τοῖς δ' ἔπι χωσαμένοιο βίη ἐξῆπτο γε Τύρνε,
Ὤχθησεν δ' αὐτὸν, μυχόθεν δ' ἄπο ῥῆξατο γῆρυ·
Δράγκη, αἰεἰτοι μῦθοι φίλοι ἄκριτοι εἰσὶν·
Ἔυτ' ἐπὶ ὑσμίνης χρειὼ χειρῶν, ἀγορηώδε
Σὺ πρῶτος πάρα· ἀ χρὴ δ' ἔμπης λαβραγορέυειν,
Βελιὼ τ' ἐμπιπλᾶν ἐπέων μεγάλων πολλῶν τε,
Ἄττα περ ἀσφαλέως προϊεις βάζων πτερόεντα,
Εἰσόκεν ἀντιπάλης τείχη ἄπο σεῖο διάργει,
Οὐδ' ἐπικυμαίνει ἐνὶ τάφροις πρόρρεον αἷμα.
Τοιγάρ τοι βώξρει ληρῶν, ὡς εἰωθάς περ.
Τόφρα με, Δράγκα, δέος ὀνοταζέμεν, ὄφρα ῥὰ Τεύκρων,
Σωρὸς δεξιτερὴ σέο ἐν κονίησ' ἐπινήσῃ,
Ἂν δ' ἀγρὸς σήσῃ ἐπίσημα τροπήϊα πάντῃ.
Ἔξι δὲ πειρηθῶμαι ὅσον σθένος ἠνορέης μοι.
Ἦπε δ' ἀντιπάλης, ἅτοι μάλα τηλόσ' ἑόντας
Δεῖ διζήμενας, ἀμφὶ γὰρ αὐτοῖς τείχεσιν ἔσαν.
Δεῦρ' ἴμεν ἀντία ἄγχι παρῆσιν, τίπτ' ἀναβάλλη;
Ἦ ῥὰ Ἄρης αἰένσοι ἐπὶ γλώσσης ἀκολάστ
Στήσεται, ἠδ' ἐν τοῖς δε τεοῖς ποσὶ Φυξαλέοισιν;
Αὐτὸς ἀπεκρόθιω; ἦ κεἰ, μιαρώτατε πάντων,
Ἔσθ' ὅς μ' ἐκπροθέντα ὀνόσσεται, ὅς θεάσαιτο
Ἰλιακοῖσι τόσοις οἰδάντα ἐν αἵμασι Θύβριν,

Εὐάν-

❁ ❁ ❁

Στίχ: 409. . . . . ἘΠΙ' ΓΛΩΣΣΗΣ ἈΚΟΛΑΣΤΟΥ. Ὁ Μάρων: Ventosâ in linguâ· (ἐπὶ γλώσσης ἀνεμώδες.) ὅπερ ἴσον τῷ ἐπὶ γλώσσης, ἥτις ἁπλῶς ἀέρα δαίρει, ἀνεμώλια βάζει, μάταια, κενὰ ψοφεῖ· οἷα ἡ τῦ μεγαλοφρημονεῦντος, τὰ ὑπὲρ ἑαυτὸν τὰ ψευδῆ φυσῶντος, καὶ διακομπάζοντος.

Στίχ: 410. . . . . ἘΝ ΤΟΙΣ ΔΕ ΤΕΟΙΣ ΠΟΣΙΝ. Ἡ δεῖξις (ἐν τούτοις) ἐπιτείνει τὴν ὀλιγωρίαν καὶ ἐξυβρίσεως.

Στίχ: 411. ἌΥΤΟΣ ἈΠΕΚΡΟΥΣΘΗΝ; . . . . ΜΙΑΡΩΤΑΤΕ . . . . Πρὸς τὸ ὑπὸ Δράγκα εἰρημένον ἐκεῖνο: στίχ. 382. (Ἐκ δὲ κρυθεὶς χάζεο.) ὅπερ, ὡς μάλιστα αὐτῷ θυμοδακὲς γεγονὸς, ἀπὸ τῦ ἠπιωτέρυ τρόπυ τῦ λέγειν, εἰς τραχύτητα παρεξέφερε, (μιαρώτατε,) τὸν ἀπολογέμενον.

Στίχ: 412. Ἔ Θ ΌΣ Μ' ἘΚΚΡΟΥΣΘΕΝΤΑ κτ: Τὸν προσριβέντα αὐτῷ τῆς φυγῆς μῶμον ἐκ τῶν πεπραγμένων οἱ ἀποσκευάζεται, ὡς καὶ παρὰ Ὁμήρῳ Νέστωρ, ὅπερ ἄν τῷ Διομήδει ὁ Ἕκτωρ προσρίψειεν. Ἰλ. Θ. στίχ. 152.

„Ὤμοι Τυδέος υἱὲ . . . . . .
„Εἴπερ γάρ σ' Ἕκτωρ γε κακὸν καὶ ἀπάλκιδα φήσει,
„Ἀλλ' ἀ πείσονται Τρῶες καὶ Δαρδανίωνες,
„Καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀασιάων,
„Τάων ἐν κονίῃσι βάλες θαλερὸς παρακοίτας.

Στίχ: 413. . . . . ΟΙΔΟΎΝΤΑ ἘΝ ΑΙΜΑΣΙ ΘΥΎΒΡΙΝ, Μήποτε μεῖζον τῦ ἐν αἵμασιν οἰδαλέυ Θύβριδος, τὸ τῆς Τύρνυ περιαυτολογίας ταύτης οἴδημα; Ἀλλ' ἡ ὑπερβολὴ τῆς Ποιητικῆς ἐξὶν ἐξυσίας· ἔξεσι δὲ καὶ ἄλλως, ἀνδρὶ

Agger murorum, nec inundant ſanguine foſſæ.
Proinde tona eloquio, ſolitum tibi: meque timoris
Argue tu, Dranee: quando tot ſtragis acervos
Teucrorum tua dextra dedit, paſſimque trophæis
Inſignis agros. Poſſit quid vivida virtus,
Experiare licet; nec longe ſcilicet hoſtes
Quærendi nobis: circumſtant undique muros.
Imus in adverſos; quid ceſſas? an tibi Mavors
Ventoſa in lingua, pedibusque fugacibus iſtis
Semper erit?
Pulſus ego? aut quiſquam meriro, fœdiſſime, pulſum
Arguet, Iliaco tumidum qui creſcere Tybrim
Sanguine, & Evandri totam cum ſtirpe videbit
Procubuiſſe domum, atque exutos Arcadas armis?
Haud ita me experti Bitias & Pandarus ingens,
Et quos mille die victor ſub Tartara miſi,
Incluſus muris, hoſtilique aggere ſeptus.
Nulla ſalus bello? capiti cane talia demens
Dardanio, rebuſque tuis; proinde omnia magno
Ne ceſſa turbare metu, atque extollere vires
Gentis bis victæ; contra premere arma Latini.

Nunc

❁ ❁ ❁

ἀνδρὶ, Ἰῷ ἐν ἀγῶσιν ἐκ ἀγεννεῖ μὲν ἀναφανέντι, ἐκ δυσμενείας δὲ εἰς δειλίαν ὑπό τινος διαβαλλομένῳ, ἰταμώτερόντι προσνεανιεύσασθαι.

Στίχ: 414. . . . . ΣΥ᾽Ν ᾽ΑΜΜΙΓΑ ΦΥ᾽ΤΛΗι, Διὰ τὶὼ τῦ Πάλλαντος ἀναίρεσιν.

Στίχ: 416—418. ᾽ΟΥ ΤΟ᾽ΙΟΝ Μ᾽ ᾽ΕΓΝΩΝ ΒΙΤΙ᾽ΑΣ, ΚΑΙ᾽ ΠΑ᾽ΝΔΑΡΟΣ κξ: ᾽Ορα Θ. Λὶν: στίχ. 695— ἄχρι τέλους.

Στίχ: 419. . . . . ΤΑ᾽Δ᾽ ᾽ΑΕΙΔΕ ΚΑΡΗ᾽ΑΤΙ ΤΕΥ᾽ΚΡΟΥ,
420. ΝΗ᾽ΠΙΕ, ΣΟΙ᾽Σ Θ᾽ ΕΤΑ᾽ΡΟΙΣΙΝ κτ: . . . . Ἐξ ἐκείνε λῃφθὲν ἔοικεν, ὅπερ Εὐρύμαχος ἀπετείνατο πρὸς Ἀλιθέρσιν, Ὁδυσ: Β. στίχ. 178.

„᾽Ω γέρον, εἰ δ᾽ ἄγε νῶϊ μαντεύεο σοῖσι τέκεσσιν
„Οἴκαδ᾽ ἰὼν, μήπε τι κακὸν πάσχωσιν ὀπίσσω.

Στίχ: 422. ΔΙ᾽Σ ᾽ΗΤΤΗΘΕ᾽ΝΤΟΣ . . . . ᾽Ορα Θ. Λὶν: στίχ. 620. Αὐτ:.

Στίχ. 423. ΝΥ᾽Ν ΚΑ᾽Ι ΜΥΡΜΙΔΟ᾽ΝΩΝ ᾽ΑΡΧΟ᾽Ι κτ: Τωθασικῶς.

Στίχ: 425. ΠΟ᾽ΝΤΟΥ Δ᾽ ᾽ΑΔΡΙΑΚΟ᾽Υ, ῾ΡΟ᾽ΟΣ ᾽ΑΥΦΙΔΟΣ, Ο᾽ΙΔΜΑ ΔΙΔΡΑ᾽ΣΚΕΙ Τοσέτω γὰρ ἀδύνατον τὸ διὰ τωθασμὲ ῥηθὲν, ἤτοι τὸ τοῖς Ἑλλιώων ἀρίστοις φόβον ἐνιέναι τὲς Φρύγας, ὅσω ἢ ποταμῶν τὰ ῥεύματα ἀνιόντα χωρεῖν ἐπὶ τὰς πηγάς. ᾽Αυφιδος δὲ ποταμὸς ὁ καλιὼν ἀπὸ τῶν ᾽Απεννίνων ὀρέων, καὶ ἐς τὸ ᾽Αδριατικὸν πέλαγος ἐκβάλλων μεταξὺ τῶν δύο ᾽Απελιῶν, τῆς τε Δαυνιακῆς καὶ τῆς Πευκετιακῆς. (Ofanto.) Διὸ καὶ τάτε εἰκὸς, ὡς ἐγχωρίε αὐτῷ, Τύρνον τὸν Δαυνίδιω ἐπιμιηθῖῶαι.

Στίχ: 427 ΤΩ᾽Σ ΜΟΙ ᾽ΑΤΑΣΘΑΛΙ᾽ΗΝ ΔΟΛΕΡΩ᾽Σ ΓΕ ΔΕ᾽ΕΙ ΔΡΙΜΥ᾽ΣΣΕΙ. Δριμυτέραν τὶὼ ἑαυτῦ καθίσησι μοχθηρίαν, τῷ πλάττεθαι δῆθεν ὅτι με δέδιεν, ἵν᾽ ἐμοὶ τῶν κακῶν τὶὼ αἰτίαν βαρύτερον προσεπιτρίψῃ.

Στίχ: 428. Ο᾽ΥΤΟΙ ΔΕΞΙΤΕΡΗ῀ ΤΗ῀ΔΕ κτ: Μὴ φοβῦ· κακὸν ἐδὲν πρὸς ἐμῦ πείσῃ Οὐδὲ γὰρ ἄξιον ὑπ᾽ ἐμῦ σὲ ἀναιρεθῖῶαι τοιάδε δὲ, οἵα ἡ σὴ ψυχὴ, ἐν τοιῶδε σώματι, οἷον τὸ σὸν, προσηκόντως σκιυέτω.

Στίχ: 430—437 ΝΥ᾽Ν, ΠΑ᾽ΤΕΡ ᾽ΩΣ ΣΕ᾽ κτ: Πατέρα καλεῖ, ὃν ἐκυρὸν ἔξειν ἐλπίζει, καὶ μὲν δὴ καὶ ὡς βασιλέα, καὶ γηραιὸν· πρὸς δὲ τὰς προλαβέσας

Ἐνάνδρα τε μέλαθρα, ἅπαντα σὺν ἄμμιγα φύτλῃ,
Γυνὺξ πεπτωκότα, ἠδέ τε γυμνὸς Ἀρκάδας ὅπλων;
Οὐ τοῖον μ' ἔγνων Βιτίας, καὶ Πάνδαρος αἰνὸς,
Πολλοὶ θ' ὃς αὐτῆμαρ ἑλὼν ὑπὸ Τάρταρα ἦκα
Τέχεσιν εἰργνύμενος τοῖς δηΐων χώματος ἔσω.
Οὐ σώζει δῆρις; τὰ δ' ἄειδε καρήατι Τεύκρε,
Νήπιε, σοῖς θ' ἑτάροισιν· ἅπαντα δὲ μήποτε λήξας
Δείμασιν ἐκθράττειν, ἀτὰρ ἔθνεα νίκην ἐπαίρειν
Διὸς ἡττηθέντος γε, κολόειν δ' ὅπλα Λατίνοις.
Νῶϊ καὶ Μυρμιδόνων ἀρχοὶ Φρυγίοις τρομέουσι,
Νῶϊ καὶ Τυδείδης, καὶ Ἀχιλλεὺς Λαρισσαῖος.
Πόντε δ' Ἀδριακῆ, ῥόος Αὐφίδος, οἶδμα διδράσκει.
Πλαττόμενος δείδειν δὲ ὁμοκλίῃ τιὴ πρὸς ἐμοῖο,
Τώς μοι ἀταθαλίῃσι δολερῶς γε δέει δριμύσσει.
Οὗτοι δεξιτερῇ τῇδε ψυχὴν ἀπερεύξῃ
Τοίῃ, (μὴ δέδιθι·) σῆθος τόδε ναιεταάσθω.
Νῶϊ πάτερ, ὡς σὲ, τεὰς μεγάλας τε Φράδας ἐπάνειμι.
Ἄϊεν μηδεμίαν τίθεσ' ἐλπωρὴν ἐνὶ ὅπλοις·
Αἴχ' ὅτως ἀπορέμεθ', ἅπαξ δ' ὑσμῖνι τραπέντες,
Ἄρδην ὠλόλαμεν, δαίμων δ' ἀμετάγρετος ἔσκε·
Λισσόμεθ' εἰρύσσω, δῶμεν δέ τε χεῖρας ἀόπλους.
Καίπερ αἰ! ἰὼρεὴς μόνον εἰ περιῆντι σωήθης!
(Κεῖνος ἐμοὶ κρείσσων τε, μόθοισί τ' ἔῃ εὐδαίμων,
Ψυχῇ τ' ἔξοχος, ὅς κεν ἐφ' ᾧ μὴ τῶτο κατείδῃ,
Θνήσκων πρωίχθη, λάζοιτο δὲ γαῖαν ὀδόντι.)
Αἴδ' ἄρα καὶ δυνάμεις ἄμιν, ἠδ' ἔτι ἄατος ἦβη,
Ἰταλικαί τε πόλεις ἐπίκουροι ἔασσ' ἰδὲ δῆμοι·
Αἴ δ' ἔτι καὶ πολλῷ Τρώεσσι σὺν αἵματι τεύχος·

❀ ❀ ❀

σας βελὰς ἁπάντων, ἐν αἷς αὐτὸν πᾶσαν μονονεχὶ σωτῆρα ἀπογνῶντα σωτηρίας ἐλπίδα, καὶ ἐπὶ τὰς διαλύσεις βλέποντα, Α. τοῖς ἐν χερσὶν ὅπλοις πεποιθέναι δεῖν ἀνδρικῶς ὑποβάλλει, κἂν θανεῖν δεήσειεν, ὑπὲρ ἐλευθερίας κινδυνεύοντας. Β. ὅτι καὶ τῆς παρὰ Διομήδους αὐτοῖς συμμαχίας ἐπιλιπούσης, ἀλλὰ πολλαὶ καὶ πόλεις ἄλλαι, καὶ δῆμοι, μετ' αὐτῶν εἰσὶν ἐπὶ τῷ προκειμένῳ πολέμῳ βοηθοὶ καὶ ἐπίκουροι. Γ. ὅτι δὲ αὐτοῖς τοῖς πολεμίοις ἐντελὴς ἔτως ἡ παρελθοῦσα κατάρθωται νίκη, ὥσε μὴ πολλῶν κἀκείνους αἱμάτων ἐκχύσεως αὐτῷ ἐξωνήσασθαι. Δ. τελευταῖον, ὅτι καὶ ὁ Ἄρης ἐσὶν ἀλλοπρόσαλλος· Νίκη δ' ἐπαμείβεται ἄνδρας· (Ἰλ. Ζ στίχ. 339.) Ἄσατα δὲ καὶ παλίμβολα τὰ τῆς τύχης· ὅθεν ἀγωνίσασθαι δέον, ἐφ' ᾧ τιὴ ἦτταν ἀναμαχέσασθαι.

Στίχ. 435 ΚΑΙ' ΠΕΡ, ΑΙ! . . . . Σχετλιασικὸν (τὸ αἰ!) ἢ διὰ χετλιασμοῦ Εὐκτικόν.

Στίχ. 436, ΚΕΙ'ΝΟΣ 'ΕΜΟΙ' ΚΡΕΙ'ΣΣΩΝ κτ· Τινὲς τὸν ἀναιρεθέντα Μεζεντίῳ ὧδε ἐξυπακούσιν, ὡς καὶ Δονάτος· Ἀλλ' ἄμεινον ἴσως ἐν γένει τὸ γνωμικὸν ἐκλαβέσθαι.

Στίχ. 438 ΘΝΗ'ΣΚΩΝ ΠΡΗΝΙ'ΧΘΗ, ΛΑ'ΖΟΙΤΟ ΔΕ' ΓΑ'ΙΑΝ 'ΟΔΟ'ΥΣΙΝ. Ἰλ. Β. στίχ. 418.

„Πρηνέες ἐν κονίῃσιν ὀδάξ λαζοίατο γαῖαν.

Στίχ.

Nunc & Myrmidonum proceres Phygia arma tremiſcunt,
Nunc & Tydides, & Lariſſæus Achilles;
Amnis & Hadriacas retro fugit Aufidus undas.
Vel cum ſe pavidum contra mea jurgia fingit,
Artificis ſcelus, & formidine crimen acerbat.
Nunquam animam talem dextrâ hac (abſiſte moveri)
Amittes: habitet tecum, & ſit pectore in iſto.
Nunc ad te, & tua (magne Pater) conſulta revertor.
Si nullum noſtris ultra ſpem ponis in armis;
Si tam deſerti ſumus, & ſemel agmine verſo,
Funditus occidimus, neque habet fortuna regreſſum;
Oremus pacem, & dextras tendamus inermes.
(Quaquam ô! ſi ſolitæ quidquam virtutis adeſſet . . .
Ille mihi ante alios, fortunatuſque laborum,
Egregiuſque animi, qui, ne quid tale videret,
Procubuit moriens, & humum ſemel ore momordit.)
Sin & opes nobis, & adhuc intacta juventus,
Auxilioque urbes Italæ populique ſuperſunt;
Sin & Trojanis, cum multo gloria venit
Sanguine; ſunt illis ſua funera, parque per omnes
Tempeſtas: cur indecores in limine primo
Deficimus? cur ante tubam tremor occupat artus?
MVLTA dies variique labor mutabilis ævi

Rettu-

❁ ❁ ❁

Στίχ. 448. . . . : ΑΙΤΩΛΟΣ . . . . ΚΑΙ ΆΡΠΟΙ. Τιὼ, ἧς περ ἀπέτυχον, παρὰ Διομήδες συμμαχίαν, ἔκ τε τῦ γένους ἐκείνυ, καὶ ἧς ἐδέήματο πόλεως, ὑποσημαίνει (Ὅρα I. Αἰν: στίχ. 27.)

Στίχ: 446. ΜΕΣΣΑΠΟΣ ΆΛΛ' ΈΣΤΑΙ, ΚΑΙ . . . . . ΤΟΛΟΥΜΝΟΣ. Περὶ μὲν τῦ Μεσάπου, (Ζ' Αἰν: στίχ. 740.) περὶ δὲ Τολέμυ μνεία γενήσεται ἐφεξῆς, Βιβλ: ΙΒ. στίχ 270 ὡς ἀνδρὸς Μαντικῦ, καὶ ἐκ τῆς τέχνης τὸ ἐν πολέμοις, ἐυδοκιμεῖν ἐπαγγελλομένυ. Τῦτο δὲ ἐςὶν, ὡς εἰ ἔλεγεν ὁ Τύρνος, ὅτι μεθ' ἡμῶν καὶ Ἀρεϊκοὶ ἄνδρες εἰσὶ, καὶ Θεοφιλεῖς ἄλλοι, κἂν μὴ παρῇ Διομήδης, ὁ καὶ νωχελὴς ἤδη, καὶ κακοδαίμων. Ὅμοιον δὲ τὸ ῥηθὲν παρ' Ὁμήρῳ ὑπὸ Ἀγαμέμνονος Ἰλ: Α. στίχ. 174.

„. . . . . παρ' ἔμοι γε καὶ ἄλλοι
„Οἵ κέ με τιμήσσσι. . . . . ,

Στίχ: 453. ΈΣΤΙ ΔΕ' ΚΑΙ Ξ . . . . ΌΤΟΆΣΚΩΝ. . . . ΚΑΜΙΛΛΑ. Πρὸς δὴ τοῖς ἄλλοις, οὓς Ῥοτόλοις συρατέυοντας καταλέγει, καὶ τιὼ ἐξ ἔθνες Οὐόλσκων ἀναφέρει Καμίλλαν, σωὶ ταῖς περὶ αὐτιὼ ἱππικαῖς εἴλαις. Περὶ ὧν Ζ'. Αἰν: στίχ. 855. ἄχρι τέλες.

Στίχ. 455. . . . . ΕΙ ΜΕ ΜΟΝΟΝ . . . . Κατὰ τὸ ὑπὸ Δράγκε ῥηθὲν ἀνωτ: στίχ. 391.

„Εἰ ἄγε πρὸς κεῖνον καλέοντα ἐπαντωπῆσαι.

Στίχ. 456. . . . . ΚΟΙΝΟΙΣ ΆΓΑΘΟΙΣ ΆΝΘΙΣΤΑΜ' ΈΓΩΠΕΡ, πρὸς ἐκεῖνα ἀποτείνεται, τὰ στίχ. 376 κξ

Στίχ. 459 . . . Κ' ΕΙ' ΦΕΡΤΕΡΟΣ ΈΣΤ' ΑΧΙΛΗΟΣ. Παραπλήσιόν τι θαρσήσας καὶ Ἕκτωρ κατ' Ἀχιλλέως ἐκόμπασεν. Ἰλ: Υ. στίχ. 371.

„Τῶδ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
„Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἰθωνι σιδήρῳ.

Στίχ:

Ἔξι δὲ καὶ ἑκκαίνοις ἐὰ κήδεα· πᾶσι δ' ὁ χειμὼν
Σκῆψεν ἰσοβριθὴς· ὅ, τι ῥ' αὐτοὶ πρῶτον ἐπ' ἤδας
Αἴχις ἐκλίπομεν; πρὸ δὲ σάλπιγγος τρόμος εἶλε;
Πολλά τοι ἦμαρ, πολλὰ βίοιο παλίνσροφος αἶσα
Ἤνεικ' εἰς τὸ κρεῖσσον, ἐναλλὰξ εἶτ' ἐσιδοῦσα
Παῖξεν, ἰδ' ἔμπεδα ἡ δαίμων ἐσήσατο αὖθις.
Οὐχ' ἡμῖν Αἰτωλὸς ἀρήγων ἔξι καὶ Ἄρποι;
Μέσσαπος ἀλλ' ἔσαμ, καὶ γ' ἐυπόλεμός τε Τολοῦμνος,
Ἀρχοὶ θ' ὅς τε τόσοι πέμψαν λαοὶ ἐπικούρης.
Οὐδ' ἄρ βαιόν τι κλέος ἔψεται ἐξ ἐπιλέκτων
Τῶν ἀπὸ δὴ Λατίης, Λωρεντῆ τ' ἀγροδιαίτων.
Ἔξι δὲ καὶ ἔθνης Οὐόλσκων δῖα Καμίλλα,
Σιὼ θ' ἱππεῦσιν ἄγουσα ἴλας χαλκῷ σελαγεύσας.
Νῶϊ δ' αὖτ', εἴ με μόνον Τεῦκροι προκαλοῦντ' ἐς ἀγῶνα,
Ἦ δὲ δοκεῖ κοινοῖς ἀγαθοῖς ἀνθίσαμ' ἐγώπερ,
Οὐχ' ὅτω τάχ' ἡ νίκη νεμεσήσατο χεῖρας,
Ὥσε μ' ἐπ' ἐλπίδι τῇ γοῶ πειρηθῶ ἀπονεῦσαι.
Θαρσῶν ἀντήσω, κ' εἰ Φέρτερος ἔς' Ἀχιλῆος,
Κ' ἄϊκεν τοῖς Ἡφαίσκ ὁμοίκι δύσσατο ὅπλα.
Υ̓́μμιν ψυχιὼ τιὼ δε, ἐμῷ θ' ἑκυρῷ γε Λατίνῳ,
Τύρνος, ὁ ὀδενὶ τῶν πρὶν δεύτερος ἠνορέῃ πέρ,
Ὅισω· Αἰνείας οἷον καλέει; δὴ ἦκω.
Μὴ Δράγκης, εἰ τετὶ Θεῶν χόλος, ἐκτισάσθω·
Εἴτ' ἄρα ἠνορέης κῦδος, μὴ ἔτος ἀράσθω.
Ὣς οἳ ἐριδμαίνοντες ἐπ' ἀμφιβόλοις ἐμάχοντο.
Τετάκι δ' Αἰνείας στρατιὴν κατὰ Ἄξεος ἦγεν.
Ἦμος σιὼ γ' ὁμάδῳ κήρυξ ἐπ' ἀνάκτορα θεύσας,
Ἔμπλησ' ἐξαπίνης μεγάλοις πᾶν δέμασιν Ἄξυ.
Θύβριδος ἐκ Τεύκρης, παρταξαμένης κατὰ ἴλας,
Χεῖρα τε Τυρρηνιὼ, ἐυρεῖς ἀγρόςδ' ἐπελάυνειν.
Ψυχὴ πᾶσα δὲ αἶψα ταράχθη, κῆρ δὲ τ' ἐσείθη
Ὄχλε· τρηχυτέροισι δὲ κέντροις ὀργαὶ ἄερθεν.
Ἔντομοι ὅπλα μάτευον· ἐπιβρέμον ὅπλα νεᾶνες·
Κλαῖον δ' ἄρ πατέρες, θυμῷ δέ τε μῦξον ἀχεῦντες.
Καὶ ῥὰ δὴ ἦερος ἦρτο ἰωγήτις πελύθρης·
Οὐκιν ἄλλως, ἢ ὅτε δὴ βαθέης καββήσσης,
Εἰλαδὸν ὀρνίθων πετεηνῶν ἔθνεα ἔπταν·

Ἦ

❁ ❁ ❁

Στίχ: 460. Κ' ΑΪΚΕΝ ΤΟΪΣ ΗΦΑΙΣΤΟΥ κτ: Ἦν δὲ τῷ ὄντι τὰ Αἰνείε ὅπλα Ἡφαιστότευκτα· (περὶ ὧν Η. Αἰν: στίχ. 640 —— ἄχρι τέλους.) Τύρνος δ' ἠγνόει.

Στίχ: 462 ΤΥΡΝΟΣ, Ὁ ΟΥΔΕΝΙ ΤΩΝ ΠΡΙΝ ΔΕΥΤΕΡΟΣ . . . . .
Ἦ οὐχ ὧδε ἄγαν ἡμῖν ἔτος ἀναμαξαριζει τὸν μύσακα;

Στίχ: 464. ΜΗ ΔΡΑΓΚΗΣ κτ: Ἤτοι, φησὶ, κατὰ Θεῶν μῆνιν, ἐπὶ τῆς μονομαχίας ἀπολοῦμαι, καὶ μὴ τίσειε δίκιω ὑπὲρ τότε Δράγκης, ὡς ὑπαίτιος· ἢ γοῦν νικήσας κλέος ἀρεῦμαι, καὶ μηδ' ἔτος αὐλὸς μοι μετεχέτω τῆς δόξης, ὡς πρόξενος τῷ ἐγχειρήματος.

Rettulit in melius: multos alterna reviſens
Luſit, & in ſolido rurſus fortuna locavit.
Non erit auxilio nobis Ætolus, & Arpi?
At Meſſapus erit, felixque Tolumnius: & quos
Tot populi miſêre duces: nec tarda ſequetur
Gloria delectos Latio & Laurentibus agris.
Eſt & Volſcorum egregiâ de gente Camilla,
Agmen agens equitum, & florentes ære catervas.
Quod ſi me ſolum Teucri in certamina poſcunt,
Idque placet, tantumque bonis communibus obſto:
Non adeo has exoſa manus victoria fugit,
Ut tanta quidequam pro ſpe tentare recuſem.
Ibo animis contra: vèl magnum præſtet Achillem,
Factaque Vulcani manibus paria induat arma
Ille licet. Vobis animam hanc, ſoceroque Latino,
Turnus ego, haud ulli veterum virtute ſecundus,
Devovi. Solum Æneas vocat? & vocet, oro.
Nec Drances potius: ſive eſt hæc ira Deorum,
Morte luat: ſive eſt virtus & gloria, tollat.
Illi hæc inter ſe dubiis de rebus agebant
Certantes: caſtra Æneas aciemque movebat.
Nuntius ingenti per regia tecta tumultu
Ecce ruit, magniſque urbem terroribus implet:
Inſtructos acie Tyberino à flumine Teucros,
Tyrrhenamque manum totis deſcendere campis.
Extemplo turbati animi, concuſſaque vulgi

Pecto-

❀ ❀ ❀

Στίχ: 479. . . . . ΠΑΔΟΎΣΗΣ . . . . Οὗτος αὐτόχρημα κατά τινας ὁ Πάδος ἐξὶ ποταμὸς, ὃς καὶ Ἠριδανὸς λέγεται· περὶ ἧ ἔρα ἐν Α. Γεωργ. στίχ. 555.) ὃν τε, φασὶ, καὶ Παδόαν καλεῖσθαι. Ἀλλ' ὁ Παρὰ Πολυβίῳ ἐν Β. τῆς Ἱσορ. Παδόας, ἕτερος εἶναι δοκεῖ τῷ Πάδῳ· φησὶ γὰρ ὅτι οἱ Ῥωμαίων ὕπατοι τλὼ διάβασιν ἐποιήσαντο κατὰ τας συρροίας τῶν Παδόα καὶ Πάδῳ ποταμῶν. Ἀλλὰ καὶ Πλίνιος διαφέρει: (Φυσ. Ἱς. Βιβλ: Γ. Κεφ: Ις'.) Ὀνομάζεσθαι δὲ, φησὶ, Πάδουσαν ῥεῖθρον τι, ἀπὸ μὲν τῷ ποταμῷ Πάδῳ ἀποχιζόμενον, ἐς δὲ τὸ Ἄσυ τὸ Ῥαβένης ἐκβάλλον.

Στίχ: 480. ΚΎΚΝΟΙ ΚΡΑΥΓΑΛΈΟΙ . . . . Rauci Cycni, φησὶν ὁ Μάρων, ὃ ἐξὶν ἐπὶ λέξεως, βραγχώδεις· ὅπερ ἦν ῥᾴδιον ἀποδῦναι καὶ σωζομένῃ τῇ μέτρῳ, (Κύκνοι βραγχαλέοι.) Ἀλλ' ἀπορῶσι πῶς βραγχώδη ὁ Ποιητὴς προσηγόρευσε τῶν ὀρνέων τὰ ᾠδικώτατα; φασὶ δ' ἅπαντες τῇ ἀπορίᾳ, ὅτι τὲς Κύκνες ἀντὶ τῶν ὑδροχαρῶν ἁπλῶς πτιλωῶν, καὶ τοῖς ποταμίοις, ἢ λιμναίοις ὕδασιν ἐμφιλοχωρέντων ἐξείληφε· πρὸ δὲ τῶν ἄλλων, ἀντὶ τῶν Χιλωῶν, οἳ ἐ πάνυ πόῤῥω τῇ τῶν Κύκνων εἴδες εἰσὶν ἀπέχοντες, καθ' ὃ καὶ ἡμῖν κραυγαλέες τὲς Κύκνες ἔδοξε προσειπεῖν. Τοιῦτοι γὰρ τῷ ὄντι οἱ Χῆνες. Ἅλως καὶ γὰρ, προσιθέασι, τοσῦτον ἀπέχει τῇ ᾠδικὲς, ἢ καὶ κραυγάσες εἶναι τὲς Κύκνες, ὅσῳ τὰ πλεῖσα καὶ ἀφώνες δοκεῖν, σιγῇ περινηχομένες τὰ ὕδατα. Ἀλλ' ἐκράτησεν ὁ μῦθος τὸν Κύκνον μουσικὸν ἀνακηρύξας, καὶ μάλισα περὶ τὸ τέρμα τῇ ζιῷ· διὸ δὴ καὶ Κύκνιον ἡ παροιμία τὸ μέλος εἶπεν, ὅπερ ἄν τις ἔχατον ἄσειε. Ποιητῶς δὲ ἅλως ἔξεσι καὶ τὲς Χιλίας εἰς Κύκνες μεταποιεῖν, καὶ εἰς ᾠδικὲς τὲς ἀφώνες ἔρενες, καθάπερ οὖν καὶ ὡς λιγυρές τε καὶ ἡδυφώνες, τὲς ἀμέσες καὶ βαρυφώνες ἀναπλάττεσθαι.

Στίχ:

Ἦ ἔνθ' ἐν ῥεέθροισι Παδύσης ἰχθυοέσσης
Κύκνοι κραυγαλέοι κατὰ δὴ λίμνας ὁμάδησαν.
Ἀλλά γε ἐυκαίρως, Πολιῆται, Τύρνος ἔνισπε,
Νῶϊ φράζεσθε ἑκηλοι, ἰὸ' εἰρωίω αὐτεῖτε,
Τοὶ δὲ ὅρας ἤδη κάρτας ἐσόρασαν ἐν ὅπλοις.
Ταῦτ' εἴπας, κὰδὲν πλέον, ἄψα τ' ἀνάκτορ' ἔασας,
Οὐόλσκων σὺ Βόλασε λόχας, Φάτο, εὖ καθοπλίσας
Ἔξαγε αὐτίκα, ἠδ' ἅμα τοῖς Ῥοτόλας· ἱππεῖς δὲ,
Μέσσαπε, καὶ σὺ Κόρας σώ ὁμάμονι, πάντας ἐνόπλας
Εὖ ἐπαγειράμενοι, διανείματε ἐν πεδίοισιν.
Οἱ δ' Ἄσευς παρόδας τηρόντων, ἠδέ τε πύργων.
Οἱ δ' ἄλλοι ξώ μοι πολεμίξασ' ἔνθα κελεύσω.
Εἶθαρ δ' ἐκ πόλεως ἰθὺς θέε πᾶς ἀν' ἐπάλξεις.
Τόφρ' ἀγορίω λῦσεν, μεγάλας βυλάς τε Λατῖνος,
Ἄλλοθ' ὑπερθύμενος, καί κεν μάλα ἀχνύμενός περ'
Αὐτὸν ἑ δ' αὐτιόωτο, ἐπεὶ μὴ δέκτο ἑκών γε
Δάρδανον Αἰνείαν, μηδ' Ἄσυδε γαμβρὸν ἐσῆξεν.
Ἤδη οὖ πυλέων προπάροιθεν σεῦδον ὀρύσσειν,
Καὶ λᾶας σκόλοπάς τε σιωῆγον· ἀτὰρ βυκάνη τε
Βράγχεεν αἱματόεν σῆμ' ἀργαλέα πολέμοιο.
Καὶ μὲν ξυμμιγέες σεφανηδὸν τείχεσ' ἔπεσαν,
Θηλύτεραι καὶ παῖδες, ἄγειρε μόθος γὰρ πάντας.
Σπεῦδε δ' Ἄνασσ' ἔποχος, θίασος πυκνός τε γυναίων,
Νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλει ἄκρῃ,
Σὺν δώροις· αὐτὰρ τε Λαβίνῃ ἐφέπετο κούρῃ,
Ἄτης τοσσατίης ὡς αἴτιος ὦπα καθεῖσα.
Μητέρες ἔξείης θυέεσσι νεῶν δ' ἐσιοῦσαι,
Ὡς λίσσονθ' ὁδώῃ, ἐπὶ βηλῷ θεσπεσίοιο·

❁ ❁ ❁

Στίχ: 482. ΝΥΝ ΦΡΑΖΕΣΘΕ ΕΚΗΛΟΙ κτ: Κατ' εἰρωνείαν. Νῦν ὑμεῖς καθήμενοι βελεύεσθε τὰ περὶ τῶν διαλύσεων, ὁπότε καιρὸς χρῆσθαι τοῖς ὅπλοις, τῶν πολεμίων ἐντὸς τῶν ὅρων τῇ κράτει εἰσελασάντων. Πᾶσιν οὖν κοινῇ ἐπιπλήττει ἐνταῦθα τὸ πρὸς Δράγκην ἀνωτέρω ἰδίᾳ ῥηθέν· στίχ. 395.

„Εὖ τ' ἐπὶ ὑσμίνης χρειὼ χειρῶν, ἀγορίωδε
„Σὺ πρῶτος πάρα . . . . . .

Στίχ: 484 — 490. ΤΑΥΤ' ΕΙΠΑΣ, ΚΟΥΔΕΝ ΠΛΕΟΝ, ... ΟΞέως τὸν λέγον, ὡς ἐν ἀκμῇ κινδύνου, ἀποτεμὼν σωθῆναι, καὶ τὰς δυνάμεις στρατηγικῶς διηγήσατο, τοῖς ἡγεμόσι τὸ ποιητέον ἑκάστῳ ἐγκελευσάμενος.

Στίχ: 501. ΣΠΕΥΔΕ Δ' ΑΝΑΣΣ' ΕΠΟΧΟΣ κτ: Ἡ Ἀμάτη ὧδε, τιμῶ παρ' Ὁμήρῳ Ἑκάβην ἀπομιμεῖται. Ἰλ: Ζ. στίχ 87. κξ.

Στίχ: 504. ΑΤΗΣ ΤΟΣΣΑΤΙΗΣ ΩΣ ΑΙΤΙΟΣ κτ: Γυνὴ γὰρ καὶ τῷ πολέμῳ τῷδε πρόφασις ἐγένετο τῷ Λατινικῷ, ὡς καὶ τῷ Ἰλιακῷ, καὶ πολλῶν δὲ καὶ ἄλλων. Διὸ Κέρδης ἐπὶ τὸν Δεισιδαιμονιστὴν ἡμᾶς παραπέμπει Βιβλ: ΙΓ. τὸν διὰ πολλῶν ἰσορῶντα, τὰς μεγίστους τῶν πώποτε πολέμων συβάγλιῶσι διὰ γυναῖκας.

Στίχ: 505. ΜΗΤΕΡΕΣ ΕΞΕΙΗΣ κτ: Ἰλ: Ζ· στίχ. 296.

„Βῆ δ' ἴέναι, πολλαὶ δὲ μετεσσεύοντο γεραιαὶ·
„Αἱ δ' ὅτε νηὸν ἵκανον Ἀθήνης, ἐν πόλει ἄκρῃ

Στίχ: 506. ΩΣ ΛΙΣΣΟΝΤ' ΟΔΥΝΗ κτ: Αὐτ: στίχ. 301.

„Αἱ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέχον.

Στίχ:

Pectora, & arrectæ ſtimulis haud mollibus iræ.
Arma manu trepidi poſcunt, fremit arma juventus:
Flent mœſti, muſſantque patres: hîc undique clamor
Diſſenſu vario magnus ſe tollit in auras.
Haud ſecus, atque alto in luco cûm forte catervæ
Conſedêre avium, piſcoſove amne Paduſæ
Dant ſonitum rauci per ſtagna loquaciâ cycni.
Immo, ait, ô cives, arrepto tempore, Turnus,
Cogite concilium, & pacem laudate ſedentes:
Illi armis in regna ruant. Nec plura loquutus
Corripuit ſeſe, & tectis citus extulit altis.
Tu, Voluſe, armari Volſcorum edice maniplis:
Duc, ait, & Rutulos: equites Meſſapus in armis,
Et cum fratre Coras latis diffundite campis.
Pars aditus urbis firment, turreſque capeſſant:
Cætera, quâ juſſo, mecum manus inferat arma.
Ilicet in muros tota diſcurritur urbe.
Concilium ipſe pater & magna incepta Latinus
Deſerit, ac triſti turbatus tempore differt:
Multaque ſe incuſat, qui non acceperit ultro
Dardanium Ænean, generumque adſciverit urbi.
Præfodiunt alii portas, aut ſaxa, ſudeſque
Subvectant: bello dat ſignum rauca cruentum
Buccina: tunc muros variâ cinxêre coronâ,
Matronæ, puerique: vocat labor ultimus omnes.
Nec non ad templum, ſummaſque ad Palladis arces
Subvehitur magnâ matrum Regina catervâ,
Dona ferens: juxtaque comes Lavinia virgo,
Cauſa mali tanti, atque oculos dejecta decoros.

Suc-

❀ ❀ ❀

Στίχ: 507 — 509. ΠΑΡΘΈΝΕ ΤΡΙΤΟΓΈΝΕΙ', κτ: Καὶ αἱ Ἰλιάδες δὲ παρ' Ὁμήρῳ, ἔνθα εἴρηται, Ζ. στίχ. 805.

„Πότνι' Ἀθηναίη, ἐρυσίπτολι, δῖα Θεάων
„Ἄξον δὴ ἔγχος Διομήδεος, ἠδὲ καὶ αὐτὸν
„Πρηνέα δὸς πεσέειν Σκαιῶν προπάροιθε πυλάων.

Στίχ: 511 — 515. ΗΔΗ Δ' ΑΡ' ΡΟΤΌΛΟΝ κτ: Πάρεσι καίνταῦθα Τύρνον ἐρᾷν κορυσσόμενον ὅπλοις κατὰ τὸν Ὁμηρικὸν Ἀχιλλέα. Ἰλ: Τ: στίχ. 369.

„Κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
„Καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας.
„Δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν,
„Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον,
„Χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε, στιβαρόν τε,
„Εἵλετο· τῷ δ' ἀπάνευθε σέλας γένετ' ἠΰτε μήνης.

Στίχ: 513. ΓΥΜΝΌΣ Δ' ΤΩΝ ΚΡΟΤΆΦΟΤΣ κτ: Ὁ μὲν Ὁμήρου Ἀχιλλεὺς, ἐδὲ τινὶ κεφαλιὶ αὐτῷ ἀσκεπῆ παρῆλθε, τῷ μὴ ἐπὶ πᾶσι καὶ τινὶ Τευφάλειαν περιβαλέσθαι, (Αὐτ: στίχ. 180.

„ . . . . . Περὶ δὲ τευφάλειαν ἀείρας
„Κρατὶ θέτο βριαρῷ· ἡ δ', ἀσπὶς ὡς ἀπέλαμπεν
„Ἵππουρις τευφάλεια· περισσείοντο δ' ἔθειραι.

Διατὶ οὖν ὁ Μάρων Τύρνον ὧδε, γυμνῇ τῇ κεφαλῇ, ὅπερ ἐστὶν ἀκαλύπτῳ ἡμῖν

Παρθένε Τριτογένεϊ, ἐρυσίπτολι, ἀλκήεσσα
Ἄξον λῃσῆρος Φρυγὸς δόρυ, ἠδὲ καὶ αὐτὸν
Πριωέα δὸς πεσέμεν πόλιος προπάροιθε πυλάων·
Αὐτὸς δ' ἐμμανέως ἀπέυδων ὠπλίζετο Τύρνος,
Ἤδη δ' ἄρ ῥοτόλον θώρηϰ' ἐνιδύς γε πεφρίϰει
Χαλϰείαις φολίσι, ϰνήμας δ' ἐπὶ ἄρσατο χρυσὸν·
Γυμνὸς δ' ὤν ϰροτάφῳς, ξίφος ἤρτησ' ἀμφ' ὤμοισι.
Χρύσεος αἰπεινῆς ϰαταβαίνων ϛίλβε δ' ἀπ' ἄϰρης,
Θυμῷ ἐγγανόων, ἔντ' ἐλπίδι δήϊον αἱρῶν.
Ὡς ὅτε τις ϛατὸς ἵππος ἀϰοϛήσας ἐπὶ φάτνῃ,
Δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο ϰροαίνων,
Εἰωθὼς λέεσθαι ἐϋῤῥεῖος ποταμοῖο,
Κυδιόων ὑψοῦ δὲ ϰάρῃ ἔχει· ἀμφὶ δὲ χαῖται,
Ὤμοις αἰΐσσονται· ὁ δ' ἀγλαΐῃφι πεποιθὼς,
Ῥίμφα ἑ γοῦνα φέρει, μετὰ τ' ἤθεα ϰαὶ νομὸν ἵππων.
Τῷ δ' αὖ απλύτα σὺν Βόλσϰοις ὀπέωσι Καμίλλα
Παῤ δ' αὐταῖσι πύλῃσιν ἀφ' ἵππου ἅλτο χαμᾶζε.

Κρείσ-

❁ ❁ ❁

ἡμῖν παρίϛησιν; ἢ, ὅτι Τύρνῳ ἔπω συμβολῆς ἦν ὁ ϰαιρὸς, ἀλλὰ παρασϰευῆς τῆς εἰς πόλεμον; ἢ ἵνα τοῖς ἁπαντᾶσι γνωϛὸς ᾖ ἅπασι ϰαθορώμενος, ϰαὶ αὐτοῖς ἔτι τοῖς οἰϰείοις ἀλλοδαπόθεν ἥϰεσιν; Αὐτίϰα γὰρ ϰαὶ τῇ Οὐολσϰίδι σωτυχὼν Καμίλλῃ, ἐπιγνάϛῃ τε, ϰαὶ μετὰ τῆς προσηϰάσης αὐδῆς αὐτῷ ἀπαντησάσῃ, μετ' αὐτῆς ϰαὶ τὰ τῆς ἐσομένης μάχης προδιητήσαλο.

Στίχ: 515. . . . . ΈΝ Τ' ΈΛΠΊΔΙ ΔΗΪΟΝ ΑΪΡΩΝ. Ταῖς φαντασίαις πτερύμενος, ὡς ἤδη περιγεγονὼς τῇ πολεμίᾳ, ϰαὶ τῆς νίϰης δραξάμενος.

Στίχ: 516 — 521 ΩΣ ΌΤΕ ΤΙΣ ΣΤΑΤΟΣ ΊΠΠΟΣ ϰτ: Ἐξ Ὁμήρε πρὸς λέξιν ἡ παραβολὴ πᾶσα, διὸς αὐτῇ χρησαμένε· πρῶτον γὰρ (Ἰλ: Ζ ϛίχ. 506) διὰ τῆς εἰϰόνος ταύτης Πάριν Ὅμηρος παρέϛησεν, ἀπ' οἴϰε, ἔνθα ἦν πως θαλαμευόμενος, ἐπὶ τιὼ μάχιω ἐϰθύμως ὁρμαίνοντα. Δεύτερον δὲ (Ἰλ: Ο. ϛίχ. 263.) διὰ τῆς αὐτῆς ὁμοίως Ἕϰτορα, τὸν ὑπὸ Αἴαντος χερμαδίῳ πρὸς τὸ ϛῆθος βληθέντα, ἐξῆς δὲ ὑπὸ Ἀπόλλωνος μένος τε ϰαὶ ἀλϰιὼ ἀναλαβόντα, ϰαὶ πρὸς τιὼ μάχιω πάλιν ἀναθαρϛήσαντα. Δοϰεῖ οὖν οἰϰειότερον πρὸς ὁμοιότητα τὸν πρῶτον διατυπῶσθαι, ἢ τὸν δεύτερον. Διὸ ϰαὶ οἱ παλαιοὶ ἐπὶ τῷ δευτέρᾳ, τὰς δύο ϛίχας μόνας (ϕησὶν Εὐϛάθιος) ἐϰ τῆς παραβολῆς δέχονται, τὰς ἐν τῇ ἀρχῇ τὰς δὲ τέσσαρας ὀβελίζουσιν. Ἀλλ' ὅτω μὲν ἔδοξε τοῖς παλαιοῖς, Ὁμήρῳ Ὅμηρον παραβάλλουσιν· Οἱ δὲ Νεώτεροι παρατιθέντες τῷ πρωτοτύπῳ τὸ ἔϰτυπον, ἥττονα δοϰοῦσιν εὑρίϛϰειν ἐπὶ τῆς προϰειμένης εἰϰόνος Ὁμήρε τὸν Μάρωνα, ϰαταγε τιὼ χρῆσιν εἰπεῖν· οὐ γὰρ ὁμοίως ϰατὰ τιὼ εἰϰόνα αὐτιὼ, ϰαθ' ἑαυτιὼ θεωρεμένιω· ἔϛι γὰρ ἡ αὐτὴ, ὡς εἴρηται, ἐπὶ λέξεως. Ἀλλ' ὡς ἐϰ τῆ ὑποϰειμένε προσώπε, φασὶ προσφυέϛερον γὰρ ἦ Τύρνῳ, προσήϰοσαι Πάριδι. Καὶ ἡ μὲν Κρίσις ἡ περὶ τάτε, ἐϛὶ Πωπίε τῆ Ἀγγλε, ἣν ϰαὶ ὁ ὁμοεθνὴς αὐτῷ ἐπιϰυροῖ Κλάρϰιος· (ἐν τῇ εἰς τὸ Ζ. Ἰλ: ϛίχ. 506. Σημ:) Recte hîc obſervavit Popius, comparationem iſtam, et aptiore loco, & ad perſonam convenientiùs de Paride Homerum, quam de Turno inſtituiſſe Virgilium. Ἐμοὶ δὲ, (μηδὲ νεμεσήσειέ μοι τις ἐϰτόπως φιλόμηρος·) τἐναντίον δοϰεῖ. Πολλῷ γὰρ προθυμότερον ἐπὶ τιὼ μάχιω ὁρμαίνειν εἰϰὸς τὸν Ὀυϊργιλιαϰὸν Τύρνον, τῇ Ὁμηριϰῇ Πάριδος, ὡς τῷ ἐπὶ τῆς παραβολῆς προτεθέντι ἵππῳ ἐμφερέϛερον ἔχειν ϰαὶ ἐξαϰαθιῶσαι. Ὁ μὲν γὰρ δεσμοῖς εἶχετο ὃς ἀπορρήξειε, ἰὼς τῇ Λράγϰε, τοὺς τῇ Λατίνε, τὰς τῶν ἄλλων, ὑφ' ὧν, ἐμποδὼν αὐτῷ γινομένων, τῇ πολέμᾳ ἀπείργετο. ὁ Τύρνος· Ὁ δὲ Πάρις ἐν ἐπιμώμῳ ἀργείᾳ νωχελευόμενος, Ἰλ: Ζ. ϛίχ. 336.

„Ἕζετο ἐν θαλάμῳ, ἔθελεν δ' ἄϰχεῖ προτραπέϑαι.

Succedunt matres, & templum thure vaporant;
Et mœſtas alto fundunt de limine voces.
Armipotens, belli præſes, Tritonia virgo,
Frange manu telum Phrygii prædonis, & ipſum
Pronum ſterne ſolo, portiſque effunde ſub altis.
Cingitur ipſe furens certatim in prælia Turnus:
Jamque adeo Rutulum thoraca indutus ahenis
Horrebat ſquammis, ſurasque incluſerat auro.
Tempora nudus adhuc; laterique accinxerat enſem,
Fulgebatque altâ decurrens aureus arce:
Exultatque animis, & ſpe jam præcipit hoſtem.
Qualis ubi abruptis fugit præſepia vinclis
Tandem liber equus, campoque potitus aperto;
Aut ille in paſtus armentaque tendit equarum,
Aut aſſuetus aquæ perfundi flumine noto
Emicat, arrectiſque fremit cervicibus alte
Luxurians; luduntque jubæ per colla, per armos.
Obvia cui Volſcorum acie comitante, Camilla
Occurrit, portiſque ab equo regina ſub ipſis
Deſiluit: quam tota cohors imitata, relictis
Ad terram defluxit equis; tum talia fatur:
Turne, ſui merito ſi qua eſt fiducia forti,
Audeo, & Ænéadum promitto occurrere turmæ,
Solaque Tyrrhenos equites ire obvia contra.
Me ſine prima manu tentare pericula belli:
Tu pedes ad muros ſubſiſte, & mœnia ſerva.
Turnus ad hæc, oculos horrendâ in virgine fixus:

O

❁ ❁ ❁

Καὶ μόλις πϑ τῶῖς Ἑλένης παραιφάσεσιν ἔξεν, ὡς αὐτὸς φησὶν: (Ἀυτ: στίχ. 337.)

„Νῦν δέ με παρειπᾶσ' ἄλοχος μαλακοῖς ἐπέεσσιν,
„Ὤρμησ' ἐν πολέμω . . . . . .

ἐῶ γὰρ λέγειν τὰς ὑπ' αὐτᾶ Ἕκτορος, ἃς ἐν δίκη καθυπέξη ἐπὶ τῷ ὄκνῳ ἐλέγχας. (Λύτ. στίχ. 333.)

„Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας, ἐδ' ὑπὲρ αἶσαν.

Ὥστε ἐδὲ κυρίως περὶ τέτϑ ῥηθείη τὸ (ἀκοσῆσαι) εἰ μάλιστα, κατὰ τὸν τῶ Σχολιαστᾶ ἑρμηνείαν, ἐκδέξαιτό τις, ἀντὶ τᾶ δυχεράναι ἐπὶ τῇ ἐν τῇ φάτνῃ στάσει, ἐδὲ τὸ δεσμὸν ἀποῤῥῆξαι, ἐξ ἰσχυρᾶς προθυμίας, καὶ ἀνενδότϑ ὀρέξεως. Ἀλλὰ περὶ τέτϑ κρινόντων ὡς ἂν τῶν φιλολογέντων ἑκάστω δόξειε. Καί τοι, ἰλήκοι ὁ θεῖος Ὅμηρος! ἔμπης γὰρ καὶ ἕτω τὰ πρεσβεῖα αὐτῷ ἐποφείλεται, ὡς αὐτεργῷ τῆς παραβολῆς ὁμολογεμένῳ, καὶ, ὡς εἰπεῖν, Ἀρχιτέκτονι.

Στίχ: 525. ΚΑΤ' ΧΘΟΝΟΣ Α'ΙΨ' ΙΠΠΩΝ ΑΠΕΒΑΝ . . . . Καὶ παῤ Ὁμήρῳ οἱ Τρῶες Ἰλ: Θ υἱχ. 492.

„Ἐξ ἵππων ἀποβάντες ἐπὶ χθόνα, μῦθον ἄκουον
„Τὸν ῥ' Ἕκτωρ ἀγόρευε . . . . . .

Στίχ: 527. ΑΙ'ΝΕΑΔΩΝ ΕΙ'ΔΗΣΙΝ ΥΦΙ'ΣΤΑΤ' . . . . Παραπλησίως καὶ ἡ Ἀμαζὼν Πενθεσίλεια, παρὰ τῷ Καλαβρῷ, Παραλ: Α. στίχ. 92. Περιάμῳ ἐπίκυρος ἐλθᾶσα:

„Ἡ δ' ἄῤ ὑπέχετο ἔργον, ὅ ἔποτε θνητὸς ἐώλπει.

„Δηώ-

Κρέισσαν δὲ Φάλαγξ ἡ πᾶσα ἅμα ζηλῶντες
Κατ' χθονὸς αἶψ' ἵππων ἀπέβαν· τῷ δ' ὣς ἄρ ἔειπε:
Τύρν', αἶκεν θαρσεῖν ἀλκῇ θέμις ἔξιν ἀμέμπτως,
Αἰνεαδῶν ἕλῃσιν ὑφίσαμ' ἐγὼν ἐπορῶσαι,
Οἵη τ' ἀντιάαν Τυρρίωῶν ἔσσυμαι ἵππῳ.
Τοιγὰρ ἔα πρώτιῳ χάρμης με μόθον πειρῆσαι,
Στῆθι σὺ δ' ἄρ πεζὸς παρὰ τείχεσι, σῶζε τ' ἐπάλξεις.
Τύρνος παρθενικῇ δ' ἐκπάγλῳ ὅσσ' ἐπερείσας,
Ὦ γάνος Ἰταλίης, ὦ Κύρη, τὰς χάριτάς σοι
Εἰδέν' ἔχοιμι, ἔφη, αἵ σεῖο ἐπάξιοι εἶεν;
Νῶῖ δ' (ἐπεὶ ἰωρέῃ προέχεις) δατεώμεθ' ἄεθλον.
Αἰνείας (ὡς δὴ φάτις, ὀπτῆρες τ' ἀνένευκαν)
Καφοτέρως ὅπλοις ἱππεῖς προέηκε δολόφρων,
Ὕπτια σευσομένως· ὀρέων αὐτὸς δὲ ὀὶ ἄκρων
Σπεύδει, ἠδ' ἀβάτων, ὑπὲρ Ἄξεος ἆσσον ἰκέσθαι·
Δῆριν ὁ δ' ἄρ κλέπτω, σκολιῇ δ' ἀτραπῷ ἐνὶ λόχμαις,
Ἀμφοδίως ῥὰ Φάρυγγας ἐνόπλοις ἄνδρεσι Φράξω.
Ἡ δ' ἐκταξαμένη Τυρρηνιῶ δέχνυσο ἵππον·
Σιὼ σοὶ Μέσσαπος ὀξὺς ἑσεῖται, ἴλαι τε Λατῖναι,
Τιβέρτοιό τε χέρ· Ἀγέτις σὺ δὲ μήδεο ἔμμεν.
Ὣς φάτο. Μεσσαπον αὖ δ' ἐπέεσσιν ὁμῶς ἐπὶ δῆριν
Ὀτρώας, ἀρχάς τε ἑταίρως, θῶε κατ' ἐχθρῶν.
Ἔξι μὲν ἐμπερίκαμπτον, ἐνέδρως δεξιὸν ἄγκος,
Καί γε δόλοις ὅπλων· ἑκάτερθε δὲ δάσκια δένδροις
Πλευρὰ ὑπερτείνει ὁδὸς αὐτὰρ λεπταλέη τις,
Στεινοῖσι ζομίοις, παρόδων ὀίκτα ὀὶ ἀδήλων·
Ἔνθα ῥὰ κεῖται, ὅρως ἄκρα ἐφύπερθε κορύμβα,

❁ ❁ ❁

„Δηώσειν Ἀχιλῆα, καὶ ἐυρέα λαὸν ὀλέσσειν
„Ἀργείων· νῆας δὲ πυρὸς καθύπερθε βαλέσθαι,
„Νηπίη . . . . . .

Στίχ: 528. ΟΙΗ Τ' ΑΝΤΙΑΆΑΝ ΤΥΡΡΗΝΩΝ ΕΣΣΥΜΑΙ ΙΠΠΩι. Καὶ Αἴας ὁ Τελαμώνιος πρὸς ἑαυτὸν ἀναλαβεῖν ἐπεθάρσει τιὼ κατὰ Ἕκτορος μάχιω· Ἰλ: Ν. ςίχ. 79.

„. . . . . Μενοινάω δὲ καὶ ὅιος
„Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσθαι.

Ἀλλὰ γὰρ ἀνὴρ ἰῶ, καὶ Αἴας· καὶ οἷος μὲν, ἀλλὰ καὶ Ἕκτορι οἵω μάχεσθαι ὑπιχνεῖτο· ἡ δὲ καὶ θῆλυς, καὶ εἰμὶ οἵη, σιὼ δὲ τοῖς περὶ αὐτιὼ, πρὸς γεμιὼ τὸ ἱππικὸν τῶν Τυρρίωῶν σύμπαν παραβάλεσθαι πρὸθυμεῖτο. Καὶ ὁ μὲν τῶν πραγμάτων τοῖς Ἕλλησιν ἄντικρυς ἐπιςενομένων, ἐξ ἀνάγκης, ὡς φάναι, ὑπὲρ τὲ ἰδίε ἔθνως κινδωνεῦσαι ἑτοίμως εἶχεν· ἡ δὲ καὶ πρὶν τὲς ςρατὲς ὁμόσε χωρῆσαι τιὼ τέλμιω ἐδείκνυ, καὶ καθ' ἑαυτιὼ ἰδία τὸν κίνδωνον ἀνελάμβανε, καὶ Τύρνον παρήνει θεωρὸν ἁπλῶς εἶναι τὲ ἔργε, τὰς ἐπάλξεις φερεῖντα παρὰ τοῖς Τείχεσιν.

Στίχ: 531. . . . . ΠΑΡΘΕΝΙΚΗΙ ΕΚΠΑΓΛΩι . . . . Εἰς ἔκπληξιν τὲς ὁρῶντας κινέσῃ. Θαυμαςῆ.

Στίχ: 539. ΔΗΡΙΝ Ὁ Δ' ΑΡ' ΚΛΕΠΤΩ κτ: Διὰ κρυφίας ἐνέδρας ἣν τῷ πολεμίῳ καθίςημι, καταςρατηγῆσαι πειράσομαι. τιὼ δ' ἐνέδραν ὁ Ποιητὴς διεξελέυσεται κατωτέρω. ςίχ. 546 — 555.

Στίχ:

O decus Italiæ, virgo, quas dicere grates,
Quaſve referre parem? ſed nunc (omnia quando
Iſte animus ſupra) mecum partire laborem.
Æneas (ut fama fidem, miſſique reportant
Exploratores) equitum levia improbus arma
Præmiſit, quaterent campos: ipſe ardua montis
Per deſerta jugo ſuperans adventat ad urbem.
Furta paro belli, convexo in tramite ſylvæ,
Ut bivias armato obſidam milite fauces.
Tu Tyrrhenum equitem collatis excipe ſignis:
Tecum acer Meſſapus erit, turmæque Latinæ,
Tyburtique manus: ducis & tu concipe curam.
Sic ait, & paribus Meſſapum in prælia dictis
Hortatur, ſociosque duces; & pergit in hoſtem.
Eſt curvo anfractu vallis, accommoda fraudi,
Armorumque dolis; quam denſis frondibus atrum
Urget utrinque latus, tenuis quò ſemita ducit,
Anguſtæque ferunt fauces, adituſque maligni.
Hanc ſuper, in ſpeculis, ſummoque in vertice montis,
Planities ignota jacet, tutique receptus:
Seu dextrâ lævâque velis occurrere pugnæ,
Sive inſtare jugis, & grandia volvere ſaxa.
Huc juvenis notâ fertur regione viarum;
Arripuitque locum, & ſylvis inſedit iniquis.
Velocem interea ſuperis in ſedibus Opim,
Unam ex virginibus ſociis, ſacrâque catervâ
Compellabat, & has triſtis Latonia voces
Ore dabat: Graditur bellum ad crudele Camilla,
O virgo, & noſtris nequicquam cingitur armis,

Cara

❀ ❀ ❀

Στίχ: 556. . . . . Ὤπιν . . . . . Ἢ ἄλλως Ὄυπιν. Ταύτῃ Ἀπολλόδωρος Βιβλ: Α. Κεφ: Δ. μίαν εἶναι, φησὶ, τῶν ἐξ ὑπερβορέων παραγενομένων παρθένων, ἣν Ὠρίων βιαζόμενος ὑπ' Ἀρτέμιδος ἐτοξεύθη, Οἱ δὲ, αὐτὴν εἶναι λέγουσι τὴν Ἄρτεμιν, ἔτος ὑπὸ Λακεδαιμονίων καλουμένῃ μαρτυρίαν δὲ ἔτοι προβάλλονται τὴν παρὰ τῷ Παλαιφάτῳ. Ἀλλ' ὁ ἡμέτερος ὧδε τῇ Ἀπολλοδώρᾳ δόξῃ ἔοικε στοιχεῖν. Τῇ γὰρ Λητωΐδος κελεύσει, ἤτοι τῆς Λητῶς θυγατρὸς Ἀρτέμιδος, ἡ Οὖπις, ἢ Ὤπις πέμπεται. ὑπῆρχον δὲ τῶν Θεανῶν ἑκάστῃ ἰδίᾳ Θεραπαινίδες Νύμφαι τινὲς, ὡς Ἀφροδίτῃ αἱ Ἰδάλιαι, Θέτιδι αἱ Ναΐδες, κξ: οὕτω καὶ Ἀρτέμιδι ἡ Ὤπις.

Στίχ: 560. Ἤλιθα . . . . Οὐδὲν γὰρ τῇ Καμίλλῃ ὄνησας ἐκ τῶν ἡμετέρων προσγενήσεται ὅπλων.

Στίχ: 562. ΠΡΟΣΦΑΤΟΣ ΕΙΛΕ ΜΕ . . . . . Ἰσχυρότεραι γὰρ αἱ ἔννοιαι παλαιούμεναι.

Στίχ: 563. ΕΚΚΡΟΥΣΘΕΙΣ ΜΕΤΑΒΟΣ ΝΕΜΕΣΕΙ κτ: Μέταβον (φησὶ Σέρβιος) Ἕλλησι ἄνδρα γενέσθαι, τὴν παρὰ τῷ Ἀδριατικῷ πελάγει Μετάποντον κτίσαντα. Ἀλλὰ περὶ τούτου ὅρα τὸν Συγγραφέα τῶν Ἐθν: παρ' ᾧ Μεταπόντιον πόλις Ἰταλίας, ἡ πρότερον Σίρις ἀπὸ Μεταβου τοῦ Σισύφου τοῦ Αἰόλου τὴν γὰρ Μετάποντον οἱ Βάρβαροι Μέταβον, ἔλεγον. Καί τοι ἄλλοις πιθανώτερον ἔδοξεν, ἀπὸ Μεταβου τοῦ κτίσαντος, τὸ Μεταβόντιον, καὶ τὴν Μετάβοντον κατ' ἀρχὰς κληθῆναι, ἐξελληνισθῆναι δ' ἔπειτα ἐντεῦθεν εἰς Ἰωνικὸν Μετά-

Χῶρος, ἐν ᾧ ἀγνῶτα πάρεξι λαθεῖν ἀνυπόπτως,
Καί κεν δεξιάδιω, καί κ' ἐκ σκαιῶν πολεμίξαις,
Καί κεν ἀναιδεῖς λᾶας ἀφ' ὕψος προπροκυλίσσαις·
Ἔνθα νεὰν Τύρνος δὶ ὁδῶν γνωτῶν οἱ ἔφικτο,
Κάμβαβε δ' ἄρ' χῶρον, πυκναῖς τ' ἐλοχήσατο λόχμαις.
Τῆμος σπερχνιὼ Ὤπιν ἐν ἀρᾳνίοισιν ἐδέθλοις,
Παρθενικῶν μίαν ἐκ θιάσω ἱεροῖο ἑταίρω,
Κεκλομένη ἐν ἄχει Λητωΐς φθέγξατο τοῖα.
Δῆριν ἐς ἀργαλέιω, ὦ Κάρη, εἶσι Καμίλλα·
Ἤλιθα δ' ἡμετέροις ἔμπης ὑπεδύσσατο ὅπλοις.
Τιὼ φιλέω μάλ' ἐγὼ περί· δὸ ἔρος Ἄρτεμιν ἔτος
Προσφατος εἶλε με, δὸε με κίνησ' ἵμερος αἴφνης.
Ἐκπροθεὶς Μέταβος νεμέσει ὑπερμόρος ἀρχῆς,
Ἔυτε ῥὰ Πριβέρνω ἀπεχώρει τὸ πάλαι Ἄξευς,
Ἥρπασ' ὑπειρορίης ὀπέωνα, ἀτὰρ τ' ὀνόμηνεν
Ἐκ Κασμίλλης μητρὸς, ἀφαιρῶν σῖγμα, Καμίλλαν.
Τιὼ δ' ἔγκολπον ἄγων ἐδίδρασκ' ἐπὶ ἔρεα μακρὰ,
Δρυμὰ τ' ἐρῆμα. Βέλη δ' ἑ πίεζεν πάντοθεν αἰνὰ.
Ἐκπεριπταμένοι Βόλσκοι δέ μιν ἀμφικέχωντο
Ἠνὶ δὲ, φύζης μέσσον, ὑπερχειλὴς Ἀμασιῶος,
Πλημμύρων ἄφρει (κατὰ ῥᾶκτο γὰρ ἄσπετος ὄμβρος.)
Ἐκνήξαθ' ὁ δ' ἕτοιμος, ἔκητι ῥὰ νηπιάχοιο,
Ἦν ἐπελιννύων γλυκερῷ δεδιὼς περὶ Φόρτῳ.
Ὧδε δὲ οἱ Φρονέοντι δοάσσατο ἔμμεν ἄριστον.
Τἄγχος, ὅγ' ἐν πολέμοις χειρὶ κρατεῇ διενώμα,
Δρύϊνον, ἠδ' ὄζως ἔτ' ἔχον, βριθὺ σιβαρόν τε,
Τῷ δὴ νηπιάχιω φλοιῷ φελλοῖο ἑλίξας,

Εὖδετ'

❁ ❁ ❁

Μετάποντον, κ τὸ Μεταπόντιον. Ἡ δέ τοι νέμεσις καθ' ἰῶ ὁ Μέταβος τῆς ἀρχῆς λέγεται ἐκπεσεῖν, ἀμφιβολογεῖται. Ἤτοι γὰρ δικαία γένοιτο, ὡς ὑπερηφάνως τε καὶ τυραννικῶς αὐτῶ ἄρχοντος, ἢ κατὰ βασκανίαν σασιασάντων τῶν ἀρχομένων· κἀκείνας μὲν τὴν ὑπερμόρα ἀρχὴν κατ' ἐνέργειαν νοητέον, ἔτω δὲ, κατὰ πάθησιν. Ἀλλ' ἐκεῖνο μᾶλλον εἰκὸς ὑπολαμβάνειν, διὰ τὸ κατόπιν περὶ αὐτῶ. λεγόμενον. σίχ. 592

Στίχ: 564. . . . . ΠΡΙΒΕΡΝΟΥ . . . ΤΟΥ ΠΑΛΑΙ ΑΣΤΕΩΣ, Πριούερνα Ἰταλίας πόλις, (Στεφ: Βυζ.) Ῥώμης παλαιοτέρα, Οὐόλσκων Μητρόπολις, ἐγγὺς τῶ ποτ: Ἀμασιῶς. Νῦν ἐρείπιον, ὃ καλεῖται Piperno.

Στίχ: 568. . . . . ΒΕΛΗ Δ' Ε' ΠΙΕΖΕΝ . . . . Τὰ ἐκ τῶν σασιαστῶν, ἐπελαυνόντων κατ' αὐτῶ, συχνὰ ἀφιέμενα.

Στίχ: 570. . . . . ΑΜΑΣΗΝΟΣ, Τότε μνεία ἐγένετο καὶ Ζ. Αἰν: σίχ. 734. Καλεῖται δὲ νῦν Toppia.

Στίχ: 574. ΩΔΕ ΔΕ' ΟΙ' ΦΡΟΝΕΟΝΤΙ κτ: Ἰλ: Κ. σίχ. 17.
„Ἥδε δὲ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή.
Καὶ Ἰλ: Ν. σίχ. 458.
„Ὧδε δὲ οἱ Φρονέοντι δοάσσατο κέρδιον εἶναι.

Στίχ: 576. ΔΡΥΙΝΟΝ, ΗΔ' ΟΖΟΥΣ ΕΤ' ΕΧΟΝ κτ: Solidum nodis et robore cocto. (σεβρὸν ὄζοις τε καὶ δρυῖ πεπτῇ.) τετέσι τῇ διὰ χρόνω πεφθείσῃ, καὶ σεβροτέρᾳ καθεσώσῃ διὰ παλαιότητα.

Στίχ: 577. . . . . ΦΛΟΙΩΙ ΦΕΛΛΟΙΟ . . . . Libro & Sylvestri fubere, φησὶ Μάρων: (Βιβλίῳ, καὶ ὑλαίῳ Φελλῷ·) τὸ δὲ Libro (Βιβλίῳ) ἀντὶ

Cara mihi ante alias: nec enim novus iſte Dianæ
Venit amor, ſubitâque animum dulcedine movit.
Pulſus ob invidiam regno, viresque ſuperbas,
Priverno antiquâ Metabus cùm excederet urbe,
Infantem, fugiens media inter prælia belli
Suſtulit exilio comitem, matriſque vocavit
Nomine Caſmillæ, mutatâ parte, Camillam.
Ipſe, ſinu præ ſe portans, juga longa petebat
Solorum nemorum: tela undique fæva premebant,
Et circumfuſo volitabant milite Volſci,
Ecce, fugæ medio ſummis Amaſenus abundans
Spumabat ripis (tantus ſe nubibus imber
Ruperat) ille innare parans, infantis amore
Tardatur, charoque oneri timet: omnia ſecum
Verſanti, ſubito vix hæc ſententia ſedit.
Telum immane manu validâ quod forte gerebat
Bellator, ſolidum nodis, & robore cocto,
Huic natam, libro & ſylveſtri ſubere clauſam,
Implicat, atque habilem mediæ circumligat haſtæ.
Quam dextrâ ingenti librans, ita ad æthera fatur:
Alma, tibi hanc, nemorum cultrix Latonia virgo,
Ipſe pater famulam voveo: tua prima per auras
Tela tenens ſupplex hoſtem fugit: accipe, teſtor,
Diva, tuam, quæ nunc dubiis committitur auris.
Dixit, & adducto contortum haſtile lacerto
Immittit. Sonuêre undæ, rapidum ſuper amnem

Infe-

❁ ❁ ❁

τῷ ἐνδοτέρω τῷ δένδρῳ Φλοιῷ λέγει, ἐφ' ᾧ, ὡς καὶ ἐπὶ τῷ παπύρῳ, τὰ Βιβλία τοῖς παλαιοῖς ἐγράφετο. Προσθεὶς δ' ὁ Ποιητὴς τῷ Libro τὸ Subere, ὃ τὸν Φελλὸν σημαίνει, τὸ ἕν, φασὶν ἐσήμανε διὰ δυοῖν, ὡς αὐτὸς διὰ τῷ ἑνὸς ἀνάπαλιν τὰ δύο ἀπεδώκαμεν, τὸν τῷ Φελλῷ Φλοιὸν ὑποθέμενοι· ἔστι γάρ τι δένδρῳ εἶδος ἡ Φελλόδρυς, περὶ οὗ ἐν τοῖς περὶ Φυτ. Ἰσορ. Βιβλ Α. καὶ Γ. Θεόφρασος.

Στίχ: 580. ΠΟΤΝΙΑ ΛΗΤΩΙΣ κτ: Ὁμοίως τιὼ Ἄρτεμιν ὑπὸ τῷ Σελλιΐης ὀνόματι καὶ Νῖσος ἐπεκαλεῖτο, Θ. Αἰν: στίχ: 422.

„Ἄσρων ἀγλαΐη. Λητῴε, οὔρε νεμᾶν τε.

Στίχ: 581. ΤΗΝ ΣΟΙ, ΈΓΩ ΦΥΝΤΩΡ, ΘΕΡΑΠΑΙΝΙΔΑ κτ: . . . . Ὡς ἐξουσίαν ἔχων ὁ πατὴρ, εἰς θεραπαίνιν Ἀρτέμιδι ἀνατίθησιν. Ὁδὲ Σέρβιος, καὶ καθ' αὐτὸ τὄνομα (ἡ Καμίλλα) τιὼ θεραπαινίδα δηλῶν ἐδίδαξε. Καὶ μὲν δὴ, καὶ παρὰ Ῥωμαίοις πάλαι, Καμίλλες τε καὶ Καμίλλας τὰς καὶ τὰς παῖδας ὀνομάζεσθαι, οἷς τε καὶ αἷς καθῆκεν ἡ τῶν Φλαμινίων ἐξυπηρέτησις.

Στίχ: 582 . . . . ΠΡΩΤΗ ΙΚΕΤΙΣ ΔΙΑ' ΑΥΡΑΣ Prima per Auras: Τὸ, πρώτη, τῶν Διερμηνευτῶν οἱ πλείες ὀλιγώρως παρῆλθον. Ἀλλ' ἤτοι, διὰ τὸ μηδεμίαν πρὸ αὐτῆς ἄλλιν, παραπλησίως διὰ δέρατος ἀφεθεῖσαν, τῇ Θεῷ καθιερωθῆναι, ἢ ὅτι πρώτιν ὁ πατὴρ τιὼ παῖδα τῶν ἐπελαυνόντων ῥυθῆναι ἱκέτευεν, εἶτα καὶ αὐτὸν μετ' ἐκείνιν, ὃ καὶ ἐγένετο. Τοιῦτο δέ τι ὑπολαβεῖν ἔδοξε καὶ ὁ Ἰταλὸς Κάρος:

„Ecco ch' a te devota, a l' armi tue]
„Accomandata, dal nemico in prima
„Sol per te la ſottraggo. . . .

Στίχ:

Εὖ δὲ τ' ἐπιπλέξας, ἐν μέσσῳ μὶν προτὶ δῆσε,
Δῶρον δεξιτερῇ δὲ ϛαθμῶν ἥνξατο τοῖα.
Πότνια Λητωΐς, νεμέων κοσμήτρια Κύρη,
Τιὼ τοι, ἐγὼ φιλτωρ, θεραπαινίδα εἶν' ὁσιῶμαι.
Σεῖο ἔχασα βέλη, πρώτη ἰκέτις διὰ ἄυρας,
Δυσμενέας φεύγει. Σιὼ δέχνυσο δῖα, ἔεσαν,
Ἤ σοὶ παρτίθεται διὰ ἠέρος ἀμφιβόλοιο·
Ἦ, καὶ ἀναξείλας γε βραχίονα ἔγχος ἀφῆκεν.
Ἦχησαν δὲ ῥέεθρα ὑπὲρ λάβρα ποταμοῖο,
Οἰκτρὴ ξιὼ δ' ἔπτη τριξοντι Καμίλλα βελέμνῳ·
Καὶ Μέταβος δ' ἤδη προσιόσης ἔγγιον εἵλης,
Βάλλεν ἑ ἐν ῥείθροις· διαβὰς δ' ἔγχος γ', ἅμα Κύρη,
Ἐκ χλοερῆ βώλα Τριοδίτιδι ἄνασασε δώρον.
Δέχνυτο τὸν δ' ἄρα ἡ δόμος, ἡ πόλις ἔνδοθι τείχης,
(Οὐ γὰρ ἑκὼν αὐτὸς ποτε ἀγριοτῆτ' ἀπολείποι.)
Ποιμενικὸν δὲ βίωτον ἐν οὔρεσιν ἦγεν ἐρήμοις,
Ἔνθ' ἐνὶ λόχμαις, καὶ τρηχείαις φωλείῃσι
Θυγατέρα τρέφεν ἐξ ἵππα μαζῶν ἀγελείης,
Χείλεσ' ἀμέλγασαν θηρὸς θηλὰς ἀπαλοῖσιν.
Ὡς δ' ἡ παῖς τὰ πρῶτα ποδοῖν ἀπερείσατο ἴχνη,
Αὐτίκα τῆς παλάμας ὀξεῖ κατεφόρτισεν ἔγχει,

N 2 Τυτ-

❁ ❁ ❁

Στιχ: 584. . . . ΔΙΑ' ΗΕ'ΡΟΣ ΑΜΦΙΒΟ'ΛΟΙΟ. Οὐ γὰρ ἰῷ ἀσφαλὲς, εἴπερ ἄρα, ἔτως ἀποτοξευθεῖσα δι' ἀέρος, ἀκινδυνως διελεύσεται.

Στίχ: 587. ΟΙΚΤΡΗ . . . . Οἰκτρὴ δὲ, ἐχὶ τικαῦτα ἦν, ὅτε διὰ τῦ βέλες ἐσώζετο, ἀλλὰ ιῷ, ὅτε εἰς πρέπτον αὐτὴ ἑαυτιὼ ἐνέβαλε κίνδυνον τῦ ἀναιρεθῆναι. (Ὅρα ἐξῆς στιχ. 608—611.)

Στίχ: 590. ΕΚ ΧΛΟΕΡΟ'Υ ΒΩ'ΛΟΥ ΤΡΙΟΔΙ'ΤΙΔΙ ΑΝΣΠΑΣΕ ΔΩΡΟΝ. Ὑποθέθαι δεήσει, ὅτι ἰθυτενὲς προῖὸν τὸ δόρυ, ἐπὶ τιὼ ἀπέναντι τῦ ποταμῦ ὄχθιω, ἀπαλωτέραν ὡς ἐκ βώλα χλοαζέσης περυκυῖαν, ἐνεπάγη, ὡς μὴ πρὸς αὐτῇ τῇ γῇ τὸ τῆς παιδὸς δέμας προσαρράχθιῶαι, στιῶμ δὲ μετέωρον· ἄλλως γὰρ ἂν συνετρίβη τῇ τῆς ῥίμης σφοδρότητι· περαιωθεὶς δ' ἔπειτα καὶ ὁ γεννήτωρ ἀνέπασε τὸ δορυ, καὶ τὸ θυγάτριον τῇ Τριοδίτιδι δῶρον προσήνεγκε· Τὸ δὲ δὴ (Τριοδίτιδι) ὧδε, καθάπερ καὶ τὸ ἑξῆς, στιχ. 606. (Ἡ δ' Ἀρτέμιδι ὅιη) ἐπὶ πρώτῳ ἀντωνομαξέον προσώπῳ· οἷον εἰ ἐφασκεν (ἐμοὶ) Οὐ γαρ ὁ Ποιητὴς ἐξὶν ὁ τὸ δρᾶμα ἐνταῦθα διεξιών, ἀλλ' ἡ Ἄρτεμις αὐτὴ, ἡ πρὸς τιὼ Ὤπιν τὸν λόγον ἀποτείνασα, ὡς δῆλον ἔκτε τῦ ἀνωτ: στιχ. 558. (Λητωΐς φθέγξατο τοῖα.) καὶ ἐκ τῶν ἑπομένων δὲ, στιχ. 610—619. Θαυμάζειν δ' ἔπεξιν, ὅτι τιὼ παρὰ τῷ Ποιητῇ ἐνταῦθα, περὶ τὸ πρόσωπον ὃ διέξεισι τὸ συμβὰν, ἀμφιβολογίαν, οἱ Σχολιογράφοι (οὓς αὐτὸς ἂν εἰδείῃ) ἅτως ἀταλαιπώρως παρήλθοσαν.

Στιχ: 591. ΔΕ'ΧΝΥΤΟ ΜΙ'Ν Δ' ΑΡΑ, Ο'Υ ΔΟ'ΜΟΣ, Ο'Υ ΠΟ'ΛΙΣ κτ: Ἦν γὰρ ἀπεχθὴς ἅπασιν, ὡς τυραννικός τις τὸν τρόπον καὶ ἄγριος, Οὐόλσκοις τε δὴ, καὶ Ἐτρύσκοις. (Ὅρα ἀνωτ: στιχ. 563.)

Στίχ: 596. . . . . ΘΗΡΟ'Σ ΘΗΛΑ'Σ . . . Θῆρες γὰρ κοινότερον μὲν, καὶ τὰ κτιλία ἁπλῶς, νιῶ δὲ καὶ ἡ περὶ ἧς ὁ λόγος ἵππος ἀδαμὴς ιῷ, ἢ διὰ τῦτο θηριωδεξέρα, ὡς εἰς ὀχείαν μόνον ἐπὶ τῆς ἀγέλης τηρεμένη.

Στίχ: 598 ΑΥ̓ΤΙ'ΚΑ ΤΗ'Σ ΠΑΛΛΑ'ΜΑΣ κτ: Οὕτω καὶ παρὰ Πινδάρῳ Πύθ. Θ.
Ἴξιονὸς ὁ τῶν Λαπιθῶν Ἄναξ,
„ . . . . Τὰν ἐυώλενον
„Θρέψατο παῖδα Κυράναν.

Λ

Infelix fugit in jaculo ſtridente Camilla.
At Metabus, magnâ propius jam urgente catervâ,
Dat ſeſe fluvio, atque haſtam cum virgine victor
Gramineo, donum Triviæ, de ceſpite vellit.
Non illum tectis ullæ, non mœnibus urbes
Accepêre: (neque ipſe manus feritate dediſſet.)
Paſtorum & ſolis exegit montibus ævum.
Hic natam in dumis, interque horrentia luſtra,
Armentalis equæ mammis, & lacte ferino
Nutribat, teneris immulgens ubera labris.
Utque pedum primis infans veſtigia plantis
Inſtiterat, jaculo palmas oneravit acuto,
Spiculaque ex humero parvæ ſuſpendit & arcum.
Pro crinali auro, pro longæ tegmine pallæ,
Tigridis exuviæ per dorſum à vertice pendent.
Tela manu jam tum tenerâ puerilia torſit,
Et fundam tereti circum caput egit habenâ;
Strymoniamque gruem, aut album dejecit olorem.
Multæ illam fruſtra Tyrhena per oppida matres
Optavêre nurum: ſo'â contenta Dianâ
Æternum telorum & virginitatis amorem
Intemerata colit: vellem haud correpta fuiſſet

Mili-

❁ ❁ ❁

„Ἃ μὲν ἀθ' ἑῶν παλιμβά-
„μες ἐφίλασεν ἑδὲς,
„Οὔτε δείπνων οἰκηρίαν
„μεθ' ἑταιρᾶν τέρψιας.
„Ἀλλ' ἀκόντεσσί τε χαλκέοις
„Φασγάνῳ τε μαρναμένα
„Κεράιζεν ἀγρίας
„θῆρας

Στίχ: 604. ΣΤΡΥΜΟΝΙΗΝ ΓΕ'ΡΑΝΟΝ . . . . Ἐκ τῆ πολλὰς περὶ Στρυμόνα τὸν ἐπὶ Θράκης ποταμὸν ἀθροίζεθαι τὰς Γεράνες. Ὅρα Δ. Γεωργ. στίχ. 611. καὶ I. Αἰν: στίχ. 277.

Στίχ: 605. ΠΟΑΛΛ'Ι ΤΗ'Ν ΔΕ ΜΑ'ΤΗΝ . . . . Ὡς καὶ Πίνδαρος ἔνθα ἄνωτ:, ὲ περὶ τῆς Ὑψέως Κυρήνης (καθάπερ ὑπειληφέναι ἔδοξε Κέρδης) περὶ δὲ Ἀλκηίδος τῆς Ἀνταίε (κατὰ τὸν Πινδάρε Σχολιαςὴν) λέγων:

„Τὰν μάλα πολλοὶ ἀρι—
„στῆες ἀνδρῶν αἴτεον
„σύγγονοι, πολλοὶ δὲ καὶ
„ξείνων, ἐπεὶ θαητὸν εἶδος
„Ἔπλετο, χρυσοςεφάνε δὲ οἱ ἦβας
„καρπὸν ἀνθήσαντ' ἀποδρέψαι ἔθελον.

Στίχ: 612. ΒΑ'ΣΣΚ' ΙΘΙ, Ω̃ ΝΥ'ΜΦΗ, ... Ἰλ: Θ. στίχ. 399.

„Βάσκ' ἴθι, Ἶρι ταχεῖα, πάλιν τρέπε, μηδ' ἔα ἄντίω·

Καὶ Ἰλ: Ω. στίχ. 144.

„Βάσκ' ἴθι, Ἶρι ταχεῖα, λιπῆς' ἕδος Ὀυλύμποιο

Στίχ: 614. ΤΗΙ ΤΑ'ΔΕ κτ: Δῆλον ἐκ τῶν ἑξῆς, ὅτι τιὼ φαρέτραν, καὶ τὰ τόξα ἡ Ἄρτεμις τῆ Ὤπιδι ἦν ἐπορέγεσα.

Στίχ: 616. ΤΡΩ'Σ, Ε'ΙΤ' ΙΤΑΛΟ'Σ ΕΙΗ . . . . Ἀντὶ τῆ Ἰταλῆ ὧδε τινὰ τῶν ἐξ Ἰταλίας ἐπικρεόντων Αἰνεία, λαβεῖν ἐξέσαι.

Στίχ:

Τυτθῆς δ' ἐξ ὤμοιϊν ἀφήψατο τόξα βιός τε.
Ἀντὶ δὲ κηδέμνε χρυσέε, φάρος τε ποδήρες,
Ἐκ κορυφῆς δέρρας, διὰ νώτε, Τίγριδος ἦρτο.
Χερσὶ βέλη δ' ἤδη ἀταλήπερ παιδικὰ πάλλε,
Σφενδόνιον δ' εὖ ἀμφὶ κάρη λῶρον ϛροφόωσα,
Στρυμονίῳ Γέρανον βάλεν, ἀργεννῆα τε Κύκνον.
Πολλαὶ τιὼ δὲ μάτιω Τυρρηνὰ κατ' Ἄϛεα μῆτρες
Ἐννυὸν ἱμεῖροντο ἔχειν· ἣ δ' Ἀρτέμιδ' οἵη
Αἰὲν ἔρον βελέων, καὶ παρθενίης, διασώϛει.
Αἴθ' ὄφελεν τοίης ϛρατίης μὴ δήποτ' ἠράθη!
Μηδ' ἄρ μαιμώοι Τεύκρες προκαλεῖθ' ἐπὶ ὅπλα!
Ὥς κ' ἔοι ἡδίϛη ἐν ἑταίραις νωῖ μοι ὀπάων.
Ἀλλὰ γ', ἐπεὶ μάλα δὴ μόιρας κατεπείγετ' ἀώροις,
Βάσκ' ἴθι, ὦ Νύμφη, προλιπὼϛ' ἔδος Οὐλύμποιο,
Αἰνὴ φύλοπις ἦχι κακὴ συρρήγνυται αὔϛῃ,
Τῇ τάδε· τιμωρὸν δὲ Φαρέτρης ἔξελε ἰὸν.
Τέτῳ δ', ἱερὸν ὅς κεν κεῖνο δέμας τιτρώϛῃ,
Τρῶς, εἴτ' Ἰταλὸς εἴῃ, ἐῷ μοι ἐν αἵματι τίϛει.
Εἶτα δ' ἐγὼ νεφέλῃ, δυϛπότμε σῶμα καὶ ὅπλα
Τυμβεύσω ἀναείρασ', ἀταὰρ πάτρῃ καταθήσω.
Ὥς φάτο· ἣ δ' ἄϊξε, πόλε λεπτῆς διὰ αὔρας,

Ἠχῇ.

❁ ❁ ❁

Στίχ. 618. ΤΥΜΒΕΎΣΩ ΆΝΑΕΙΡΑΣ . . . . . Οὓς γὰρ σφίσιν ὁσίως οἱ Θεοὶ εἶχον, πεσόντας ἐν τῇ μάχῃ ἄραντες, ἐπὶ τὰς ἰδίας ἐκείνων εἰώθεσαν μετακομίζειν πατρίδας. Ἥρα μὲν οὖν Ἰλ: Π. στίχ. 453. ὑποβάλλει.

Δίι, ἐπιτρέψαι μὲν Σαρπηδόνα ὑπὸ Πατρόκλε ἀναιρεθῆναι,

„Αὐτὰρ ἐπεὶ δὴ τόν γε λίπῃ ψυχή τε καὶ αἰών,
„Πέμπειν μὲν Θάνατόν τε φέρειν, καὶ νήδυμον Ὕπνον.
„Εἰς ὅκε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται,
„Ἔνθα ἑ ταρχύσεσι κασίγνητοί τε, ἕταί τε,
„Τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.

Ἀναιρεθέντα δὲ ἤδη, πεμφθεὶς παρὰ τῆ Διὸς Ἀπόλλων, (Αὐτ. στίχ. 667.)

„Αὐτίκα δ' ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρας,
„Πολλὸν ἄπο προφέρων, λῦσεν ποταμοῖο ῥοῇσι,
„Χρῖσεν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσε,
„Πέμπε δὲ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι
„Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν· οἵ ῥά μιν ὦκα
„Κάτθεσαν ἐν Λυκίης εὐρείης πίονι δήμῳ.

Ὡσαύτως παρὰ τῷ Καλαβρῷ, Δ'. Παραλειπ. στίχ. 4. Γλαῦκον ὑπὸ Αἴαντος πεσόντα·

„. . . . . Αὐτὸς Ἀπόλλων
„Ἐκ πυρὸς αἰθομένοιο μάλ' ἐσσυμένως ἀναείρας,
„Δῶκε θοοῖς ἀνέμοισι φέρειν Λυκίης ἐς ἑδνὸν αἴης.

Καὶ Παραλειπ. Β. στίχ. 649. Μέμνονι πρὸς τῆ Πηλείδᾳ δαμέντι·

„. . . . . Θοοὶ ἅμα πάντες ἀῆται
„Μητρὸς ἐφημοσύνῃσι βίῃ φορέοντο κελεύθῳ
„Ἐς πεδίον Πριάμοιο, καὶ ἀμφεχέοντο θανόντι·
„Οἵ καὶ ἀνηρείψαντο θοῶς Ἠῴιον υἷα,
„Καὶ ἔφερον πολιοῖο δι' ἠέρος . . . .

Militiâ tali, conata lacessere Teucros:
Cara mihi comitumque foret nunc una mearum:
Verum age, quandoquidem fatis urgetur acerbis,
Labere, Nympha, polo, finesque invise Latinos,
Triştis ubi infausto committitur omine pugna.
Hæc cape, & ultricem pharetra deprome sagittam:
Hâc quicunque sacrum violarit vulnere corpus,
Tros, Italusve, mihi pariter det sanguine pœnas.
Post ego nube cavâ miserandæ corpus & arma
Inspoliata feram tumulo, patriæque reponam.
Dixit: at illa leves cœli demissa per auras
Insonuit, nigro circundata turbine corpus.
At manus interea muris Trojana propinquat,
Etruscique duces. equitumque exercitus omnis,
Compositi numero in turmas: fremit æquore toto
Insultans sonipes, & pressis pugnat habenis
Huc obversus & huc: tum late ferreus hastis
Horret ager, campique armis sublimibus ardent.
Nec non Messapus contra, celeresque Latini,

Et

❁ ❁ ❁

Στίχ: 620. . . . . ΈΣΣΑΜΈΝΗ ΈΡΕΒΏΔΕΙ ΣΩ̃ΜΑ ΘΥΈΛΛΗι. Τὲς Θεὲς καὶ τὰς Θεαίνας ἐπὶ γῆς κατιέναι πλάττει ἡ Ποίησις, ἐπὶ μὲν ἀγαθοῖς νεφέλας αὐτὲς περιβάλλουσα σελασφόρους, ἐπὶ δὲ τοῖς ἐναντίοις γνοφερὰς τε καὶ ἀχλυώδες.

Στίχ: 623. ΠΆΝΤΕΣ ᾽ΑΡΙΘΜΗΤΟ᾽Ι . . . . Εὖ τε καὶ κατὰ ἀριθμὸν ἐπὶ φάλαγγος τεταγμένοι, ἓχ ὡς ἔτυχε συμμίγδιν φερόμενοι.

Στίχ: 626 ᾽ΑΓΡΟ᾽Σ . . . . ΣΙΔΉΡΕΟΣ ΈΓΧΕΣΙ ΦΡΊΣΣΕ, κτ: Ἰλ: Ν. στίχ. 339.

„Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
„Μακρῇς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ᾽ ἄμερδεν
„᾽Αυγὴ χαλκείη κορύθων ἀπὸ λαμπομενάων,
„Θωρήκων τε νεοσμήκτων, σακέων τε φαεινῶν,
„Ἐρχομένων ἅμυδις . . . . . .

Στίχ: 629. . . . . ΠΤΕΡΟ᾽Ν ᾽ΗΔΕ᾽ ΚΑΜΠ́ΑΛΗΣ· Τὸ ἐπὶ τῦ στρατῦ ἱππικὸν ἄγημα πτερὸν ὀνομάζεται, ἐνίοτε δὲ καὶ τὸ πεζικὸν· τῦτο δὲ, ἐκ μεταφορᾶς ἐν τῇ παρατάξει, καθάπερ σὼ καὶ μέτωπον εἴρηται, καὶ κέρατα, καὶ πλευραὶ, καὶ ἐρά.

Στίχ: 634. ΑΙ῎ΨΑ ᾽ΙΩΓΗ῀ κτ: Ἰλ: Δ. στίχ. 446.

„Οἱ δ᾽ ὅτε δὴ ῥ᾽ ἐς χῶρον ἔσαν ξυνιόντες ἴκοντο
„Σὺν ῥ᾽ ἔβαλον ῥινὲς, σὺν δ᾽ ἔγχεα, καὶ μένε᾽ ἀνδρῶν
„Χαλκεοθωρήκων, ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
„Ἔπληντ᾽ ἀλλήλῃσι, πολὺς δ᾽ ὀρυμαγδὸς ὀρώρει κτ:

Στίχ: 635. . . . ΧΕΥ῎ΝΤΟ ΔΕ᾽ ΤΟ᾽ΞΑ. Καλαβρ: Παραλειπ: ΙΑ. στίχ. 16.

„Πάντῃ αἰγανέαι τε, καὶ ἔγχεα, καὶ βέλε᾽ ἀνδρῶν,
„Ἄλλυδις ἄλλα χέοντο, κακὴ μεμαῶτα φόνοιο.

Στίχ: 636. ΤΑΡΦΈΑ ᾽ΩΣ Νιφάδες κτ: Ἰλ: Μ. στίχ. 156.

„ . . . . . Νιφάδες δ᾽ ὡς πίπτον ἔραζε·
„Ὡς τ᾽ ἄνεμος ζαὴς, νέφεα σκιόεντα δονήσας,
„Ταρφειὰς κατέχευεν ἐπὶ χθονὶ πολυβοτείρῃ·
„Ὡς τῶν ἐκ χειρῶν βέλε᾽ ἔῤῥεον . . . .

Στίχ:

Ἠχῇ, ἐσσαμένη ἐρεβώδεα σῶμα θυέλλῃ.
Τετάκι δ' ἄρ τείχεσσι Φάλαγξ προτιπίλνατο Τρώων,
Τυρρηνοὶ τ' ἀγέται, στρατὸς ἱππήων τε κατ' ἴλας·
Πάντες ἀριθμητοὶ· κρατερώνυξ δ' ἀμπέδον ἵππος
Βαῖνε προσύνων ῥίμφα, φρυαγματίας γε χαλινοῖς,
Ἀγχόμενός τ' ἀντεῖχεν, ἀτὰρ τρέπετ' ἔνθα καὶ ἔνθα.
Ἀγρὸς δ' εὐρὺς τόφρα σιδήρεος ἔγχεσι φρίσσε,
Στίλβε τε δαιόμενον πέδον, αἰρομένοισιν ἐν ὅπλοις.
Μέσσαπος ἀντιόων δ' ἦν, σὺν πρυμνοῖσι Λατίνοις,
Σύν τε κάσει δὲ Κόρας, Κάρης πτερὸν ἠδὲ Καμίλλης.
Ἀντίβιοι δ' ὤφθεν, καὶ δεξιτερὰς δ' ἀνασεῦντες
Δηλιχὰ ἔγχεα τεῖνον, ἀτὰρ τ' ἰὰς προΐαλλον.
Ὁρμὴ δῆτ' ἀνδρῶν, χρεμετισμός τ' ἄϋτο ἵππων.
Ἤδη δ' ἄχρι βέλος ἑκάτερθε βολῆς ξωιόντες,
Αἶψα ἰωγῇ σὺν μεγάλῃ ἐπόρουον, ἰδ' ἵππος
Σπέρχον κατχρεμέθοντας· ἀπάντοθε χεῦντο δέ τόξα,
Ταρφέα ὡς νιφάδες· βαθέη δ' ἔλεν ἠρανὸν ὄρφνη.
Αὐτίκα δ' ἀντιβίην Τυρρίωσς, ἰδ' ὀξὺς Ἀκοντεύς,
Ἔγχεσιν ἀνσήτιω ἀλλήλοιν· σὺν δὲ πεσόντοιν
Πολλῷ σὺν πατάγῳ, στήθεσφιν στήθεα ἵππων
Τετραπόδων ἄρραχθεν· Ἀκοντεὺς δ' ἐκπροθαίς γε
Σκηπτὸς ἄρ ὡς, ἢ λᾶς μέγα βρίθων ἐκ Καταπέλτης
Τῆλ' ἄπο βέβληται, ψυχίῳ τε κέδασσεν ἐς ἄυρας.
Αὐτόδιον θράχθεν δὲ ἴλαι, τρέφθεν τε Λατῖνοι,
Στρέψαντες δὲ σάκη, ἵππος ἐπικάμψαν ἐς Ἄσυ.
Τρῶες τὸς δ' ἐλάσασκον, ἀγήματα δ' ἦγεν Ἀσύλας.
Ἤδη δ' ἄρ πίλναντο πύλαις. Ἔνθ' αὖτε Λατῖνοι
Αἶψ' ἰαχήσαντες, δειρὰς ἀπαλὰς ἀνακάμψαν,
Ἄμπαλιν, οἱ δὲ φέβοντο ὅλοις ἀνέτοις ῥυτῆρσιν·
Οἷος ἐπαλλήλοις ῥοθέων δινήμασι πόντος,
Νωῖ μὲν ἐπὶ σκοπέλος χέρσος ἐπερεύγεται οἶδμα,
Ἀφρῶν δ' ἐχατίῳ ψάμαθόνδ' ἀκτῆς ἐπιβαίνει·

Στίχ: 636. . . . . ΒΑΘΕΊΗ Δ' ΎΕΛΕΝ Ο'ΥΡΑΝΟ'Ν ΎΟΡΦΝΗ. Τῷ τᾶν ἐπαφιεμένων ἑκατέρωθεν πλήθει βελῶν τε καὶ τοξευμάτων τὸ ἀέρος κατασκιαθέντος.

Στίχ: 641. . . . . ἘΚ ΚΑΤΑΠΈΛΤΟΥ. Ὁ δὲ Καταπέλτης, μηχάνημα ἰῷ παλαιὸν ἐν πολέμοις, ἤτοι ὄργανον ἀφετήριον λίθων τε καὶ διαφόρων ἄλλων βελῶν, ἐν τειχομαχίαις μάλιστα χρησιμεῦον.

Στίχ: 644. ΣΤΡΈΨΑΝΤΕΣ ΔΕ᾽ ΣΆΚΗ κτ: Ὁ γὰρ ἀσπιδιώτης φεύγων, τὴν ἀσπίδα ἐπὶ νώτῳ ῥίπτει, μὴ ὄπισθε τρωθῇ παρὰ τὸ διώκοντος. Ἔοικε δὲ ἡ Λατίνων τοιάδε φυγὴ ἐκ στρατηγήματος ἐπιτηδευθῆναι, ἢ δοκεῖ ἐκ τῆς αἰφνιδίας παλινστρόφε ἐπαναπάμψεως καὶ παλιν διώξεως.

Στίχ: 647. . . . . ΔΕΙΡᾺΣ ᾼΠΑΛΑ'Σ . . . . Οὐ γὰρ ἦσαν τραχύστομοι, οὐδὲ σκληράυχενες αὐτοῖς οἱ ἵπποι, ἀλλ' ἑτοίμως τοῖς χαλινοῖς ὑπακόοντες.

Στίχ: 648. ᾼΜΠΑΔΙΝ ΟΙ΄ ΔΕ᾽ ΦΈΒΟΝΤΟ . . . . Οἱ ἀμφὶ τὸς Τρῶας δηλονότι.

Στίχ:

Et cum fratre Coras, & virginis ala Camillæ,
Adverſi campo apparent; haſtaſque reductis
Protendunt longe dextris, & ſpicula vibrant.
Adventuſque virûm, fremituſque ardeſcit equorum.
Jamque intra jactum teli progreſſus uterque
Subſtiterat: ſubito erumpunt clamore, frementeſque
Exhortantur equos: fundunt ſimul undique tela
Crebra, nivis ritu, cœlumque obtexitur umbrâ.
Continuo adverſis Tyrrhenus, & acer Aconteus
Connixi incurrunt haſtis, primiqne ruinam
Dant ſonitu ingenti, perfractaque quadrupedantum
Pectora pectoribus rumpunt: excuſſus Aconteus
Fulminis in morem, aut tormento ponderis acti,
Præcipitat longe, & vitam diſpergit in auras.
Extemplo turbatæ acies, verſique Latini
Rejiciunt parmas, & equos ad mœnia vertunt.
Troës agunt: princeps turmas inducit Aſylas.
Jamque propinquabant portis: rurſuſque Latini
Clamorem tollunt, & mollia colla reflectunt:
Hi fugiunt, penituſque datis referuntnr habenis.
Qualis ubi alterno procurrens gurgite pontus

Nunc

❀ ❀ ❀

Στίχ: 657. ΣΥ᾽Ν ΤΕ ΠΛΕ᾽ΞΑΝ ᾽ΙΛΑΣ κτ: Ἰλ: Δ. 472.
„Ἀλλήλοις ἐπόρουσαν, ἀνὴρ δ᾽ ἄνδρὶ ἐδυκοπάλιζεν.

Στίχ: 658. ΤΟ᾽ΦΡ᾽ ᾽ΑΡΑ ᾽ΟΙΜΩΓΗ᾽ Τ᾽ ΕΥ᾽ΧΩΛΗ᾽ Τ᾽ . . . .
659. ᾽ΟΛΛΥ᾽ΝΤΩΝ ΤΕ ΚΑ᾽Ι ᾽ΟΛΛΥΜΕ᾽ΝΩΝ . . . . Ἰλ: Δ. στίχ. 450. Αὐτολεξεί.

Στίχ: 662. ᾽ΟΡΣΙ᾽ΛΟΧΟΣ ῬΕΜΥ᾽ΛΟΙΟ κτ: Ἀπορεῖν ἔπεισιν ὧδε, ὁπότερος ὁ δεδοικὼς ἰὼν ἀπαντῆσαι; τῶν γὰρ παλαιοτέρων Σχολιαστῶν ἐδεὶς σαφῶς διεξείλατο, ὃν ἂν καὶ αὐτὸς εἰδείλυ· τῶν δέ τοι Γάλλων οἷς ἐγκύψαι μοι ἔπεγένετο, ὁ μὲν οὕτως (Des-Fontaines) ἡρμήνευκεν: Orſiloque voyant que Rémulus l'evitoit, perce de ſon dard le cheval de cet ennemi, au-deſſous de l' oreille. etc: Τοῦτο δ᾽ ἐστὶν ὅτι Ῥεμύλος ἦν, ὃς ἔφιππος τυγχάνων προσελθεῖν ἐδεδίει, καὶ εἰς χεῖρας ὁμόσε τῷ ᾽Ορσιλόχῳ χωρῆσαι· ὅθεν ἕτος ἐκεῖνος, πεζὸς ἱππέως, ἐφικέσθαι μὴ ἔχων, κατέτρωσε καιρίως τὸν ἵππον πόρρωθεν τινὶ αἰγανέτῃ ἀφεὶς· ὁ δὲ (Lallemand) τἀναντίον ἀπέδωκεν: Orſiloque n' oſant attaquer de près le terrible Rémulus, lança une Javeline à ſon cheval. etc: τοῦτο δὲ βέλεται ὅτι ᾽Ορσίλοχος ἰὼν ὁ δεδιὼς, καὶ ἔχ ὁ Ῥεμύλος. Ἤ πε δὲ, τ᾽ ἀληθὲς εἰπεῖν, ὁ Μάρων αὐτὸς, τῆς διαφόρε αἴτιος ἐγένετο διανοίας, ὡς τὸ συμβὰν ἐκφεύσας δι ἀμφιλόγε παρενθέσεως.
„Orſilochus Remuli (quando ipſum horrebat adire)
„Haſtam intorſit equo etc . . . . . .
Τὸ γὰρ Ipſum horrebat; (Αὐτὸν ὑπέφριττεν) τὸ πότερον ἀόριστον παραλείπει. Ταύτῃ τοι καὶ ὁ Ἰταλὸς Κάρος ἀμφιβολογεμένῳ ὁμοίως διεσοφίσατο τινὶ ἑρμηνείαν πως ἀποδῦναι:
Orſiloco a rincontro
„Di Remolo trovoſſi. E non oſando
„Di ſtar ſeco alle mani; etc:
Ἔστι γὰρ καὶνταῦθα πυθέσθαι, περὶ ποτέρε λέγεται, τὸ, non oſando: (ἐπεὶ ἓν ἐτόλμα.) Τέτε δὴ χάριν καὶ ἡμεῖς τὸ ἀμφίλογον τῆς τε Ποιητε φράσεως ἔασαι εἰλόμεθα, ἐν παρενθέσει ἀποδόντες, ὡς ἐκεῖνος:
„Ὀρσίλοχος Ῥεμύλοιο (ὃς ἀντιβολῆσ᾽ ἐδεδοίκει)

Τοῖς

Νιῶ δὲ κυλινδομένας λᾶας κραιπνῶς ἀμπωτίζων
Οἴχετ' ὀλιθαίνων ὀπίσω, ἀκτιὼ τ' ἀπολείπει.
Δὶς Θύσκοι Ῥοτόλας τρέψαντες τείχεσ' ἀπῶσαν,
Δὶς νῶτα σεγάσαντες ὄπιθ' ἐπὶ φύξιν ἐσεῖδον.
Ὡς τρίτον ἀλλήλοις δ' ὑσμῖνι σωῆλθον, ἀπάσας
Σώ τε πλέξαν ἴλας, ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζε·
Τόφρ' ἄρα οἰμωγή τ' ἐυχωλή τ' ἔπλετο ἀνδρῶν,
Ὀλλύντων τε καὶ ὀλλυμένων· ῥέε δ' αἵματι γαῖα.
Σώματά θ', ὅπλα τε, ἠδ' ἀναμίξ γε σὺν ἄνδρεσιν ἵπποι
Ἡμιθανεῖς κυλίοντο· Ἄρης δ' ὀξὺς μάλ' ἀέρθη.
Ὀρσίλοχος Ῥεμύλοιο (ὅς ἀντιβολῆσ' ἐδεδοίκει.)
Ἵππα ἀντιτίτηνεν, ὑπ' ἔατι λᾶπε δὲ ἔγχος·
Ἥλατο δ' ἄρ βληθὶς μώνυξ μανικῶς ἐριάυχιω,
Τρώματος ἀτλήμων, σκέλεα ξέρνον θ' ὁ δ' ἄειρεν·
Ἱπποβάτης δὲ ἔραξε κυλίνδετο ἐξ ἄπο σειθεὶς·
Καδδὲ Κατίλλος πέφνεν Ἰώλαν, Ἐρμίνιόν τε,
Καίτοι τόνδε μέγαν θυμῷ τε, δέμας τε, καὶ ὅπλοις.
Τᾶ κὰρ γυμνὸν ἔϊω, ξανθῇ τε κόμῃ αἰγλῆεν,
Γυμνοὶ δ' ὦμοι, ἐπεὶ ἄτοι μάλα τρώματα δεῖδε,
Πάντῃ πᾶς δ' ἔκκειτο βελέμνοις· τᾶνεκα ἔγχος
Ἀχθὲν ῥηϊδίως διὰ εὐρέα νῶτα κραδάνθη.
Ἰδνώθη δὲ πεσὼν, διπλᾶ δ' ἐπιήθετο ἄλγεα.

Χέυετο

❁ ❁ ❁

Τοῖς αὐτᾶ ὡς οἷον τε βαίνειν χαίροντες ἴχνεσιν. Εἰ δέ τις ξῆσαι τὸν νᾶν ἐπὶ θατέρω ἐφίοιτο, ἐρεῖ, κατὰ μὲν τιὼ τᾶ προτέρα τῶν Γάλλων ἔκθεσιν:

„Ὀρσίλοχος Ῥεμύλοιο δεδοικότος ἀντιβολῆσαι·

Κατὰ δὲ τιὼ τᾶ δευτέρα:

„Ὀρσίλοχος Ῥεμύλοιο δεδοικὼς ἀντιβολῆσαι.

Τὸ δὲ τοι μέτρον, καὶν ταῖς τρισὶν ἀπαραλυμάντως ἐκφράσεσι διασώζεται.

Στίχ: 664—666. ΗΛΑΤΟ Δ' ΑΡ' ΒΛΗΘΕΙΣ κτ: Παραπλήσιόντι καὶ τῷ Μεζέντε ἵππω σωέβη· Βιβλ: Ι. Αἰν: περὶ τὸ τέλος· στίχ. 936—939. Ἀλλ' ἐπὶ τέτοις ἔραμοι, καὶ τὸν Νέσορος ἵππον τρωθέντα ὁμοίως παρ' Ὁμήρῳ, Ἰλ: Θ. στίχ. 81.

„ . . . . . Τὸν βάλεν ἰῷ
„Δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο,
„Δεξιὸν κακκορυφιὼ, ἔνθι τε πρῶται τρίχες ἵππων
„Κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριον ἐστίν.
Ἀλγήσας δ' ἀνέπαλτο, βέλος δ' εἰς ἐγκέφαλον δῦ
„Σιὼ δ' ἵππους ἐτάραξε, κυλινδόμενος περὶ χαλκῷ.

Στίχ: 673. . . . . ΔΙΠΛΟΤ Δ' ΕΠΙΗΙΣΘΕΤΟ ΑΛΓΟΥΣ. Ὁ Μάρων κατά τινα τῶν Ἀπογράφων:

„Duplicat que virum transfixa dolore.

Ὡς δ' ἄλλοι ἀνέγνων:

„Duplicatque viri transfixa dolore.

Ὡς δ' ἄλλοι:

„Duplicatque, virum transfixa dolorem.

Τέτων ἡ μὲν Δ. ἀνάγνωσις διπλάζει τὸν ἄνδρα, ἰδνωθέντα τῷ τᾶ τράυματος ἄλγει, καὶ οἷον εἰπᾶν συγκύψαντα, κατὰ τὸν παρ' Ὁμήρῳ Θερσίτιω, οἳ πλῆξε μὲν τὸ μετάφρενον τᾷ σκήπτρῳ Ὀδυσσεὺς, ὁ δὲ ἀλγήσας ἰδνώθη. Ἰλ: Β. στίχ. 266 Ἡ δὲ Β τῶν ἀναγνώσεων διπλάζει τὸ ἄλγος τῷ ἀνδρὶ. Καὶ ἡ Γ. δὲ ὁμοίως, διαφείλασα αὖτη μεταξὺ δι' ὑποσιγμῶν, τὸ, Virum transfixa:

Nunc ruit ad terras, ſcopuloſque ſuperjacit undam
Spumeus, extremamque ſinu perfundit arenam:
Nunc rapidus retro atque æſtu revoluta reſorbens
Saxa, fugit, littuſque vado labente relinquit.
Bis Thuſci Rutulos egêre ad mœnia verſos:
Bis rejecti armis reſpectant terga tegentes.
Tertia ſed poſtquam congreſſi in prælia, totas
Implicuêre inter ſe acies, legitque virum vir;
Tum vero & gemitus morientum, & ſanguine in alto
Armaque, corporaque, & permiſti cæde virorum
Semianimes volvuntur equi; pugna aſpera ſurgit.
Orſilochus Remuli (quando ipſum horrebat adire)
Haſtam intorſit equo, ferrumque ſub aure reliquit:
Quo ſonipes ictu furit arduus, altaque jactat,
Vulneris impatiens, arrecto pectore, crura.
Volvitur ille excuſſus humi. Catillus Jolan,
Ingentemque animis, ingentem corpore & armis
Dejicit Herminium; nudo cui vertice fulva

Cæſa-

❀ ❀ ❀

(διαπείρασα τὸν ἄνδρα.) Ἀπορήσειε δ' ἄντις, πῶς ἄρα τὸν τῆ ἄλγεϊ διπλασιασμὸν δηήσει νοεῖν; Ἀλλὰ τὸ πρῶτον μὲν, εἰποιτις ἄν, ἐν ᾧ τρωθεὶς τέτρωται, τὸ δὲ τοι δεύτερον, ἐν τῷ πεσόντα συσραφλῶαι· ἤ, ἐπειδὴ διαμπερὲς τὸ ἔγχος ἐχώρησε, δεδιπλάσθαι πως εἰπεῖν ἔσαι τὸ τραῦμα, ὡς ἐπί τε τῶν νώτων, καὶ ἐπὶ τὰ σήθεα ποιῆσαν τῆ ἄλγεϊ τλιὺ αἴσθησιν· ἢ τέως καὶ ὅτι τὸ δόρυ, καθάπερ εἴρηται (σίχ. 672.)

„Ἀχθὲν ῥηϊδίως διὰ ἐυθέα νῶτα κραδάνθη.

Τᾶθ' ὅπερ ἐσὶ, διεσαλεύετο ἐπὶ ποσὸν, καὶ διεκλονεῖτο, τλιὺ ῥύμλω τῆς κινήσεως καὶ μετὰ το ἐμπαρλῶαι ἐνδιασῶζον, καὶ τὸ ἄλγος ἔτως ἐπανεγεῖρον.

Στίχ: 676. ΟΙ' Δ' Η΄ΤΟΥΝ ΚΑΛΟ'Ν ΣΦΙ΄ΣΙΝ ἘΚ ΔΗ' ΤΡΑ΄ΥΜΑΤΟΣ ΄ΟΙΤΟΝ. Οὕτω καὶ Νῖσος Θ. Αἶν: σίχ. 418, τῷ ἐπεράσῳ Εὐρυάλῳ ἐπαμιὼν, διεσκοπεῖτο ὡς τεθνήξοιτο.

„Σπεύσοι τ' ἀντιόων καλῷ διὰ τρώματος οἴτῳ.

Στίχ: 677. . . . . ΄ΑΜΑΖΩ΄Ν . . . . Ἡ γὰρ τῷ ἔθνει Οὐολσκὶς, ἥρμοσο τὸν βίον τοῖς ἤθεσι τῶν Ἀμαζονίδων, περὶ ὧν εἴρηται, Α. Αἶν: σίχ 534.

Στίχ: 679. ΚΑΙ' ΝΥ΄Ν ἘΣΣΥΜΕ΄ΝΩΣ κτ: Καταλέγει τὰ ὅπλα, οἷς ἐν πολέμῳ χρῆσθαι ἡ Καμίλλα εἰώθει, ἄλλοτε ἄλλοις· Τὰ δ' ἦν ἀκόντια, καὶ πέλεκυς, καὶ τόξα· τοιαῦτα δὲ ὑπῆρχε καὶ τὰ Πενθεσιλείας παρὰ τῷ Καλαβρῷ Α. Παραλειπ: σίχ. 157.

„Δουρὸς εἵλετ' ἄκοντας ὑπ' ἀσπίδα· δεξιτερῇ δὲ
„Ἀμφίτυπον βεπλῆγα, τὸν οἱ Ἔρις ὤπασε δεινὴ,
„Θυμοβόρᾳ πολέμοιο πελώριον ἔμμεναι ἄλκαρ.

Στίχ: 681. . . . . ΚΛΑ΄ΓΓΕ Δ' ἘΠ' ΄ΩΜΟΥ . . . . ΤΟ΄ΞΑ. Ἰλ: Α. σίχ. 46.

„Ἔκλαγξαν δ' ἄρ' ὀϊστοὶ ἐπ' ὤμων χωομένοιο.

Στίχ: 683. ΤΟ΄ΞΟΝ ΄ΑΝΑΣΤΡΕ΄ΨΑΣΑ ΠΑΛΙ΄ΝΤΡΟΠΟΣ κτ: Αὕτη δὴ Παρθυέων ἡ δεξιότης γενέθαι ἱσόρηται, τῶν ἐπισροφάδην, ἐν ᾧ φεύγειν ἔσπευδον, τὰς ἐπιδιώκοντας κατατοξδόντων. (ὅρα ἐν Γ. Γεωργ. σίχ. 34.)

Στίχ: 684. ΄ΑΜΦΙ' Δ' ΟΙ' ΄ΩΜΑ΄ΡΤΟΥΝ κξ. Τρεῖς ἐπαδὲς ἀριθμεῖ Καμίλλας ὁ Μάρων, τὰς αὐτὰς ἐπί τε ἐρίλιης, καὶ ἐν πολέμῳ ἐπιλέκτες αὐτῇ θεραπαι-

Χέυετο δ' ἄῤ πάντῃ μέλαν αἷμα. Ἀμοιβαδὰ δ' οἱ μὲν,
Μαρνάμενοι γ' ἑτέροισι σιδήρῳ κήδε' ἐφῆπτον·
Οἱ δ' ἤτην καλὸν σθένος ἐν δὴ τράυματος οἶτον.
Ἐν δ' ἀνδροκτασίῃσιν Ἀμαζὼν γήθετο μέσση,
Λαιὸν γυμνὴ πλευρὸν, ἔχουσα Καμίλλα φαρέτρην·
Καὶ νῶϊ ἐσσυμένως μὲν ἀκόντια ταρφέα χεῦε,
Νῶϊ δ' ἐν δεξιτερῇ πέλεκυν σιβαρὸν διενώμα·
Ἀρτέμιδος τῇ κλάγγε δ' ἐπ' ὤμῳ χρύσεα τόξα.
Ἥ δ' ἔτι, αἴκεν δή ποτε ἆψ ἄπο χάσσατο νῶτα,
Τόξον ἀναῤρέψασα παλίντροπος ἴθυ' ἰὼς·
Ἀμφὶ δ' οἱ ὠμάρτην ἐπίλεκτοι παρθενικαί γε
Λάρυνα, καὶ Τύλλη, καὶ Ταρπείη σροφέουσα
Χαλκείῳ κοπίδ'· αἱ δ' ἄρα Ἰταλιώτιδες ἔσσαν,
Τάς περ οἱ ἀγλαΐην ἐπελέξατο δῖα Καμίλλα,
Ἐθλὰς εἰρώης θεραπαίνας, ἠδέ τε χάρμης·
Οἵας Θρηΐκιαί γ', ὅτε Θερμωδόντιον ὄχθῳ,
Μαρνάμεναι κροτέουσιν, Ἀμαζόνες ἀντιάνειραι,
Τεύχεσι δαιδαλέοις ἀμφ' Ἱππολύτιῳ· ἦ εὖτε
Πενθεσίλεια ἄγει ὁλολυγμῷ ἅρμα πολύθρῳ,

❁ ❁ ❁

ραπαινίδας· ὁ δὲ Καλαβρὸς τῇ Πενθεσιλείᾳ, (Παραλειπ: Α. στίχ. 33.)

„Σοὶ δὲ οἱ, ἄλλαι δυώδεκα πᾶσαι ἀγαυαὶ,
„. . . . . .
„Λῖ οἱ δμωΐδες ἕσκον, ἀγακλειταί περ ἐοῦσαι·

Καὶ τὰ μὲν ὀνόματα τῶν περὶ τὴν Καμίλλαν, Ἰταλιωτίδων ἐουσῶν, ἃς καὶ αὐτὴ, Ἰταλικὰ εἰκότως ἐτέθη: Λαρίνα, Τύλλη, Ταρπεῖα· τὰ δὲ τῶν περὶ τὴν Πενθεσίλειαν, παρὰ τῷ Καλαβρῷ, Ἑλληνικά. Αὐτ: στίχ. 41—45.

„. . . . . Κλονίη, Πολεμοῦσά τε, Δηριάδη τε,
„Ἐυάνδρη τε, καὶ Ἀντάνδρη, καὶ δῖα Βρέμουσα,
„Ἠδὲ καὶ Ἱππόθοη, μετὰ δ' Ἀρμοθόη κυανῶπις,
„Ἀλκιβίη τε, καὶ Ἀντιβρότη, καὶ Δηριμάχεια,
„Ταῖς δ' ἐπὶ Θερμώδοσσα, μὲγ' ἔγχει κυδιόωσα.

Στίχ: 689. ΟΙΑΙ ΘΡΗΙΚΙΑΙ Γ', ΟΤΕ ΘΕΡΜΩΔΟΝΤΙΟΝ ΟΧΘΗΝ. Τὰς Σαυρομάτιδας, φασὶ, τὰς περὶ τὸν Τάναϊν πάλαι οἰκέσας, καὶ τὰ περὶ τὸν Θερμώδοντα ἐντεῦθεν ἐξῆς καταλαβεῖν ποταμὸν, τὸν ἀπὸ Καππαδοκίας ἰόντα, καὶ εἰς τὸν Εὔξεινον πόντον ἐκβάλλοντα· ἔνθα καὶ Θεμισκύρας Ἀνάκτορον ἐδείκνυτο τῆς ἐκείνων Ἀνάσσης. Ταύτας δὲ εἶναι τὰς Ἀμαζόνας, ἃς καὶ Θρηΐκιας ἐνταῦθα ὁ Ποιητὴς κατονομάζει, ἢ καθότι καὶ τῆς Θράκης ὕστερον ἐπέβησαν, αἱ καὶ μέχρις Ἀττικῆς τέως ἐλάσαι καθιστορέμεναι· ἢ γοῦν καὶ ἀνάπαλιν, ὅτι τὸ Θράκης ὄνομα, καὶ αὐτῇ τῇ μικρᾷ καλεμένῃ Ἀσίᾳ πλατύτερον ἀπονενέμηται. Ἐξ οὗ καὶ Θρακικὰ, ἢ Θρακῶα πεδία, ἅπερ ἐνέμοντο αἱ ἀπὸ Ταναΐδος Ἀμαζόνες. τὰ δὲ Θερμωδόντια ῥεῖθρα σωκδοχικῶς ἐκδεκτέον, ἀντὶ τῶν παροχθίων, ἅπερ ὁ ῥῆς ὁ τῆ Θερμώδοντος παραμείβεται.

Στίχ: 691. . . . . ΑΜΦ' ΙΠΠΟΛΥΤΗΝ . . . .
692. ΠΕΝΘΕΣΙΛΕΙΑ Ἡ μὲν Ἱππολύτη τῶν Ἀμαζόνων ὑπῆρξεν ἄνασσα, ἧς τὸν ζωστῆρα Ἡρακλῆς ἀφείλετο, ὃν ἐξ Ἄρεος εἶχε λαβοῦσα, ὅς ὁ Θ. ἦν τῶν ἄθλων τῆ Ἥρως, καταγωνισαμένη τὰς Ἀμαζόνας. (Ἀπολλόδ. Βιβλ: Β. Κεφ: Ε.) ΑΜ' ἦν Ἀπολλόδωρος (Αὐτ:) ὑπὸ Ἡρακλέους διέξεισιν ἐν τῷ πολέμῳ πεσεῖν, ταύτην ὁ Καλαβρὸς ἐῤῥαψώδησεν ὑπὸ Πενθεσιλείας τῆς κασιγνήτης, ἤτοι γ' ἑκούσης, ἀποκτανθῆναι. (Α. Παραλειπ: στίχ. 24.)

„ . .

Cæſaries, nudique humeri: nec vulnera terrent:
Tantus in arma patet! latos huic haſta per armos
Acta tremit, duplicatque, virum transfixa, dolorem.
Funditur ater ubique cruor: dant funera ferro
Certantes, pulchramquə petunt per vulnera mortem.
At medias inter cædes exultat Amazon,
Unum exerta latus pugnæ, pharetrata Camilla.
Et nunc lenta manu ſpargens haſtilia denſat,
Nunc validam dextrâ rapit indefeſſa bipennem.
Aureus ex humero ſonat arcus, & arma Dianæ.
Illa etiam, ſi quando in tergum pulſa receſſit,
Spicula converſo fugientia dirigit arcu.
At circum lectæ comites, Larinaque virgo,
Tullaque, & æratam quatiens Tarpeia ſecurim,
Italides: quas ipſa decus ſibi dia Camilla
Delegit, paciſque bonas bellique miniſtras.
Quales Threiciæ cùm flumina Thermodontis
Pulſant, & pictis bellantur Amazones armis:
Seu circum Hippolyten, ſeu cùm ſe Martia curru
Penthesilea refert: magnoque ululante tumultu,
Fœminea exultant lunatis agmina peltis.
Quem telo primum, quem poſtremum, aſpera virgo
Dejicis?

❀ ❀ ❀

„. . . . . Τίὼ γὰρ ῥὰ κατέκτανε δερὶ κραταιῷ·
„Ὄυ μὲν δὴ τὸ γ' ἐκῆσα, τιτυσκομένη δ' ἐλάφοιο.
Μέμνηται ἓν ἀμφοτέρων τῶν Ἀμαζονικῶν πολέμων ὁ Ποιητὴς ἐνταῦθα, τῇ μὲν Ἱππολύτης καθ' Ἡρακλέες συςάντος ἐν Θεμισκύρᾳ, τῇ δὲ Πενθεσιλείας κατ' Ἀχιλλέως ὑπὸ τὸ Ἴλιον. (Ὅρα καὶ ἐν Λ. Αἰν: τὰ σημειωθ: ςίχ. 534. καὶ 535.)

Στίχ: 693. . . . . ΣΕΛΗΝΟΣΧΉΜΟΣΙ ΠΈΛΤΑΙΣ. Περὶ ὧν Ζ. Αἰν: ςίχ. 782. Κἀν τῷ αὐτῷ δὲ Βιβλ: ςιχ. 201. Αὐτ: ἔνθα περὶ τῆ Ἀγκυλίᾳ.

Στίχ: 694. . . . ΤΊΝΑ ΠΡΩΤΟΝ, ΤΊΝΑ . . . Λ' ΥΣΤΑΤΟΝ . . . Οὕτω καὶ τὶὼ ὑπὸ Ἕκτορος γενομένῳ τοῖς Ἀχαιοῖς θραῦσιν Ὅμηρος παρέςησεν, ὡς κατ' ἐνδειαν λόγε, τῇ εἰπεῖν ἐξαρκέσοντος: Ἰλ: Ε. ςίχ. 703. καὶ Λ. ςίχ. 296.
„Ἔνθα τίνα πρῶτον, τίνα δ' ὕςατον ἐξενάριξεν;
Καὶ τὶὼ ὑπὸ Πατρόκλε δὲ τοῖς Τρωσὶν, ὃν καὶ κατὰ δευτεροπροσωπίαν, ὡς ὁ Μάρων ὧδε τὶὼ Καμίλλαν, καὶ Ὅμηρος ὁμοίως διαπωθάνεται, Ἰλ: Π. ςίχ. 692.
„Ἔνθα τίνα πρῶτον, τίνα δ' ὕςατον ἐξενάριξας
„Πατρόκλεις, ὅτε δή σε Θεοὶ θανάτονδε κάλεσσαν;

Στίχ: 697. . . . . ΔΟΛΙΧΗῖ ΈΛΆΤΗι . . . . Δόρατι μακρῷ, κατὰ τρόπον μετωνυμίας, ἢ ὑπαλλαγῆς, ἢ μεταλήψεως.

Στίχ: 699. ΒΕΒΡΥΧΏΣ, ΚΌΝΙΌΣ ΤΕ ΔΡΆΓΜΕΝΟΣ ΑΊΜΑΤΟΦΎΡΤΟΥ. Ὥσπερ κὴ παρ Ὁμήρῳ Σαρπηδὼν, ὑπὸ Πατρόκλε ἀναιρεθείς, Ἰλ: Π. ςίχ. 485.
„Ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρε κεῖτο τανυθείς
„Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
Ὅρα καὶ Ι. Αἰν: ςίχ. 519. ἐπὶ τῆς Πάλλαντος ἀναιρέσεως.

Στίχ. 701. . . . . ΑΎΡΙΝ, ΠΆΓΑΣΌΝ Τ' ἘΠΊ ΤΟΥΤΩι. . . . Τὸν μέν, συμποδιθέντος αὐτῷ τῇ ἵππε, ἀναχεῖν πειρώμενον κὴ ἀνορθώσαθαι, ἰωΐαις καὶ κέντροις· τὸν δὲ, ὡς ἀντιλαβέθαι ἐκείνῳ δεξιὰν ἐποιέγοντα· ἄμφω μιᾷ πληγῇ καταβέβληκεν.

Στίχ:

Θήλεις δ' ἄρ γηθεῦσι σελιωοχήμοσι πέλται.
Ἔνθα τίνα πρῶτον, τίνα κάρη δ' ὕστατον αἰνῇ
Καββάλλεις; ὅσσων χαμάδις κατὰ σώματα κίδνης;
Ἐυμένιον Κλυτίη δὴ πρῶτον, τῷ γ' ἀκάλυπτον
Ἄντα ἔλω ςέρνον, δολιχῇ ἐλάτῃ διελαύνει.
Αἶψα δ' ὅ γ', ἐξεμέων ῥυδὸν αἵματα, ἐξετανύσθη
Βεβρυχὼς, κόνιός τε δράγμενος αἱματοφύρτῃ,
Αὐτὸν ἔ τ', ἀμφὶ ἑῷ περὶ τρώματι οἰκτρὸς ἑλίσσων.
Εἶτα Λύριν, Πάγασόν τ' ἐπὶ τούτῳ· ὧν ἕτερος μὲν,
Κάτφορον οἱ ἵππον κέντροις σώαγ' ἠδὲ χαλινοῖς·
Τῷ δ' ἕτερος μάψ χεῖρα κυβιςήσονθ' ὑποτείνει.
Οἱ δ' ἄμφω κατ' κὰρ πέσον. οἷς προσέθηκεν Ἄμαςρον
Ἱπποτάδιω· ἔκαθεν δ' ἄρ ἔπειτα διώκαθεν ἔγχει
Τηρέα θ', Ἁρπάλυκόν τ', ἰδὲ Δημοφόωντα, Χρόμιν τε.
Ὅσσα γε παρθενικὴ πάλλουσα τιτύσκετο τόξα,
Τόσσοι ἄρ ὠτάμενοι Φρύγιοι πεπτώκεσαν ἄνδρες.
Ὄρνιτος αἰίσσων πόρρωθεν ἀήθεσιν ὅπλοις,
Θηρητὴρ, ἔποχος βαίνων ἐπ' Ἰάπυγος ἵππου·
Τῷ ῥὰ δέρας Ταύροιο ἐπισκέπεν εὐρέας ὤμους
Μαρναμένῳ, καὶ κρὰς δὲ Λύκοιο πέλωρον χάσμα
Ἔςεγε, σιώ τε γένυσσιν, ἀτὰρ λευκοῖς σιῶ ὀδῶσι.
Νωμῶν δ' ἀγροῖκον χείρεσσι καλαύροπα ὅπλον,
Μέσσος ἀνεςρέφετο, πρὸ δὲ τ' ἔξεχε κράατι πάντων.
Τὸν δ' ἐποριναμένη, (κλινθείσης ῥᾴδιον ἕλης·)
Ἶφι διήλασε, τὼς δ' ἐπὶ δυσμενὲς ἦτορ ἔειπεν:
Ἦ δρυμοῖς, Τυρρίωὲ, σοβᾶν φῆρας γ' ὠήθης;
Δὴ πάρα τῶτ' ἦμαρ, τὸ ῥὰ, θηλυτέρης διὰ ὅπλων
Σῷ κεν ἐλέγξαι ἔπη· κλέος ἔμπης ὅτι δέ κῶφον
Σοῖς

❀ ❀ ❀

Στίχ: 707 ΟΣΣΑΓΕ ΠΑΡΘΕΝΙΚΗ' κτ: Ὅρα καὶ τιὼ παῤ Ὁμήρῳ Τεύκρε ἐυθυβολίαν, Ἰλ: Θ. στίχ. 274—277.

„Ὀρσίλοχον μὲν πρῶτα, καὶ Ὄρμενον, ἠδ' Ὀφελέστιν
„. . . . . .
„Πάντας ἐπασσυτέρως πέλασε χθονὶ πολυβοτείρῃ.

Καὶ τιὼ παρὰ τῷ Καλαβρῷ δὲ ἀριστείαν Πενθεσιλείας, Παραλειπ. Α. στίχ. 382.

„. . . . . Οὐδὲ οἱ αἰχμὴν
„Μαψιδίως ποτ' ἔθωκεν . . . . .

Στίχ: 709, ΟΡΝΙΤΟΣ . . . . Παῤ ἄλλοις Ὄρνυτος, ὡς ἀπὸ τῦ Ὄρνυμαι· παῤ ἄλλοις δὲ καὶ Ὄρφιτος, φέρεται ἀναγνωσκόμενον.

Στίχ: 710. . . . . ΕΠΙ ΙΑΠΥΓΟΣ ΙΠΠΟΥ, Τὸ ἐξ Ἰαπυγίας, τῆς πάλαι καὶ Μεσαπίας, νῦν δὲ Ἀπελίας.

Στίχ: 716. . . . . ΚΛΙΝΘΕΙΣΗΣ ΡΑΙΔΙΟΝ ΕΙΛΗΣ. Τῆς τῶν Τροτόλων, ἣν αὐτὸς ἦγε προέχων, καὶ ὑπερωμίας ἐξέχων.

Στίχ: 720. ΣΟΥ ΚΕΝ ΕΛΕΓΞΑΙ ΕΠΗ . . . . Ἐντεῦθεν εἰκάζεται τὸ παρασιωπηθὲν, ὡς ὁ διέλιπε μεταξὺ ὁ ἀγροῖκος Τυρρίωος, κατὰ τῆς ἀνδράσι μάρναθαι ἀναβαλομένης νεάνιδος ἐπεσβολῶν κέρτομα βάζειν, διὸ καὶ πικρῶς αὕτη τὸν θρασωθέντα ἐνίπτει ἀντισαρκάζουσα, ἤδη πεσόντα:

„. . . . . κλέος ἔμπης ὅτι δὲ κῶφον
„Σοῖς νεκύεσσ' οἴσεις, δορὶ πεπτωκὼς σὺ Καμίλλης.

Dejicis? aut quot humi morientia corpora fundis?
Eumenium Clytio primum patre: cujus apertum
Adverſi longa tranſverberat abiete pectus.
Sanguinis ille vomens rivos cadit, atque cruentam
Mandit humum, morienſque ſuo ſe in vulnere verſat.
Tum Lyrim, Pagaſumque ſuper: quorum alter habenas
Suffoſſo revolutus equo dum colligit, alter
Dum ſubit, ac dextram labenti tendit inertem,
Præcipites pariterque ruunt: his addit Amaſtrum
Hippotadem: ſequiturque incumbens eminus haſtâ
Tereaque, Harpalycumque, & Demophoonta, Chromimque:
Quotque emiſſa manu contorſit ſpicula virgo,
Tot Phrygii cecidêre viri. Procul Ornitus armis
Ignotis, & equo venator Japyge fertur:
Cui pellis latos humeros erepta juvenco
Pugnatori operit: caput ingens, oris hiatus,
Et malæ texêre lupi, cum dentibus albis:
Agreſtiſque manus armat ſparus: ipſe catervis
Vertitur in mediis, & toto vertice ſupra eſt.
Hunc illa exceptum (neque enim labor agmine verſo)
Trajicit, & ſuper hæc inimico pectore fatur:
Sylvis te, Tyrrhene, feras agitare putaſti?

Ad-

❁ ❁ ❁

Ἦν δὲ ἄλλως ἔντι τῶν ἐν ἐυχῇ τε καὶ λόγῳ, τὸ γᾶν ὑπὸ ἀνδρὸς ἀρίστου ἀναιρεθέντα ἐν τῷ πολέμῳ πεσεῖν· διὸ καὶ Αἰνείας εἰς παραμυθίαν τοῦτο Λαύσῳ, τῷ ὑπ' αὐτοῦ ἐ πάνυ ἐκεσίως ἀποκταν θέντι, ἐπεῖπεν, Γ. Αἰν: στίχ. 873.

„Ἀλλὰ τό σοι δύσποτμε ἔοι παραμύθιον οἷον
„Δεξιτερῇ πεσέμεν σ' Αἰνείᾳ.

Στίχ: 722—730. ΟΡΣΙΛΟΧΟΝ, ΒΟΥΤΗΝ ΤΕ . . . . Ἀπὸ κοινοῦ τοῦ διήλασε· τὸν μὲν Βάτλιν ἐπ' εὐθείας ἀντεπιόντα τῷ δόρατι, κατὰ τλῆν δειρὴν διαπείρασα, τοῦ θώρακος μεταξὺ καὶ τῆς περικεφαλαίας ἀνακαλυφθεῖσαν, δεξιόθεν· ἡ γὰρ ἀσπὶς αὐτῷ τὰ λαιὰ ἐπεκάλυπτε· Τὸν δέ τοι Ὀρσίλοχον στρατηγηματικῶς ἐκπεριελθοῦσα, κῆ νιῷ μὲν ἐπελαύνοντα πλαττομένη φεύγειν, νιῷ δὲ αὐτῷ ἔγγιον ταῖς τοῦ ἵππου περικυκλάσεσι προσιοῦσα, εἰς ὃ μέσον τοῦ κυκλώματος ἀρίστερόθεν οἱ ἐπενσκήψασα, πολλάς τε κατὰ τῆς κεφαλῆς τῇ κοπίδι κατενεγκοῦσα κατηλόησε, καὶ τὸν ἐγκέφαλον θερμὸν ἀποῤῥεῦσαι ἐποίησεν.

Στίχ: 732. ΤΗΪΔ' ΈΚΥΡΣ' ΑΪΦΝΗΣ κτ: Οὐχ ἑκὼν κατ' αὐτῆς χωρήσας εἰς μάχλιν, ἀλλὰ κατὰ συγκυρίαν αἰφνιδίως ἄντικρυς αὐτοῦ ἰδὼν παρεσῶσαν, καὶ διὰ τοῦτο τρέμειν ὑπὸ δέους ἀρξάμενος.

Στίχ: 733. . . . . ΑΠΕΝΝΙΝΟΝ ΝΑΙΟΝΤΟΣ ΑΡΗΪΟΣ ΑΪΝΟΥ, Ἀπεννῖνον, ἢ Ἀπέννιον (ὡς Στέφ. ὁ Βυζάντ. ἐκ Διονυσ. τοῦ Περιηγ. γράφει) Ὄρος ἐστὶ τὸ τλῆ Ἰταλίαν μέσῃ διανέχα τέμνον, ὑπερτεῖνον δὲ πρὸς Ἀνατολὰς ἐπὶ τλῆ μεσόγειον θάλασσαν, ὅριον καθίσταται τῆς Λιγύρων ἐπικρατείας, ἧς τὰ ὕπτια μεταξὺ κεῖται τοῦ τε ὄρους καὶ τῆς θαλάσσης· διὸ καὶ ὁ Λίγυς Λῦνος τὸ Ἀπέννιον οἰκεῖν εἴρηται. Τοῦτο σωῦ ὁ υἱὸς, καίτοι ἄλλως Ἀρεικὸς, ἀλλὰ τὰ εἰς ἀπάτλιν δεξιὸς μᾶλλον ὑπὸ τοῦ Ποιητοῦ ὧδε παρίσταται, καὶ διαπίσεται ἄρα (φησὶ Σερβιος) κἀνταῦθα τὸ περὶ τοῦ Λιγύρων ἔθνος ἐῤῥήθην ὑπὸ Κάτωνος: Ligures omnes fallaces ſunt: (Οἱ Λίγυρες πάντες ἀπατήλιοι.)

Στίχ:

Σοῖς νεκύεσσ' ὄισεις, δορὶ πεπτωκὼς σὺ Καμίλλης.
Αὐτίκα δ' Ὀρσίλοχον, Βάτιω τε, πελώρια Τεύκρων
Σώματα· Βάτιω μὲν δὴ ἀντίον ἤλασεν αἰχμῇ,
Θώρηκος κωέης τε μεσηγὺς, ὅππα Ἱππῆος
Δειρὴ φαίνετο, οἱ δέ γε λαιόθεν ἀσπὶς ἄορτο.
Ὀρσίλοχον φύγδιν δὲ μέγαν κύκλον τροχόωσα,
Καί γε ἑλαυνομένη, ἰδ' ἐλάυνεσ', ἐξαπάφησε·
Τῷ γὰρ ἀριστερόθεν κυκλώσιος ἔνδοθ' ἐπέσχη,
Καὶ κρατερῷ πελέκει τ' ἀνδρὸς τέυχη τ' ὀξᾶ τε,
Χεῖρ' ἐπαιραμένη κατακόπτεν, ἰδ' αὖ τ' ἐπικόπτε,
Πολλ' ἐπιλισσομένη· τὴ δ' ἐγκέφαλος ῥέε θερμὸς.
Τῇδε δ' ἔκυρσ' αἴφνης, ῥιγήσας δ' ὄψιν, ἐπέσχεν
Τὸς Ἀπεννῖνον ναίοντος ἀρήϊος Αὔνη,
Οὐ πύματος Λιγύρων, ἐς τ' εἴων μοῖρ' ἀπαφίσκειν.
Ὡς δ' οἱ ὄτε τάχα γε δώσεθαι δῆριν ἀλύξαι,
Οὐδὲ τραπησομένῳ ἔγνω βασίλειαν ὀπίσσω,
Τόφρα δολοφροσύνῃσι παρειπέμεν ἤρξατο ταῖς δε.
Τίπτ' ἄρ δὴ μέγα, εἰ γενναίῳ θῆλυς ἐφ' ἵππῳ
Θάρσιος ἱππάζῃ; λίπε φύξιν, συναδὸν αὐτὰρ
Θάρσει μάρναθαί μοι πεζῇ ἶσον ἐπ' ἔδας.
Εἴσεαι νῶν ποτέρῳ κενὴ αἶνον δόξα ἐποίσει.
Ὣς ὁ μὲν· ἡ δ' ἔνθες μάλα, δριμύ τε χωσαμένη κῆρ,
Ἵππον ὀπάονι δῶκε θορεῖσα χαμᾶζε ἐν ἴσοις·
Γυμνὸν ἔχες' ἄορ πεζὴ, ἁπλῷ δέ τε πέλτιω.
Ἀλλ' ὁ δόλῳ δόξας νικᾶν αἰζηὸς ἀπέπτη,

❁ ❁ ❁

„Οὐρῇ μαστίων ποσσὶ γλάφει, ἐδέ τις αὐτὸν
„Ἔτλη ἐς ἄντα ἰδὼν χεδὸν ἐλθεῖν, ἐδὲ μάχεσθαι.
Πῶς οὖν ὁ Μάρων ὅλως τε καὶ μόνῳ ἑαυτῷ ἀξιώσει τὴν παραβολὴν σφετερίσασθαι; Ἀλλὰ Σκαλιγέρῳ μὲν ἔτως ἐδόκει· Μακρόβιος δὲ τῆς τέτε ψήφε ἐκ ἂν μετάσχοι· ὃς (Βιβλ: Ε. Κεφ. ΙΓ.) καὶ τὴν ἐν τῷ Θ'. τῆς Αἰν: στιχ. 575—579. παραπλησίαν πως τῇ παρέσῃ ἅσαν, ἰσχυροτέραν τε καὶ ἐνδεεστέραν ἔκρινε, τῇ καθ' Ὅμηρον παραθέμενος.

Στίχ: 6. . . . . ΟΠΛΑ ΛΕΩΝ ΚΙΝΕΙ . . . . Τίνα δ' ἂν εἴη λέοντος ἕτερα ὅπλα, ἢ ὀδόντες καὶ ὄνυχες;

Στίχ: 7. ΑΥΧΕΝΟΣ ΑΝΣΕΩΝ ΧΑΙΤΑΣ . . . . Ἔστι δὲ τοῖς θηρίοις γαυριάματος καὶ ὀργῆς σημεῖον ὁ τοιοῦτος ἀναχαιτισμὸς, ἢ ἀναφρικίασις.

Στίχ: Αὐτ: . . . . ΚΑΙ Τ' ΕΛΛΟΧΟΩΝΤΟΣ. Latronis ὁ Μάρων ἔφη· ὅπερ λῃστῆρος, κλέπτε. Λάθρα δὲ πάντως καὶ ὁ λοχῶν ἐνεδρεύει τὸ ἁρπάσαι, ὅθεν ἴσως καὶ ὁ Latro, παρὰ Λατίνοις, Λάθρων οἷον τις ὤν· τὸ δὲ δι ἐνέδρας θηρᾶσθαι, λοχᾶν καὶ Ὀππιανὸς ἐν τῷ Γ. τῶν Κυνηγετικῶν εἶπε:

„ . . . . . Μή μιν θηρήτορες ἄνδρες,
„Ἀμφὶ θύρῃ λοχόωντες, ὑπὸ βροχίδεσσιν ἄγωνται.

Στίχ: 11. ΟΥ ΝΥ' ΤΙΣ ΑΜΒΟΛΙΗ ΤΥΡΝΩι. Διὰ δὴ τέτων ἁπαντᾷ, οἷς Αἰνείας πρὸς τὰς πεμφθέντας ὡς αὐτὸν κήρυκας ἐπὶ ἀνακωχαῖς, Τύρνον εἰς μονομαχίαν προκαλέμενος ἔφασκεν, (ΙΑ. Αἰν: στίχ. 115—117.)

„ . . . . . Τοῖς μοι ὄφελεν ἐριδμῆναι βελέεσσι,

Στίχ: Αὐτ: . . . . ΜΗ ΔΗ ΠΑΛΙΝΑΤΡΕΤΑ ΘΕΣΘΩΝ. Οὕτως ἑτοίμως ἔχειν ὁ Τύρνος, ὁμόσε χωρεῖν Αἰνείᾳ εἰς μονομαχίαν ἐνδείκνυται, ὡς καὶ ὑφορᾶσθαι μήποτε ἐκεῖνον ἐπὶ τῇ προσκλήσει μετέλθοι μετάμελος.

Στίχ: 13. . . . . ΦΕΡΕ ΙΡΑ' ΠΑΤΕΡ . . . . Πρὸς τὸν Ἄνακτα ἐπιστρέφει Λατῖνον, κέλδε, λέγων, ὅπως ἡ τῆς μονομαχίας αὐτίκα, πέρας λάβῃ σωθήκη, ἐπικυρωθεῖσα δι ὅρκων.

Στίχ:

Τραυματίας ϛέρνοις αἰνῶς ὑπὸ θηρητήρων
Δὴ τότε ὅπλα λέων κινεῖ· γήθει δὲ κομῶντος
Αὐχένος ἀνσεύων χαίτας, καὶ τ' ἐλοχόωντος
Ἄγνυσ' ἄτρεϛος δόρυ, αἱμωπὸς δ' ἐπιβρύχει.
Τὼς ὑποδαομένῳ μένος ὀργῇ ἄλδετο Τύρνῳ.
Τόφρα δὲ ἐκ ταράχᾳ θολόεις Βασιλῆα μετηύδα:
Οὐχὶ βραδὺς Τύρνος· μὴ δὴ παλινάγρετα θέσθων
Νωθέες Αἰνεάδαι, τὰ δ' ὑπέϛαν μὴ ἀθετέντων.
Ἠνὶ δ' ἐγὼ· φέρε ἰρὰ, Πάτερ, καὶ σώθεο ὅρκᾳ.
Ἢ τῇ δεξιτερῇ Ἀΐδᾳ ὑπὸ Τάρταρ ἰάψω
Δαρδάνιον δραπέτιω Ἀσίης· (ἔϛεθ', ἀθρεῖτε·)
Αἶχος ἐγὼ δ' οἷος πανδήμιον ἐξαπαλέψω·
Ἢ νικῶντι ἄκοιτις ἐπέσθω τῷδε Λαβίνη.
Τὸν δ' ἄρ' πρηϋτέρῃ κραδίῃ προσαμείπτο Λατῖνος.
Ὤμοι ἀγῆνορ, ὅσον σὺ, νεὰν, θυμῷ θρασυτόλμᾳ
Ἠνορέῃ προφέρεις, τόσον αὐτὸν μᾶλλον ἐμ' εἰκὸς
Φράϛεθ' ἐμμελέως, πτήσσοντά τε πάντ' ἀνακρίνειν.
Ἔϛι μὲν εὐρέα σοι βασίλεια πατρώϊα Δάυνᾳ,
Ἔϛι δὲ τ' ἰφθίμῳ πολλ' ἄϛεα χειρὶ ἁλόντα·
Ἀλλ' ἔτι μιῷ ἠδ' ὅλβος, ἰδ' ἄρ' μένος, ἔϛι Λατίνῳ.

Εἰσὶ

❁ ❁ ❁

Στίχ: 15. ΔΑΡΔΑ'ΝΙΟΝ ΔΡΑΠΕ'ΤΗΝ 'ΑΣΙ'ΗΣ. Τὸν εἰς Φυγίαν τραπέντα, καὶ τιὼ πάτριον γίῳ ἄγεσθαι καὶ φέρεσθαι τοῖς πολεμίοις καταλιπόντα· τῶν δ' εἰρημένων ἕκαϛον πρὸς ὀλιγωρίαν Αἰνείᾳ καὶ ἐξαθέτησιν προσετέθη. Ὅτι τε Ἀσιατικὸς ὁ ἀνὴρ, καὶ ὅτι καὶ τὸ γένος ἐϛὶν ἔλκων ἀπὸ Δαρδάνου, τῷ μὴ πάνυ καλῶς εἰς πίϛιν καὶ βεβαιότητα γνώμης ἀκόντος· καὶ ὅτι τέως κὴ γῆς ἀπελαθεὶς τῆς πατρῴας αὐτὸς τιὼ ἀλλοτρίαν ἐπιβελεύεται.

Στίχ: 16. Α'ΙΣΧΟΣ . . . . ΠΑΝΔΗ'ΜΙΟΝ . . . . . Τὸ πᾶσι κοινῇ προσριβὲν τοῖς τιὼ Ἰταλίαν ἔχουσι δήμοις.

Στίχ: 17. . . . . Ἄ'ΚΟΙΤΙΣ ἘΠΕ'ΣΘΩ ΤΩΙ̃ΔΕ ΛΑΒΙ'ΝΗ· Τοῦτο δὴ (τὸ ἐπέσθω) ὡς μέγα τι καὶ ἰσχυρὸν πρὸς τὸ μεταπεῖσαι Λατῖνον τῆς μελετωμένης ἐπιγαμβρίας Αἰνείᾳ, καὶ ἡ ἄλοχος Ἀμάτη πρεβάλλετο. Ζ. Αἰν: ϛίχ. 385—390.

Στίχ: 18. . . . . ΠΡΗΫ́ΤΕ'ΡΗι ΚΡΑΔΙ'Ηι. . . . . Ἐν ψυχῆς κατασήματι ἐκ διαμέτρᾳ ὑπεναντιωμένῳ τῷ τῆς Τύρνε, ὅς ἀνωτ: ϛίχ. 10.

„ —— Ἐκ ταράχᾳ θολόεις Βασιλῆα μετηύδα.

Στίχ: 19—21. . . . . Ὅ'ΣΟΝ ΣΥ̓, ΝΕΑ'Ν, ... Σὲ μὲν ἡ νεότης, εἰ δὲ βέλει, καὶ ἡ ἀνδρία, ἰταμώτερον παρασκευάζει θρασυνέσθαι, ἐμὲ δὲ τὸ γῆρας, βελεύεσθαι ἀσφαλέϛερον.

Στίχ: 22. Ἔ'ΣΤΙ ΜΕ'Ν ΕὙΡΕ'Α ΣΟΙ ΒΑΣΙ'ΛΕΙΑ . . . . Δείκνυσιν αὐτῷ, ὡς οὐδὲν ἐϛὶ τὸ πρὸς τὸν παρόντα πόλεμον κατεπεῖγον, ἐνὸν ἀπολάυειν ὧν ἀγαθῶν οἷς ἐυθιωῖται ἐς κόρον· πόλεμον γὰρ οὐδέποτε ἀναληπτέον, ὅτι μὴ πᾶσα ἀνάγκη.

Στίχ: 24. Ἀ'ΛΛ' Ἔ'ΤΙ ΜΗ'Ν Ἠ'Δ' Ὄ'ΛΒΟΣ κτ: Σύ μὲν οὐδὲν ἐμοῦ δέῃ, ἀλλ' οὐδ' ἐγὼ Σοῦ, ὡς θάτερον ἡμῶν τῆς θατέρᾳ χρήζειν ἐπικυρίας τε καὶ σωάρσεως: καὶ ἐξέϛω ἄρα ἑκατέροις ἡμῖν, ὅπως ἄν ἢ βουλομένοις τα καθ' ἑαυτὸς διαιτᾶν· οὕτω τινὲς τὸ χωρίον ἐνόησαν· τοῖς δὲ παροξυντικὸν πως τὸ τοιοῦτον ἔοικεν, οἷαν μὴ δοκεῖν εἶναι τιὰ τῷ γηραιῷ ἐπὶ τῷ παρόντος πρόθεσιν· διὸ καὶ ἄλλως ἑρμηνεύουσι τὸ ῥηθὲν, ὡς εἰ λέγειν ἐθέλοι Λατῖνος, ὅτι πρὸς οἷς ἔχεις, ὦ Τύρνε, ἔτι καὶ τῶν ἐμοὶ περιόντων ἀγαθῶν κοινωνεῖν σοι παρέϛαι ἐν δέοντι, ἡσύχως ἄγειν τόγε νῦν ἔχον προκρίναντι.

Sublatis aperire dolis; ſimul hæc animo hauri:
Me natam nulli veterum ſociare procorum
Fas erat: idque omnes Divique, hominesque canebant:
Victus amore tui, cognato ſanguine victus,
Conjugis & mœſtæ lacrymis, vincla omnia rupi:
Promiſſam eripui genero; arma impia ſumpſi.
Ex illo, qui me caſus, quæ, Turne, ſequantur
Bella, vides: quantos primus patiare labores.
Bis magnâ victi pugnâ, vix urbe tuemur
Spes Italas: recalent noſtro Tyberina fluenta
Sanguine adhuc, campique ingentes oſſibus albent.
Quò referor toties? quæ mentem inſania mutat?
Si, Turno extincto, ſocios ſum accire paratus,
Cur non incolumi potius certamina tollo?
Quid conſanguinei Rutuli, quid cætera dicet
Italia, ad mortem ſi te (fors dicta refutet)
Prodiderim; natam & connubia noſtra petentem?
Reſpice res bello varias: miſerere parentis
Longævi, quem nunc mœſtum patria Ardea longe
Dividit. Haud quaquam dictis violentia Turni
Flectitur: exſuperat magis, ægreſcitque medendo.

Ut

❀ ❀ ❀

Στίχ: 25. ΕΙ'ΣΙ ΔΕ' ΚΑΙ'Ν ΛΑΤΙ'Ωι κτ: Παραβάλλεσιν ἐνταῦθα τὸ Θεοκρίτε ἐν Διοσκόροις:

„Πολλά τοι Σπάρτα, πολλὰ δ' ἱππήλατος ἄλις
„Ἀρκαδία τ' εὔμαλος, Ἀχαιῶν τε πτολίεθρα,
„Μεσσήνα τε καὶ Ἄργος, ἅπασά τε Σισυφὶς ἀκτὰ,
„Ἔνθα κόραι τοκέεσσιν ὑπὸ σφετέροισι τρέφονται
„Μυρίαι, ἅτε φυῆς ἐπιδευέες, ἅτε νέοιο
„Τάων ἐυμαρὲς ὔμμιν ὀπυίειν, ἅς κ' ἐθέλοιτε.

Ὁ τοίνυν παρὰ Μάρωνι Λατῖνος, ἑκὼν Τύρῳ γενέσθαι μὴ θέλων, παρήνει τέτῳ ἀπογνῶντι τὸν γάμον, φρονεῖν τε καὶ λέγειν, ἅπερ Ἀχιλλεὺς παῤ Ὁμήρῳ Ἀγαμέμνονι ἀπιώτα, τῷ ἑκὼν αὐτὸ εἶναι θέλοντι. Ἰλ. I. στίχ. 395.

„Πολλαὶ Ἀχαιΐδες εἰσὶν ἀν' Ἑλλάδα τε Φθίην τε,
„Κῆραι ἀρειφάων, οἵ τε πτολιέθρα ῥύονται
„Τάων ἥν κ' ἐθέλοιμι, φίλην ποιήσομ' ἄκοιτιν.

Στίχ: 28. ΩΣ ΜΝΗΣΤΗ'ΡΩΝ ΤΩ'Ν ΠΡΙ'Ν ΜΗΔΕΝΙ' . . . Οὐ γὰρ δὴ Σοὶ μόνῳ μὴ δυχέραινε. Καὶ γαρ, ὡς ἔφηται Ζ. Αἰν: στίχ. 56.

„Πελέες ἐκ Λατίης μεγάλης τίλω δ' ἐμνώοντο,
„Πάσης Αὐσονίηστε. . . . .

Στίχ: 29. . . . . ΗΔΟΝ ΠΑ'ΝΤΕΣ 'ΟΜΩ'Σ ΘΝΗΤΟΙ' ΤΕ ΘΕΟΙ' ΤΕ Οἵ τε περὶ Μαιτικλῶ ἀχολέμενοι, καὶ αὐτὸς Φαῦνος. Ὅρα Ζ. Αἰν: στίχ. 60-72. καὶ 101—107.

Στίχ: 31. . . . . ΔΕ'ΣΜΑΤΑ 'ΡΗ'ΞΑ· Τά τε τῶν ἀνθρωπίνων θεσπιωδημάτων, καὶ τὰ παρα τῶν θείων ὀμφῶν, ἃ συνέχειν με τῶν προβαλλομένων ἀπείργοντα ὑμεναίων εἰκὸς ἦν καὶ δίκαιον.

Στίχ: 32. ΜΝΗΣΤΕΥΘΕΙ'ΣΑΝ 'ΑΦΕ'ΙΛΟΝ . . . . . Τίνι; τῷ Αἰνείᾳ. Ζ. Αἰν: στίχ. 288.

Στίχ: Αὐτ: . . . . . ΑΘΕΣΜΑ' ΤΕ ΟΠΛΑ 'ΕΠΗ'ΡΑ Παραχωρήσας δηλονότι, μηδ' ἀντιχὼν ὅσον ἔδει· τῷ δὲ μὴ ὅσον χρὴ ἀνθεσηκότι, προσρίβεσθαι δίκαιον τὸ συμβαῖνον ἄτοπον.

Στίχ:

Εἰσὶ δὲ κἀν Λατίῳ, Λωρεντῷ τ' ἄζυγες ἄλλαι,
Οὐδὲ γένος Φαῦλαι. Δὸς δ', ἐ θυμήρὲ ἀκοῦσαι
Ἐξείπω ἀδόλως· νοῶ δ' αὐτός ὅλον μοι πρόχες.
Ὡς μνησήρων τῶν πρὶν μηδενὶ παῖδα σωάψαι
Ἦν θέμις, ἦδον πάντες ὁμῶς θνητοί τε Θεοί τε.
Ἥσσων σεῖο δ' ἔρχ, κἠ ὁμογνίχ αἵματος ἦσσων,
Θριῶν τ' ἀχνυμένης γε δάμαρτος, δέσματα ῥῆξα.
Μνησευθεῖσαν ἀφεῖλον, ἄθεσμάτε ὅπλα ἐπῆρα.
Ἔνθεν ἅ συμβαίνει, κἠ δήρεις, Τύρνε, ὁποῖαι,
Δέρκεαι· αὐτὸς ὅσχς γε ἀγῶνας ἀνατλᾶς πρῶτος!
Δὶς ῥὰ μάχῃ μεγάλῃ ἐπταίσαμεν, ἠδὲ μόγις περ,
Οἷοι τ' εἰμὲν τῶδε ἀμωῦεσθαι περὶ Ἄξευς.
Ἔλπχς Ἰταλίης· χλιόεις ἔτι ῥῶς γε ὁ Θύβρχ
Αἵμασιν ἡμετέροις· ὀσσοῖς δὲ πέδον λευκάνθη.
Τίπτ' ἀναπεμπάζω; τὶς μ' ἀφραδίη μεταμαίχ;
Εἰ κταμένχ Τύρνχ προσίεσθαι δεῖ με ἑταίρχς,
Πῶς μὴ, σωζομένχ, ὑσμίνας μᾶλλον ἐέργω;
Τὶ Ῥοτόλοι φήσχσι σώαιμοι, πᾶσα τε λοιπὴ
Ἰταλίη, αἴκεν θανάτῳ σ' (ἔπος ἀλλὰ γ' ἀπείη!)
Παρδοίῳ ποθέοντα θύγατρα ἐμιῷ ἀγαγέσθαι;

B 2 Σκέ-

❁ ❁ ❁

Στίχ: 35. ΔΙΣ . . . . ΕΠΤΑΙΣΑΜΕΝ. . . . . Οἰκειῶται τὰ κοινὰ πάθη, κἠ ἄκων τῶτοις περιπεσών· τὸ δὲ δὶς, τὸ μὲν, ὅτε Μεζέντης πέπτωκε, Γ. Αἰν: περὶ τὸ τέλος· τὸ δὲ, ὅτε ἡ Καμίλλα· ΙΑ. Αἰν: ὁμοίως περὶ τὸ τέλος.

Στίχ: 37. ΕΛΠΟΥΣ ΙΤΑΛΙΗΣ . . . . Ἐν γὰρ τῇ πόλει τῇ αὐτῇ σωζομένῃ, κἠ τιὼ Ἰταλίαν πᾶσαν σωθήσεθαι ἐλπίζειν φησὶν, ἀλέσης δὲ ταύτης πάντα οἰχήσεθαι, μηδὲ περιλείπεθαι ποθεν ἄλλω σωτηρίας ἐλπίδα τοῖς πράγμασιν.

Στίχ: Αὐτ: . . . . ΧΛΙΟΕΙΣ ΕΤΙ ΡΟΤΣ ΓΕ Ο ΘΥΒΡΟΥ· Καθ' ὑπερβολιὼ εἴρηται, Λατίνχ τιὼ συμφορὰν ἄυξοντος, ἵνα δυσωπήσῃ Τύρνον, τῇ κακῇ τὸ μέγεθος ἐννοήσαντα. Σώθηες δὲ ἄλλως τοῖς περὶ ποίησιν, ἔτω τὰς ἐν μάχαις εἰκονίζειν καταστροφὰς. Ἰλ: Η. στίχ. 329.

„ . . . . . Λῖμα κελαινὸν ἐΰῤῥοον ἀμφὶ Σκάμανδρον.

Καὶ Ἰλ: Φ. στίχ. 16. ὁ Ξάνθος,

„Πλῆτο ῥόω κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν.

Καὶ στίχ. 218. ἄυθις ὁ Σκάμανδρος,

„Πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα·
„Οὐδέ τε πη δυάμαι προχέειν ῥόον εἰς ἅλα δῖαν.
„Στεινόμενος νεκύεσσι, ...

Στίχ: 39. ΤΙΠΤ' ΑΝΑΠΕΜΠΑΖΩ; Τὶ τὰ αὐτὰ πάλιν τε καὶ πάλιν ἐπανακυκλῶ; τὶς δ' ἄνοιά με ἀπὸ τῆς δε ματαῤῥίπτει ἐπὶ τιὼ δε τιὼ πρόθεσιν;

Στίχ: 40. ΕΙ ΚΤΑΜΕΝΟΥ ΤΥΡΝΟΥ κτ: Καὶ σῦ θανόντος, ὦ Τύρνε, τὲς ἀμφ' Αἰνείαν μοι προσέσθαι ἐπάναγκες· τὶ οὖν ἐχὶ τῦτο σωζομένχ μᾶλλον αἱρῆμαι;

Στίχ: 42. ΤΙ ΡΟΤΟΛΟΙ ΦΗΣΟΥΣΙ κτ: Πάντες κοινῇ νεμεσήσχσιν οἱ Ῥοτόλοι, κἠ μέμψονταίμε, ὡς σῦ μηδόλως φεισάμενον, ἀλλὰ προδεδωκότα εἰς θάνατον, τὸν τῷ γένει καὶ σωημένον, (Ἐνηλία γὰρ ἡ Τύρνχ μήτηρ, ἀδελφὴ ἦν Ἀμάτης (I. Αἰν: στίχ. 79.) κἠ ἔτι μᾶλλον σωαιφθιῶσι ἐφιέμενον.

Στίχ. 43 . . . . . (ΕΠΟΣ ΑΛΛΑ Γ' ΑΠΕΙΗ!) Τὸ ῥηθὲν· Ἄπαγε! Ἀβάλε! μὴ τῦτο γένοιτο!

Στίχ:

Ut primum fari potuit, ſic incipit ore:
Quam pro me curam geris, hanc precor, optime, pro me
Deponas; lethumque ſinas pro laude paciſci.
Et nos tela, Pater, ferrumque haud debile dextrâ
Spargimus, & noſtro ſequitur de vulnere ſanguis.
Longe illi Dea mater erit, quæ nube fugacem
Fœmineâ tegat, & vanis ſeſe occulat umbris.
At regina novâ pugnæ conterrita ſorte
Flebat, & ardentem generum moritura tenebat:
Turne, per has ego te lacrymas, per, ſi quis Amatæ
Tangit honos animum: ſpes tu nunc una ſenectæ,
Tu requies miſeræ: decus, imperiumque Latini
Te penes; in te omnis domus inclinata recumbit.
Unum oro, deſiſte manum committere Teucris.
Qui te cunque manent iſto certamine caſus,
Et me, Turne, manent: ſimul hæc inviſa relinquam
Lumina, nec generum Æneam captiva videbo.
Accepit vocem lacrymis Lavinia matris
Flagrantes perfuſa genas: cui plurimus ignem
Subjecit rubor, & calefacta per ora cucurrit.

In-

❁ ❁ ❁

Στίχ: 45. ΣΚΕΨΑΙ ΑΔΗΛΟΣΥΝΗΝ ΠΟΛΕΜΟΥ. Σὺ μὲν γενναῖος ἦθα πολεμιςὴς· Ἀλλ' αἱ τῦ πολέμυ τύχαι ἄδηλοι. Καὶ σὺ δ' αὐτὸ τῦτο πρὸ μικρῦ ἔφθης ἀποφωνάμενος. ΙΛ. Αἰν: σίχ. 445.

Στίχ: Αὐτ: . . . . ΓΕΝΕΤΟΥ ΕΛΕΑΙΡΕ —— ΠΟΥΛΥΤΕΤΟΥΣ ΑΧΟΣ, ... Πρὸς οἶκτον Δαύνε τῦ γηραλέε πατρὸς Τύρνον κινῆσαι ἐπιχειρεῖ, ἀποτρέψων τῆς μάχης ὁ Λατῖνος, ὡς καὶ Ἀνδρομάχη τὸν Ἕκτορα, πρὸς οἶκτον τὸν τῦ ἔτι νηπιάζοντος υἱῦ, καὶ αὐτῆς. Ζ. Ἰλ: 431.

„Ἀλλ' ἄγε νῶϊ ἐλέαιρε, καὶ αὐτῦ μίμν' ἐπὶ πύργῳ
„Μὴ παῖδ' ὀρφανικὸν θείης, χήρην τε γυναῖκα.

Καὶ Πρίαμος ὁμοίως πρὸς οἶκτον τὸν περὶ αὐτόν. Ἰλ: Χ. σίχ. 59.

„Πρός δέ με τὸν δύσιλον ἔτι φρονέοντ' ἐλέαιρε.

Στιχ: 49. ΩΣ Δ' ΑΡ' ΠΡΩΤΟΝ ΑΝΕΣΧΕΝ, ... Ἀπὸ τῆς Φλεγμονῆς μικρὸν ἀνασφήλας, ἣν ἐξ ὀργῆς ἅμα καὶ λύπης προεφλεγμήνατο.

Στιχ: 51. . . . . ΕΑ ΘΑΝΑΤΟΥ ΚΥΔΟΣ Μ' ΩΝΕΙΣΘΑΙ. Ὅμοιον τὸ ὑπὸ Εὐρυάλε πρὸς Νῖσον ῥηθέν, ὡς ἄρα ἐτίθετο (Θ. Αἰν: σίχ. 210.)

„Ζωῆς ἐυπειάτιν δόξαν. . . . . .

Στίχ: 53. . . . . ΗΜΕΤΕΡΗΣ Τ' ΕΚ ΤΡΩΣΙΟΣ ΑΙΜ' ΑΠΟΡΡΕΙ. Εἴρηται δὲ καὶ περὶ τῶν Ἀργείων ὑπὸ Ἀπόλλωνος εἰς μάχιν τὲς Τρῶας ἐποτρυνόντος (Ἰλ: Δ. σίχ. 510) ὁμοιόντι.

„ . . . . Ἐπεὶ ἔ σφι λίθος χρὼς, ἐδὲ σίδηρος
„Χαλκὸν ἀναχέσθαι ταμεσίχροα βαλλομένοισιν.

Στίχ: 54. ΚΕΙΝΟΥ ΜΗΤΗΡ ΤΗΛΕ. . . . . Πρὸς ἐκεῖνο ἀφορᾷ τὸ, Ἰλ: Ε'. σίχ. 311—318. Ὅρα δὲ καὶ Ι'. Αἰν: σίχ. 84. πρὸς ὅπερ Τύρνος ἔοικεν ὁμοίως σκοπεῖν.

Στίχ: 58. ΤΥΡΝΕ, ΣΕ' ΠΡΟΣ ΤΟΥΤΟΝ κτ: Ταῦτα τοῖς Ὁμήρε ὁμοίως ψαψωδέμενα σεσημείωται, οἷς Ἕκτορα Ἀνδρομάχη, τῶν τειχῶν ἐξιέναι εἰς μάχιν προθυμέμενον, (Ἰλ: Ζ. σίχ. 405—412. Καὶ 429—432.) καὶ τὸν αὐτὸν πάλιν Πρίαμος ὁ πατὴρ, καὶ ἡ μήτηρ Ἑκάβη, τῷ Ἀχιλλεῖ παραβαλέσθαι ἕτοιμον ὄντα, ἐπεχείρεν ἀπειρξαι, ὁ μὲν χεῖρας ὀρεγνὺς (Ἰλ: Χ. σίχ. 37. κξ:) ἡ δὲ κόλπον ἀνιεμένη, καὶ τὸν μαζὸν ἀναχέσα. (Αὐτ: σίχ: 80. κξ.)

Στίχ:

Σκέψαι ἀδηλοσιάλω πολέμῳ· γενέτω ἐλέαιρε
Πελυετῆς ἄχος, ὅς σευ νιὸι ἄπες Ἀρδέᾳ·
Ἀλλ' ὄφρα ἐπέεσσι χόλος κατακάμπτετο Τύρνῳ,
Φλέγμαιν' ἐν δ' ἀκέσει, αὐτὰρ προσαέξετο μᾶλλον.
Ὡς δ' ἄρ' πρῶτον ἀνέχεν, ἀμείβεθ' ἧρξατο ὧδε.
Τιὼ περ ἐμεῖο ἕκητι, ἄριστε, φέρεις μελεδῶνα
Ἐξαπόθω, ἰδ' ἔα θανάτω κῦδος μ' ὠνεῖσθαι.
Χ' ἡμεῖς, ὦ Πάτερ, ὀκ ἀβληχρῇ χαρὶ βέλεμνα
Χέομεν· ἡμετέρης τ' ἐκ τρώσιος αἷμα ἀπορρεῖ.
Κάνω μήτηρ τῆλε Θέαινα ἀπέσσεται, ἧκεν
Θηλυτέρῃ νεφέλῃ, φυγάδα σκιάσασα πρύψοι.
Κρείσσ' ἀλλὰ μάχιω μέγα ὀρῤῥωδοῦσα ἀϊθῃ,
Γαμβρὸν μαιμῶντα θρήνοις θανατῶσα κατεῖχε.
Τύρνε, σὲ πρὸς τάτων δακρύων, πρὸς τ', εἴτις Ἀμάτης
Σὸς λόγος ἅπτεται (ἐλπὶς ἐμοὶ γήρως νιῶ οἵα:
Σὺ σήριγμ' οἰκτρῇ, κῦδος τε κράτος τε Λατίνω·
Σοὶ πάρα ἡμέτερος πᾶς δὴ ἐπερείδεται οἶκος.)
Ἔν σ' ἱκετεύω· μὴ χεῖρ' αὐτὸς ξύμβαλε Τεύκροις.
Πᾶν ὅ, τι πέπρωται σοι τῷ δε παθεῖν ἐν ἀγῶνι,
Κἀμοὶ, Τύρνε, πέπρωται· ἅμ' ἀχθηρῶ δ' ἀποθήσω
Ὅσσ', ὐδ' Αἰνείαν γαμβρόν γε κατόψομ' ἀλῦσα,
Δέκτο δὲ δακρυχέουσα Λαβίνη μητέρος αὐδιὼ,
Κάρτα ἐπαθομένη γε παρειᾶς. Πελὺ γὰρ αἰδῆς
Πῦρ τῇδ' ἐξαφθὲν, διὰ θερμὰ προσώπατα ῥεῦσεν.
Ὡς δ' ὅτε τις Φοίνικι μιήνῃ αἱματόεντι
Ἰνδὸν ἐπιχρώσας ἐλέφαντ', ἢ εὖ τε ῥόδοισιν,

Ἄμμι-

* * *

Στίχ: 61. . . . . : ΗΜΕΤΕΡΟΣ ΠΑΣ ΔΗ' ΕΠΕΡΕΙΔΕΤΑΙ ΟΙΚΟΣ· Ἐν εὐχῇ γὰρ ἦν καὶ ἐλπίδι Ἀμάτῃ, ὅτι διὰ τὸ ἀνεψιὸν Τύρνε, ὃν ἐπὶ τῇ θυγατρὶ γαμβρὸν εἰσαγαγέθαι ἠμείρετο, ὁ δὶ ἔνδειαν ἀῤῥένος, ἐκλείπων ἤδη οἶκος ὁ τὸ Λατίνε, ἀνορθοῦθαι ἔμελε καὶ φιλίζεθαι.

Στίχ: 62. . . . . ΜΗ' ΧΕΙΡ' ΑΥΤΟΣ ΞΥΜΒΑΛΕ ΤΕΥΚΡΟΙΣ. Ὥσπερ ἄρα καὶ Ἑλένη τῷ Πάριδι. Ἰλ: Γ. στίχ. 433

Ἀλλά σ' ἔγωγε
„Πάυσαθαι κέλομαι, μηδὲ ξανθῷ Μενελάῳ
„Ἀντίβιον πόλεμον πολεμίζειν μηδὲ μάχεθαι

Ἀλλ' ἡ μὲν, ἤτοι πλαττομένη κήδεθαι θωπευτικώτερον (ὡς Εὐσάθιος φησὶν,) ἢ καὶ τῷ ὄντι ἀνανδρίαν αὐτῷ καὶ ἀθένειαν ἐπιτωθάζουσα (ὡς Σαμηλ. ὁ Κλάρκ.) Η' δὲ Ἀμάτη, ἁπλῶς τῷ Φόβῳ συνεχομένη, καὶ περὶ τῷ Γαμβρῷ εἰλικρινῶς δεδιῖα καὶ τρέμουσα, ἀδὲν δὲ ἧττον καὶ ἑαυτῇ, μήτοιγε ὑπὸ Αἰνείᾳ ἡττανθεὶς αὐτὸς, καὶ πάντα ἅμα τὸν οἶκον συναπολέσειε. Διὸ καὶ ἡ μὲν (κέλομαι) ἔφασκεν ἀγερώχως· ἡ δὲ οἰκτρῶς, (καθικετεύω.)

Στίχ: 69. Ὡς Δ' ΟΤΕ ΤΙΣ ΦΟΙΝΙΚΙ κτ: Καὶ Ἰλ: Δ. στίχ. 141.

„Ὡς δ' ὅτε τὶς τ' ἐλέφαντα γυνὴ Φοίνικι μίνῃ
„Μηονὶς, ἠὲ Κάειρα, παρήϊον ἔμμεναι ἵππων,

Καὶνταῦθα δὲ παῤ ἀμφοτέροις τοῖς Ποιηταῖς ἴσως εἶναι τιὼ τῆς παραβολῆς αἴγλην Μακρόβιος ἀπεφαίατο. Βιβλ: Ε. Κεφ: ΙΒ. παρὰ Κλαρκ. ἐν ταῖς εἰς τὰ Ὁμ: Σημ.

Indum ſanguineo veluti violaverit oſtro
Si quis ebur; aut mixta rubent ubi lilia multâ
Aiba roſâ: tales virgo dabat ore colores.
Illum turbat amor, ſiſtitque in virgine vultus:
Ardet in arma magis, pauciſque affatur Amatam:
Ne quæſo, ne me lacrymis, neve omine tanto
Proſequere, in duri certamina Martis euntem,
O Mater, neque enim Turno mora libera mortis.
Nuntius hæc, Idmon, Phrygio mea dicta tyranno
Haud placitura refer. Cùm primum craſtina cœlo
Puniceis invecta rotis aurora rubebit,
Non Teucros agat in Rutulos: Teucrûm arma quieſcant,
Et Rutnlûm: noſtro dirimatur ſanguine bellum.
Illo quæratur conjux Lavinia campo.
Hæc ubi dicta dedit, rapiduſque in tecta receſſit,
Poſcit equos, gaudetque tuens ante ora frementes,
Pilumno quos ipſa decus dedit Orithya,
Qui candore nives anteirent, curſibus auras.
Circumſtant properi aurigæ, manibusque laceſſunt
Pectora plauſa cavis, & colla comantia pectunt.
Ipſe dehinc auro ſqualentem, alboque orichalco

Cir-

❁ ❁ ❁

Στίχ: 71. . . . . ΕΡΕΥΘΙΑΕΙ ΚΡΙΝΑ ΛΕΥΚΑ. Ὁ συμβαίνειν κατ' ἀντάυγειαν ὑποτίθεται.

Στίχ: 74. ΑΙΘΕΤΟ ΜΑΛΛΟΝ ΕΦ' ΟΠΛΑ, ... Ἰσχυροτέραν τιὼ ἐπὶ τιὼ μάχιω ἑρμιὰ ἀνελάμβανε, τὸ τῆς κόρης κάλλος πρὸ ὀφθαλμῶν ἔχων, οἷον προκείμενον ἔπαθλον.

Στίχ: 75 ΜΗ ΔΗ . . . . ΥΠ ΟΙΩΝΩΙ ΣΥ ΜΕ ΤΟΙΩι κτ: Οὐ γὰρ αἴτια ἐνομίζετο τοῖς προελθεῖν εἰς ἔργον τι προθυμουμένοις τὰ ὑπὸ τῶν παραπεμπόντων προχεόμενα δάκρυα. Διὸ καὶ Πρίαμος τῇ Ἑκάβῃ κωκυούσῃ, ὅτε πρὸς Ἀχιλλέα παρεσκευάζετο κατιέναι, τὸν τῆ ὑῆ νέκυν λυσόμενος. Ἰλ: Ω. στίχ. 218.

„Μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτῆ
„Ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ. οὐδέ με πείσεις.

Στίχ: 77. . . . . ΤΥΡΝΩι ΘΕΜΙΣ ΟΥΤΙ ΜΟΡΟΝ ΔΗΟΥΝΕΙΝ. Εἴτε τιὼ αἰτίαν τῆ θανάτῳ, μόρον ὧδε κατὰ συνεκδοχιὰ ὀνομάζει, ἤτοι τιὼ μονομαχίαν· εἴτ' οὖν τὸ ἐκ τῆς αἰτίας ταύτης ἀποβησόμενον, αὐτόν τε τεξι τὸν διὰ τῆς μονομαχίας θάναλον· ὐυδέτερον, φησὶν, ἔξεσι Τύρνῳ διαφυγεῖν· Οὐ γὰρ τὸ πρῶτον, διὰ τιὼ ἐκ μὲν Αἰνείᾳ πρόκλησιν, ἐξ αὐτῆ δὲ Τύρνᾳ κατάνευσιν καὶ ὑπόχεσιν· ἀλλ' οὐδὲ τὸ δεύτερον, διὰ τὸ πεπρωμένον· ἐπεὶ (ὡς Πίνδ: Πυθ. ΙΒ.) „Τὸ μόρσιμον ἐ πάρφυκτον.

Στίχ: 78. . . . . ΙΔΜΟΝ, ΦΡΥΓΙΩι ΑΓΓΕΛΛΕ ΤΥΡΑΝΝΩι. Ἴδμων μὲν ὄνομα, ὁ ἀποσελλόμενος κήρυξ· Φρύγιον δὲ κατ' ὀλιγωρίαν, ἢ ἐξαθέννησιν, τὸν Αἰνείαν προσείρηκεν, ἀνανδρίας τε καὶ θηλυπρεπείας τῆ Φρυγῶν ἔθνει αἰτίαν φέροντος.

Στίχ: 81. ΜΗ ΤΕΥΚΡΟΥΣ ΑΓΕΤΩ ΡΟΤΟΙΣ κτ: Ἰλ: Γ. στίχ. 69 — 75. ὁ Πάρις:

„Αὐτὰρ ἔμ' ἐν μέσσῳ καὶ ἀρηίφιλον Μενέλαον
„Συμβάλετ' . . . . . .

Στίχ: 85. . . . . ΓΗΘΕ Δ' ΕΠΕΙ ΧΡΕΜΕΘΟΝΤΑΣ ΕΩΡΑ, Αἴσιον αὐτῷ ἐπὶ τῆ προκειμένῃ ἀγῶνος τὸν ἵππων χρεμετισμὸν ἐξοιωνισάμενος. Παρετήρει γὰρ ἐπιεικῶς τὰ τοιαῦτα.

Στίχ:

Ἄμμιγα ἐν πολλοῖσιν ἐρευθιάει ῥίνα λευκὰ,
Τοῖον παρθενικῆς χρόον ὄψεος ἰῶ ἐσιδέσθαι·
Τὸν δὲ ἔρως θράξει, κήρη δ' ἐπι ὄσσε γ' ἐρείσας
Αἴθετο μᾶλλον ἐφ' ὅπλα, Ἀμάτιω πᾶυρα δ' ἀμεῖπτο.
Μὴ δὴ δακρυχέουσα ὑπ' οἰωνῷ σύ με τόιῳ
Παρπέμποις, μῶλον μετὰ Ἄρευς νωῖ μολέοντα,
Ὦ Μῆτερ. Τύρνῳ θέμις ἔτι μόρον δηθύειν.
Βάσκ' ἴθι ταῦτ', Ἴδμον, Φρυγίῳ ἄγγελε τυράννῳ,
Οὐχ οἱ θυμήρη. Ἐς τέκιὸν ἄυριον ἦμαρ,
Εὖτ' ἠὼς πρῶτον ῥοδέοισι τροχοῖσιν ὀχεῖται,
Μή Τεύκρους ἀγέτω Ῥοτόλοις· Τεῦκροι Ῥότολοί τε
Στήτων· νωϊτέρῳ κεκριθῶ αἵματι δῆρις.
Ἡ δὲ Λαβίνη, τᾷ ϛαδίῳ νικῶντος ἀκόιτη.
Ὡς εἰπὼν ἀφαρὲ πτεύσας ἐπὶ δώματα θεῦσε,
Δίξε δὲ ἵππους, γῆθε δ' ἐπεὶ χρεμέθοντας ἐώρα,
Τάς περ. Πιλάμνῳ Ὀριθείη ὤπασε κῦδος·
Λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.
Ἀμφὶ δ' ἄρ ἠνίοχοι παλάμαις ὀτρηρὸι κοίλαις,
Τῶν ϛήθη ψῶντες, πέκον ἀυχένας ἔυ κομόωντας.
Εἶθ' ὅγε, δαιδάλεον χρυσῷ λευκῷ τ' ὀριχάλκῳ,
Θώρηκ' ἀμφ' ὤμοισιν ἔδυ, ἐπὶ δ' ἄρσατο ἄορ.

C 2 Πρὸς

❁ ❁ ❁

Στίχ: 86. . . . . ΠΙΛΟΥ'ΜΝΩι 'ΟΡΙΘΕΙ'Η . . . . . Ὠρίθειαν τιὼ τᾷ Ἐρεχθέως ἐκ Πραξιθέης, περῶσαν ἐπὶ Ἰλισσῷ ποταμῷ, Βορέας ἁρπάσας ἐπὶ τιὼ Θρᾴκιω ἤγαγεν. (Ἀπολλόδ Βιβλ: Γ. Κεφ: ΙΕ.) Ἀπορᾶσιν ἔν τῶν τινες Κριτικῶν, πῶς Πιλάμνῳ τῷ Ἰταλῷ δαίμονι (περὶ ἃ ὅρα Γ. Αἰν. στίχ. 79.) ἡ Δαίμων Ὠρίθεια, Ἀτθὶς μὲν ἔσα τιὼ τᾷ γένος καταβολιὼ, ἐκ δὲ τῆς ἁρπαγῆς Θρῇσσα τιὼ οἴκησιν, τὰς Θρακικὰς ἵππους ἐπ' Ἰταλίας εἰς δῶρον ἔπεμπεν; ἐμοὶ δ' ἀπορεῖν ἔπεισιν, ὅτι τὰ τοιαῦτ' ἀπορᾶσιν, ἐξὸν εἰδότι τοῖς περὶ Ποίησιν ἀνευθώως τὰ παραπλήσια τερατένεσθαι.

Στίχ: 87. ΛΕΥΚΟ'ΤΕΡΟΙ ΧΙΟ'ΝΟΣ. Ὁμήρε τὸ ἔπος κατὰ λέξιν: Κ. στίχ. 436. ἐν οἷς περὶ τῶν Ῥήσε ἵππων ὁ Δόλων κατήγγελλε τοῖς κατασκοπεύσι:

„Τᾷ δὴ καλλίστας ἵππας ἴδον, ἠδὲ μεγίστας·
„Λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

Σημείωσαι δὲ, ἐν τοῖς Ὁμήρε τοῖς δ' ἔπεσιν, ὅτι τῷ θαυμασίῳ τῆς ξιωωρίδος, καὶ τὸ χῆμα τῆς φράσεως σωεζήλακται· εἰπεῖν γὰρ διωάμενος ὁ-„μοιοπτώτως, λευκοτέρας ϗ ἴᾳ μέτρε ἐπιδεχομένε τιὼ τοιαύτιω σιώταξιν, „ὅμως ὁ Ποιητὴς κατὰ πτῶσιν ἐυθείαν καινῶς ἐχημάτισεν, ἐξομοιώσας „τὸ ξενίζον τᾷ λόγε χῆμα ἴῃ καινοπρεπείᾳ τᾷ πραγματος, ϗ θαυμασικῶς τῇ μεταβάσει τᾷ χήματος τὸν τᾷ ζεύγες ἐκφωνήσας ἔπαινον. (Εὐσάθ. ἐνταῦθα) ταύτῃ τοι καὶ ἡμῖν κατ' ὀρθιὼ πτῶσιν ἀπεδόθη τὸ ἔπος, τὸ Οὐιργιλίε ἐνταῦθα, ἐνὸν κατὰ πλαγίαν, καὶ τᾷ μέτρε σωζομένε, ἀποδᾶναι καινότερον.

Στίχ: 88. . . . . ΗΝΙ'ΟΧΟΙ . . . . Ἀντὶ τᾷ, ἱπποκόμοι. φιλᾶσι γὰρ οἱ αὐτοὶ τὰ πλᾶσα ποιεῖν ἑκάτερον.

Στίχ: 89. ΤΩ'Ν ΣΤΗΘΙ ΨΩ'ΝΤΕΣ κτ: Τῶι γὰρ ἵππων καταψᾶν τὰ ὦτα, ϗ τιω χαίτιω εἰώθασιν· ὁ δὲ Ξενοφὼν ἐν Ἱππικ. φησὶν, ὡς ἅπτεσθαι χρὴ, ὧν ψηλαφωμένων ὁ ἵππος μάλιστα ἥδεται. Ὅρα καὶ Γ. Γεωργ. στίχ. 213 Σημ.

Στίχ: 90. . . . . ΛΕΥΚΩ͂ Τ' 'ΟΡΙΧΑ'ΛΚΩι, Ὀρείχαλκος ὁ διαυγὴς χαλκὸς, ὁ δόκιμος. (παρα Σειδᾳ.) ἢ ὁ λευκὸς χαλκὸς, τὸ λευκὸν χάλκωμα.

'Ο

Circundat loricam humeris: simul aptat habendo
Ensemque, clypeumque, & rubræ cornua cristæ;
Ensem, quem Dauno ignipotens Deus ipse parenti
Fecerat, & Stygiâ candentem tinxerat undâ.
Exin, quæ mediis ingenti adnixa columnæ
Ædibus astabat, validam vi corripit hastam,
Actoris Aurunci spolium, quassatque trementem,
Vociferans: Nunc, ô nunquam frustrata vocatus
Hasta meos, nunc tempus adest; te maximus Actor,
Te Turni nunc dextra gerit: da sternere corpus,
Loricamque manu validâ lacerare revulsam
Semiviri Phrygis, & fœdare in pulvere crines,
Vibratos calido ferro, myrrhâque madentes.
His agitur furiis, totoque ardentis ab ore
Scintillæ absistunt: oculis micat acribus ignis.
Mugitus veluti cum prima in prælia taurus
Terrificos ciet, atque irasci in cornua tentat,
Arboris obnixus trunco, ventosque lacessit
Ictibus, & sparsâ ad pugnam præludit arenâ.
Nec minus interea maternis sævus in armis
Æneas acuit Martem, & se suscitat irâ,
Oblato gaudens componi fœdere bellum.

Tum

❖ ❖ ❖

Ὁ δὲ Ἰσίδωρος (ἐν τοῖς περὶ Ἀρχ. τῶν πραγμ.) Αὐγίῳ μὲν χρυσᾶ, σκληρότητα δὲ χαλκᾶ τὸν Ὀρείχαλκον ἰσόρησεν ἔχειν· Πλίνιος δὲ (Φυσ. Ἱστορ. Βιβλ. ΛΔ Κεφ. Β΄.) μηκέτι δή, ὡς ἀπὸ πολλοῦ τοῦ χρόνου ἐκλιπόντα, εὑρίσκεσθαι ὀιεται, μηδαμῇ δὲ τυχὸν καὶ ἐυρεθῆναι ποτὲ, πλὴν ἢ παρὰ τοῖς Ποιηταῖς, καὶ τοῖς μύθοις. Καὶ γὰρ καὶ ἐν τῷ Β τῶν εἰς τὴν Ἀφροδίτην ὕμνων ὀρειχάλκε γίνεται μνεία, ἐνῶτια φέρειν καθυμνεμένῳ, (στίχ. 9.)

„Ἄνθεμ' ὀρειχάλκε, χρυσοῖο τε τιμήεντος.

Καὶ παρ' Ἡσιόδῳ δὲ, ἐν τῇ Ἀσπίδι·

„Ὡς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινᾶς,
„Ἡφαίστε κλυτὰ δῶρα περὶ κνήμῃσιν ἔθηκεν.

Ἄλλοι γεμλῶ (ὡς ὁ Ἡσιόδ. Σχολιαστ.) μὴ πλάσμα τό δε ποιητικὸν, ἀλλ' ὕλιν εἶναί τινα μεταλλικὴν, χαλκῆ, φασὶ, τιμιωτέραν, καὶ ἐν ὄρεσιν εὑρίσκεσθαι· ὁ δὲ τῶν Ἐθνικῶν Συγγραφεὺς, ἐκ τῆ Στράβωνος παραλαβὼν „τὰ Ἄνδειρα, φησὶν, ἡ πόλις, φέρει λίθον, ὃς καιόμενος σίδηρος γίνεται· „εἶτα μετὰ γῆς τινος καμινευθεὶς ἀποζέζει ψευδάργυρον· εἶτα κραθεὶς χαλκῷ, ὀρείχαλκος γίνεται. Σημειωτέον δὲ, ὅτι λευκὸς παρ' ἄλλοις τε, καὶ παρὰ τῶ ἡμετέρῳ ἐνταῦθα ὁ ὀρείχαλκος λέγεται, οὐχ ἁπλῶς λευκὸς ὤν, ἀλλ' ἐκ τῆς πρὸς τὸν χρυσὸν παραθέσεως.

Στίχ. 94. . . . ΣΤΥΓΙΌι ΕΝ ΝΆΜΑΤΙ ΒΆΨΕΝ Οἱονεὶ ἀπαθανατίσας, φησὶ Σέρβιος, quasi immortalem fecerat: τετέχνη ἕτω σοφώσας, ὡς ἐν πολέμοις, δι' ὑπερβάλλουσαν σεβάσιότητα, ἄθρυπτον εἶναι, καὶ κομιδῇ ἄθραυστον.

Στίχ. 95. ΕΙΤ ΆΠΟ ΚΙΌΝΟΣ. . . . . Πρὸς γὰρ κίονι ἐν θεροδόκαις, ἤτοι θερατοθήκαις, τοῖς παλαιοῖς ἐτίθετο ἀποκεῖσθαι τὰ ὅπλα. Διὸ παρ' Ὁμήρῳ Τηλέμαχος, τὸ Παλλάδος, ὑπὸ τῇ Μέντε μορφῇ λανθανέσης, ἔγχος λαβων, Ὀδυσ. Α. στίχ. 127.

„. . . . . Ἔκησε φέρων πρὸς κίονα μακρὸν
„Δερεδόκης ἔντοσθεν ἐϋξόε, ἔνθα περ ἄλλα
„Ἔγχε' Ὀδυσσῆος ταλασίφρονος ἵσατο πολλά.

Στίχ.

Πρὸς δ' ἔτι καὶ σάκος, ἠδὲ λόφος τ' ἐρυθρῆς τρυφαλείης.
Ἄορ δ' Ἥφαιστος Δάυνῳ πατρὶ κλυτοτέχνης
Τεύξατο, καὶ πυρόεν συγίῳ ἐν νάματι βάψεν.
Εἶτ' ἀπὸ κίονος, ἔνθ' ἐν δώμασιν ἵξατο πολλὰ,
Χειρὶ μέγα, βριθὺ, σιβαρόν τε ἀνείλετο ἔγχος,
Ἄκτορος Αὐρύγκα σκῦλον, τρομέον δ' ἐκράδαινεν,
Ἡ δὲ μετήυδα. Νῶι, ἐπικλήσεις ἔποτ' ἐλέγξαν
Ἔγχος ἐμὰς, νῶι μοι παρέοις! Σὲ πάρος μέγας Ἄκτωρ,
Δεξιτερὴ σε φέρει νῶι Τύρνε. Δὸς δέμας ἶφι
Ῥῆξαι, καὶ θώρηκα χερὶ κρατερῇ με δαΐξαι
Φρυγὸς γύννιδος, ἐν κονίῃ χαίτας δὲ μιῆναι
Οὔλας θερμανθέντι σιδήρῳ, μυρόβρεχές τε.
Ταῖς δ' οὐ ἐριννύσι πάγχυ ἐλαύνετο· τῶδ' ἀπὸ ὠπὸς
Σπινθάριγες θρῴσκον, δριμυσσομένοιν τ' ἀπὸ ὄσσοιν.
Οἷος ἐπὶ ταῦρος, πολέμα πρόγε ἀργαλέοιο,
Μυκάετ' ἐκπάγλως, κεράεσσίτε ἐγχαλεπαίνει,
Ἐμμεμαὼς δὲ πάρος μένεος πειρᾶται ἑοῖο,
Καδδένδρα κορμοῖο δὲ, ἀντιμέτωπ' αἴσσει
Κόπτων, ἠδ' ἐπὶ δῆριν ἀήτας ἐκπροκαλεῖται·
Ψάμμοντ' ἀνσκεδάων χεδιάζει τὰ πρὸ ἀγῶνος.

Τετά-

❁ ❁ ❁

Στίχ: 97. ΆΚΤΟΡΟΣ ΑΥΡΥΓΚΟΥ ΣΚΥΛΟΝ . . . . Ἀπορεῖ Σέρβιος ἐνταῦθα, πότερον, ὅπερ Ἄκτωρ ἀπὸ ἄλλα σκυλεύσας ἰῶ, ὃν αὐτὸς ἀπέκτεινεν, ἢ ὅπερ Τύρνος αὐτὸς ἀπὸ Ἄκτορος; ἐνὶ λόγῳ, πότερον κατ' ἐνέργειαν ἐπὶ τῷ Ἄκτορος τιὼ σκύλευσιν νοητέον, ἢ κατὰ πάθος; Καὶ ὁ μὲν Γάλλος αἱρεῖται τὸ δεύτερον, περὶ Τύρνα λέγων σαφῶς: Qu' il avoit autre fois enlevee (la Javelina) à Actor du pays des Aurunces. Ἀλλ' ὁ Δέρκης οἴεται τἀναντίον, Quod Actor cuidam alteri ſpolium detraxerit; ad Turnum autem transmiſſam haſtam dono ab Actore: (τὸν Ἄκτορα δηλ: ὡς μὲν ἕναρον παρ' ἄλλα σκυλεῦσαι, ὡς δὲ δῶρον τὸ δόρυ διαπέμψαι τῷ Τύρνῳ.) Πειθει δὲ τοῦτο, φησὶν, ὁ ὑπὸ Τύρνα τῷ Ἄκτορι ἐφεξῆς ἀπονεμόμενος ἔπαινος. (στίχ. 99)

„ . . . . . Σὲ πάρος μέγας Ἄκτωρ,
„Δεξιτερὴ σὲ φέρει νῶι Τύρνε . . . . .

Ἀλλ' ἐκ ἐπέζησε Κέρδης τοῖς δυσὶ τούτοις: Λ. Ὅτι τοῖς νικῶσι φίλον δὶ ἐπαίνε ἄγειν τὲς νικηθέντας· μεγαλώυσι γὰρ ἑαυτὲς ἐπαινοῦντες τὲς ὧν ὤφθησαν κρείττονες. Β. ὅτι διὰ τῦ προσεθέντος „Δεξιτερή σε φέρει νῶι Τύρνε . . . . ἐπιδήλως ἑαυτὸν ὁ Τύρνος ἀνακηρύττει τῷ Ἄκτορος ὑπερφέροντα· ὃ ψυχρῶς ἂν λέγοιτο, εἰ μὴ ὡς ἕναρον εἰληφὼς ἦν τὸ δόρυ αὐτὸς κατακτείνας Ἄκτορα.

Στίχ: 102 ΦΡΥΓΟΣ ΓΥΝΝΙΔΟΣ . . . . Καὶ αὖθις πρὸς ἐξυθένησιν, διὰ τῦ ἐθνικῦ τὸν Αἰνείαν ὠόμασεν· (ὡς καὶ Α. Λίν: στίχ. 512. καὶ Ζ. στίχ. 621. καὶ Θ. στίχ. 136) Λειδορεῖ ἓν τὸν Ἄνδρα ὡς θηλυδρίαν τινὰ, γυναικωδῶς τιὼ κόμιω, τῇ διὰ πεπυρακτωμένυ σιδήρυ ἐπιτηδευομένῃ τῶν βοστρύχων ἐλότητι καλλωπιζόμενον, καὶ μύρῳν περιῤῥαντισμοῖς ὄζοντα.

Στίχ: 105. ΣΠΙΝΘΑΡΙΓΕΣ ΘΡΩΣΚΟΝ ΔΡΙΜΥΣΣΟΜΕΝΟΙΝ ΑΠΟ' ΟΣΣΟΙΝ. Ἰλ: Α. στίχ. 104.

„ . . . . . ὅσσε δὲ οἱ πυρὶ λαμπετόωντι ἐίκτιν.

Καὶ Ἰλ: Τ. στίχ. 365.

„ . . . . . τῷ δὲ οἱ ὄσσε
„Λαμπέσθιν, ὡσεί τε πυρὸς σέλας. . . . .

Στίχ: 106—111. ΟΙΟΣ ΕΠΕΙ ΤΑΥΡΟΣ κτ: Ὅρα Γ. Γεωργ. στίχ. 252—275.

Tum ſocios, mœſtique metum ſolatur Jüli,
Fata docens; regiqne jubet reſponſa Latino
Certa referre viros, & pacis dicere leges.
Poſtera vix ſummos ſpargebat lumine montes
Orta dies, cum primum alto ſe gurgite tollunt
Solis equi, lucemque elatas naribus efflant:
Campum ad certamen magnæ ſub mœnibus urbis
Dimenſi Rutulique viri, Teucrique parabant:
In medioque focos, & Diis communibus aras
Gramineas: alii fontemque, ignemque ferebant.
Velati lino, & verbenâ tempora vincti.
Procedit legio Auſonidum, pilataque plenis
Agmina ſe fundunt portis: hinc Troïus omnis,
Tyrrhenuſque ruit variis exercitus armis,
Haud ſecus inſtructi ferro, quam ſi aſpera Martis
Pugna vocet, nec non mediis in millibus ipſi
Ductores auro volitant, oſtroque decori:
Et genus Aſſaraci Mneſtheus, & fortis Aſylas,
Et Meſſapus equûm domitor, Neptunia proles,
Utque dato ſigno ſpatia in ſua quiſque receſſit,
Defigunt tellure haſtas, & ſcuta recliuant.

Tum

Στίχ: 116. . . . . ΚΡΕΙΟΝΤΙ ΔΕ ΠΕΜΠΕ ΛΑΤΙΝΩ. Σημείωσαι, ὡς Τύρνος μὲν ἰῶ, ὁ Αἰνείας τιὶ μονομαχίαν διὰ τῆ Κήρυκος προβαλόμενος. (Ανω: στίχ. 78.)

„Βᾶσκ' ἴθι ταῦτ', Ἶδμον, Φρυγίῳ ἄγγελλε τυράννῳ
Αἰνείας δὲ ἄδε, ἐ πρὸς Τύρνον, πρὸς δὲ Λατῖνον τὲς τιὼ ἀποδοχιὼ τῆ προβληθέντος δηλώσοντας διαπέμπεται, ὡς πρὸς Κύριον δηλονότι τῶν γινομένων αὐτὸν τυγχάνοντα.

Στίχ: 121. ΦΩΣ Δ' ΑΠΟ' ΜΥΚΤΗΡΩΝ ΠΝΕΙΕΣΚΟΝ. Οὕτω καὶ παρὰ Πινδάρ. Ὀλύμ. Ζ. ὁ ἥλιος εἴρηται:

„Ὀξειᾶν γενέθλιος ἀκτίνων πατὴρ—Πῦρ πνεόντων ἀρχὸς ἵππων.

Στίχ: 122. ΧΩΡΟΝ ΑΓΩΝΟΣ ΔΗ κτ: Ταῦτα ἐκ τῶν Ὁμήρε ληφθεῖσαι, Σέρβιος φησὶν. Ἰλ: Γ. στίχ. 315. κξ.

„Χῶρον μὲν πρῶτον διεμέτρεον κτ:

Στίχ: 124. . . . . ΕΣΧΑΡΑΙ, ΚΑΙ' . . . . ΒΩΜΟΙ . . . . Οἱ μὲν τιὰ ἐχάραν τῷ βωμῷ σωώνυμον εἶναι βελόμενοι, τὸ ἐν Φασὶν ἐνταῦθα διὰ δυοῖν ἐκπεφράδθαι. Ἄλλα γὰρ ἄλλοι διέξελαυ, ἐχάραν ἰδιαίτερον, εἰπόντες, τῆ βωμῆ καλεῖθαι τὸ μέσον, ἐν ᾧ τὸ πῦρ ἅπτεται· οἱ δὲ καὶ ἄλλως ἐχάραν εἶναί τιὼ μὴ ἔχεσαν ὕψος, ὡς ἀπὸ τῆς ἕρας ἐχομένῳ ἐτυμολογήσαντες. καὶ ἐπὶ γῆς κοίλῳ ὄσαν ὁ δὲ βωμὸς ὕψος ἔχει πηλικονῆν, ἐφ' ᾧ ἔξαι καὶ ἀναβιῶαι, ἢ ἐπιβῆναι. Ἕτεροι δὲ τέως, τὸν μὲν Ἰοῖς Θεοῖς ἀνατεθεῖθαι, τιὼ δὲ τοῖς Ἥρωσι.

Στίχ: Αὐτ: . . . . ΚΟΙΝΟΙΣ . . . . ΘΕΟΙΣΙΝ· Τοῖς καὶ Τεύκροις καὶ Ῥοτόλοις ἐπίσης σεπτοῖς· οἷον τῷ Ἄρει, τῇ Ἐνυοῖ, τῇ Νίκῃ, ἢ καὶ Ἡλίῳ, Σελιώῃ, Αἰδωνεῖ κτ: Οἱ δὲ τοιῶτοι βωμοὶ Κοινοβωμίαι προσείρηνται.

Στίχ: 125. ΗΙΡΥΝΤΟ ΧΑΟΕΡΟΙ . . . . Ὅτι πάλαι ἐκ χλοαζόντων, φασὶ, βώλων οἱ βωμοὶ καθίσαιτο· καὶ τότε δεῖγμα προβάλλονται τὸ ἔθος, ὃ παρὰ Ῥωμαίοις ἐκράτει, τῆ ἐπὶ τὲς λιθοκτίσους τῶν βωμῶν, τοιῆσδε γῆς βώλες πρῶτον ἐπισρωννύειν, εἶτ' ἐπ' αὐτοῖς θύειν.

Στίχ:

Τετάκει δ' οὐχ ἧττον, μητρῴοις αἰνὸς ἐν ὅπλοις,
Θήγων Αἰνείας Ἄρηι, χόλον ἐξυπανίσῃ,
Γῆθε δὲ σωθεσίῃ, ὅτι δῆρις τῇ πέρας ἕξει.
Εἶθ' ἑτάρους θαρρεῖν κέλετ', ἀχνύμενόν τε Ἴλον,
Θέσφατ' ἀναπτύσσων. Κρείοντι δὲ πέμπε Λατίνῳ,
Πιστὰ τ' ἐρεῦντας, ὅρκους τ' ἀρίστης ἀγγελέοντας.
Ἑξῆς δ' εὖτε μόλις σέλας ἄκρα ἐπ' ὄρεα κίδνη
Ἦμαρ ἀνίσχον, ὅτ' ἐκ βαθυδίνης ὠκεανοῖο
Ἠελίῳ θρῴσκον τὰ πρῶτα μετάρσιοι ἵπποι,
Φῶς δ' ἄπο μυκτήρων πνείεσκον φυσιόωντες,
Χῶρον ἀγῶνος δὴ, μεγάλῃ ὑπὸ τείχεσιν Ἄξευς
Εὖ διεμέτρεον ἐκ Ῥοτόλων ἄνδρες, καὶκ Τεύκρων·
Μεσσόθι δ' ἐχάραυ, ἠδὲ Θεοῖς βωμοὶ κοινοῖσιν
Ἵδρυντο χλοεροὶ, φέρον αὐτὰρ νᾶμα τε πῦρ τε,
Κρατὶ λινοσκεπέες, βοτάνῃ θ' ἱερῇ ἀνάδητοι.
Ἀυσονιδῶν δέ φάλαγξ πρὸβαινε, θαμειαὶ τ' ἔλαμ
Ἐξεχέοντο πυλῶν· στρατιαὶ δ' ὅπλοις παντοίοις
Πασσυδὶ ὁρμέατο Τρώων ἰδὲ Τυρσιωῶν τε,
Ἐν ῥὰ σιδήρῳ· ἠκ ἄλλως ἦ Ἄρεος εἶπερ
Κέκλετο αἰνὸς ἀγὼν· μέσσοι δ' ἐν χιλιάδεσσιν
Αὐτῶν ἀμφοτέρων, σημάντορες ἡγεμονῆες,
Εἵμασι πορφυρέοις χρυσοῖσι τε ἀμφεποτῶντο,
Μνεσθεὺς τ' Ἀσσαράκοιο γένος, κρατερός τε Ἀσύλας.
Μέσσαπος ἱπποδάμης τε, ὁ Φύτλης τῆς Ποσιδῶνος.
Ὡς δ' ἄρ' σημανθέντα ἔκαστοι χῶρον ἐπέχον,

❀ ❀ ❀

Στίχ: Αὐτ: . . . : ΝΑΜΑ ΤΕ ΠΥΡ ΤΕ. Ἐπὶ τῶν σωθηκῶν πυρός τε καὶ ὕδατος ἐγίνετο χρῆσις· Διὸ καὶ τὰς ἀκοινωνήτες πυρὸς ἀποσεβέμεν καὶ ὕδατος. (Σέρβιος)

Στίχ: 126. ΚΡΑΤΙ ΛΙΝΟΣΚΕΠΕΕΣ . . . . Καὶ μέν ἐχὶ λινοῖς, τοῖς δ' ἐξ ἐρίων ὑφάσμασιν ἐκαλύπτοντο τὰς κεφαλὰς ἐπὶ ταῖς τοιαῖσδε σωθήκαις· τοῦτο δέ τοι πλημμελῶς οὕτως εἰρῆσθαι ἐπίτηδες ὁ Μάρων ἠξίωσεν, ὅτι αἱ σωθῆκαι πληρεῖσθαι οὐκ ἔμελλον, ἢ φησὶ Σέρβιος· Ἀλλὰ γὰρ σωρεᾶν οὐκ ἔχω, ὅπως ἀκυρολεκτῆσαι οἰόνει παίζων ἐνταῦθα, ὁ ἀκριβέστατος τἰνὲ φράσιν Οὐεργίλιος ἠνέσχετο; Ἄλλως δ' ἄν κἀκεῖνο ἀπαντήσειέ τις τῷ Σχολιογράφῳ Σερβίῳ, εἰπών, ὅτι καὶ διὰ τῆς ἐπαναληφθείσης ὕστερον Αἰνείᾳ τε καὶ Τύρνῳ μεταξὺ μονομαχίας, πεσόντος τοῦ ἀθετήσαντος, αἱ σωθῆκαι πεπλήρωνται· ἥ τε γὰρ Λαβίνη τέως, καὶ τὸ κράτος, Αἰνείᾳ τῷ νικήσαντι προσεχώρησαν, ὅς τις ἦν καὶ ὁ τῶν Σωθηκῶν ὅρος.

Στίχ: Αὐτ: . . . . ΒΟΤΑ'ΝΗι Θ' ΙΡΗΙ. Verbenam τἰνὲ βοτάνἰν ὀνομάζει ὁ Ποιητὴς· εἶναι δὲ, φασὶ, τἰνὲ Λιβανωτίδα, (Ros marinum) οὕτω καλουμένἰν, παρὰ τὸ τἰνὲ τοῦ θάμνου ῥίζαν, λιβάνου ἀποφέρειν ὀσμήν· (Διοσκορ. Βιβλ: Γ. Καὶ Νίκανδρ. ἐν τοῖς Θηριακ·)

Στίχ: 134. ΜΝΕΣΘΕΥ'Σ . . . . . ΑΣΥ'ΛΑΣ. Οἱ μὲν, ὡς ἀπὸ τῶν ἀμφ' Αἰνείαν· ὁ δὲ, ὡς ἀπὸ τῶν Ῥοτόλων.

Στίχ: 135. ΜΕ'ΣΣΑΠΟΣ. . . . . Δύο δ' ἴσως ἐκεῖνοι, ὅτι Μνεσθέα ἔδει παρεῖναι ὡς ἐκ τῶν Τεύκρων, Ἀσύλαν δὲ, ὡς ἐκ τῶν Συμμάχων Ἑτρύσκων. Ὁ δὲ Μέσσαπος τὸς Ἰταλιώτας ἅπαντας παρίσῃ περὶ οὗ, ἔρα Ζ. Αἰν: στίχ. 749.

Στίχ:

Tum ſtudio effuſæ matres, & vulgus inermum,
Invalidique ſenes, turres & tecta domorum
Obſedêre: alii portis ſublimibus adſtant.
At Juno è ſummo, qui nunc Albanus habetur,
(Tunc neque nomen erat, neque honos, aut gloria monti)
Proſpiciens tumulo, campum ſpectabat, & ambas
Laurentum, Troumque acies, urbemque Latini.
Extemplo Turni ſic eſt affata ſororem,
Diva Deam, ſtagnis quæ fluminibuſque ſonoris
Præſidet: (hunc illi rex ætheris altus honorem
Juppiter ereptâ pro virginitate ſacravit.)
Nympha, decus fluviorum, animo gratiſſima noſtro,
Scis, ut te cunctis unam, quæcunque Latinæ
Magnanimi Jovis ingratum aſcendêre cubile,
Prætulerim, cœlique lubens in parte locarim:
Diſce tuum (ne me incuſes) Juturna, dolorem.
Quà viſa eſt Fortuna pati, Parcæquo ſinebant
Cedere res Latio, Turnum, & tua mœnia texi.
Nunc juvenem imparibus video concurrere fatis:
Parcarumque dies, & vis inimica propinquat.
Non pugnam aſpicere hanc oculis, non fœdera poſſum.

Tu,

❁ ❁ ❁

Στίχ: 137. ΈΓΧΕΑ ΜἘΝ ΠἨΞΑΝ ΧΘΟΝἸ . . . . Ἰλ: Γ: στίχ. 113.
„Καὶ ῥ' ἵππους μὲν ἔρυξαν ἐπὶ στίχας, ἐκ δ' ἔβαν αὐτοὶ,
„Τεύχεα τ' ἐξεδύοντο, τὰ μὲν κατέθεντ' ἐπὶ γαίῃ
, Πλησίον ἀλλήλων. ὀλίγη δ' ἦν ἄρσερα.
Καὶ Αὐτ στίχ. 134.
„Οἵ δὴ νῦν ἕαται σιγῇ, πόλεμος δὲ πέπαυται,
„Ἀσπίσι κεκλιμένοι, παρὰ δ' ἔγχεα μακρὰ πέπηγε.

Στίχ: 141. . . . . ΤΩΙ̃ ᾽ΑΛΒΑΝΟ᾽Σ Ο᾽ΥΝΟΜΑ ΝΥ̓Ν ΓΕ. Οὔπω γὰρ δὴ τότε, ἔθ' ἡ πόλις ὑφειςήκει, ὡς ὑπὸ Ἀσκανίῳ ὕστερον κτισθεῖσα ἡ Ἄλβη, ἧς τὸ ὑπερτεῖνον ὄρος παρώνυμον, σαδ. 12. τῇ Λαρεντῇ ἀφεσάσης.
Στίχ: 144. ΛΩΡΕΝΤὨΝ ἘΙΛΑΣ ΤΡὨΩΝ ΤΕ κτ: Καί ὁ Ζεὺς δὲ, ἐν ἀρχῇ τῆ Ι'. τῆς Αἰν: στίχ: 3.
„ . . . . . Ὑψόθεν ἄθρει
„Πάσας Δαρδανιδῶν κλισίας τε, λεώς τε Λατίνων.
Ἀλλ' ὁ μὲν ἀπ' ἠρανῆ ἀτερόεντος, Ἥρα δὲ ἀπὸ τῆς κορυφῆς τῆ ὄρες. Ὑπερτέρα γὰρ καὶ καθολικωτέρα ἡ Ζηνὸς πρόνοια, ἢ τῆς Ἥρας.

Στίχ: 145. . . . ΤΥ̓ΡΝΟΙΟ ᾽ΑΔΕΛΦἨΝ . . . Λύτη ἦν Ἰυτύρνη. Νύμφη δὲ τις ὑπῆρχεν ἰθαγενὴς Ἰταλοῖσι, Δάυνε θυγάτηρ, Τύρνου δὲ ἀδελφὴ, εἰς μισθὸν τῆς παρθενίας ἐκ Ζηνὸς τυχεῖσα τῆς ἐκθεώσεως, καὶ τῆς τῶν ἰαματικῶν ὑδάτων ἐφορίας. Ἰυτύρνη δὲ κέκληται, ἕκτε Jovis (Διός) τῆ διακορεύσαντος, καὶ Τύρνε τῆ ἀδελφῆ· ἢ καὶ ἄλλως, ἀπὸ τῆ Juvando, ὅπερ ἐςὶ τὸ ὠφελεῖν καὶ ἐξιᾶσθαι, διὰ τὸ ἰάσιμα πεφυκέναι τὰ τῆ Νυμικῆ ποταμῆ ῥεῖθρα, ἐφ' ὧν ἦν ἔφορος.
Στίχ: 149. ᾽ΑΓΛΑΪ̓Η ΠΟΤΑΜὨΝ· Οὐ μόνον διὰ τὰς ῥηθείσας ἰάσεις, ἀλλ' ὅτι καὶ ἐπὶ πάσης θυσίας τοῖς Ἰυτερνίοις Ῥωμαῖοι ἐχρῶντο νάμασιν.
Στίχ: 151. . . . . ΔΥ̓ΣΧΑΡΙΝ ᾽ΕΤΥΝἨΝ. Δύχαρν αὐτῇ γε τῇ Ἥρᾳ, ὡς ἐντεῦθεν ὑπὸ τῆ ὁμευνέτε ἀδικεμένη, ἐν οἷς ἄλλοις αὐτὸς ἐχαρίζετο.

Στίχ:

Ἔγχεα μὲν πῆξαν χθονὶ, καί γε σάκη ἀνὰ κλῖναν.
Μητέρες οἰῶ τόφρα πεύσασ' ἰδὲ νήπια τέκνα,
Γήραϊ τ' ἀθενέες, πύργας τ', ὀροφώματά τ' οἴκων
Κάλλαβον· ὑψηλοῖσι πυλῶσι δὲ ἄλλοι ἐπέξαν.
Ἥρη δ' ἐξ ἄκρης, τῷ Ἀλβανὸς ἄνομα νωῦγε
(Τῆμος ἐπειὴ ἔρος ἀνώνυμον ἦν ἀκλεές τε.)
Δερκομένη βυνοῖο, πέδον θηῆτο, ἰδ' ἄμφω
Λωρεντῶν ἔλας, Τρώων τε, καὶ Ἄξυ Λατίνης·
Αὐτίκα δ' ἄρ' Τύρνοιο ἀδελφιὼ ὧδε μετηύδα,
Ἣ Θεὸς ἡμιθέιν· (Τιὼ λίμναις καὶ ποταμοῖσι
Ζεὺς ἐριηχέεσι πρᾶξης' ὕπατος κρειόντων,
Ἀντὶ ῥὰ παρθενίης, γέρας οἷον, τιὼ μὶν ἀφεῖλεν.)
Ἀγλαΐη ποταμῶν, χαρίεσσάμοι ἔξοχα Νύμφη,
Οἶθ' ὅτι δὴ μάνιω σε Λατίνων θηλυτεράων
Ζωὸς ὅσαι μεγάλοιο βεβήκασι δύχαριν ἐυνιὼ,
Πασάων προβέβυλα, Θεαῖς τ' ἐναρίθμιον ἔχον.
Γνῶθι ῥὰ (μὴ μ' ὀνόταζε) τειὼ Ἰυτύρνη ἀνίιω.
Ὡς μὲν ἔιω θέμις, ἠδ' ὅσον ἐξιὼ ἐκ Μοιράων
Ἐυπραγέειν Λάτιον, Τύρνον, σά τε τείχεα σᾶζον·
Νιῶ νέον ἐκ ἴσαις σιιόντ' ἐπιδέρκομαι αἴσας,
Μοιρῶν δ' ἦμαρ, καὶ θένος ἐχθρῶν ἄρτι πελάζει.
Οὐ χάρμιω οἷσω, ἐχ ὅρκι ἐγὼ τάδ' ὁρᾶθαι.
Αἴκεν ὑπὲρ κάσιος τολμᾶν σύ τι ἄρκιον ἔξοις,
Χώρει, ἐκ ἀπέοικε· τάχ' οἰκτροῖς ἔψετ' ἀμείνω.
Τοῖς δ' ἐπὶ δακρυχέσ' Ἰυτύρνη πικρὸν ἀπ' ὄσσοιν,

Τρὶς

❁ ❁ ❁

Στίχ: 154 ΩΣ ΜΕΝ ΕΗΝ ΘΕΜΙΣ . . . . Τὸ ἐπ' ἐμοὶ, ἥπερ ἐξιῶ, ἐκ ἐνέλειπον. Ἐρεῖς δέ πε: πῶς γᾶν ἡ Νύμφη σᾷ πλέον δωήσεται, τῆς καὶ Θεᾶς, καὶ Διὸς κασιγνήτης, καὶ ὁμευνέτιδος; Ἀλλ' ἐ προσῆκε, φασὶ, τιὼ ὑπὲρ πάσας τὰς Θεαίνας κρείσσαν αὐτεργῆσαι, ἅττα τιὼ Νύμφιω ἐνῆγεν ὑπὲρ τᾷ ἀδελφᾷ διαπεράξαθαι. Ἐκεῖνο δὲ, ἐρεῖ τυχὸν ἕτερος, πῶς ἦν εἰκὸς τιὼ Κρονιάδα, τῶν, διὰ τῶν πρὸς Θεὸς ὅρκων βεβαιεμένων, διαπεράξαθαι τιὼ ἀθέτησιν; τὶ δαὶ; καὶ τὸ ὑποθέθαι καὶ ἐποτρῦναι ἐκ ἰῶ παραπλήσιον; οὐδὲν γὰρ ἧττον τᾷ διαπεραξαμένᾳ ὁ βυλεύσας ὑπαίτιος. Ἀλλὰ τᾶτο ἴσως φᾶναι μᾶλλον εἰκὸς, Ὅτι Ἥρα τὸν τᾷ ὁμευνέτᾳ χόλον ἐδεδίει καὶ ὑπεξέλετο, τᾷ τὰ ἔχατα ἐπὶ τοῖς τοιούτοις ἐχ ἅπαξ αὐτῇ ἀπειλήσαντος. (Ὅρα Α. Ἰλ: στχ. 561—569. καὶ Δ. Ἰλ. 30. κξ)

Στίχ: 158. ΟΥ ΧΑΡΜΗΝ ΟΙΣΩ, ... Οὕτω καὶ Πρίαμος Ἰλ: Γ. στχ. 305.

„Ἦτοι ἐγὼν εἶμι προτὶ Ἴλιον ἰὼ ἐμέσσαν
„Ἄψ, ἐπεὶ ἔπως τλήσομ' ἐν ὀφθαλμοῖσιν ὁρᾶθαι
„Μαρναμένου φίλου ὑὸν ἀρηιφίλω Μενελάω.

Στίχ: 159. ΑΙΚΕΝ . . . . ΤΟΛΜΑΙΝ ΣΥΤΙ ΑΡΚΙΟΝ ΕΞΟΙΣ, Οὐχ ὡς ὑπερφέρουσα τῇ δυνάμει, ἀλλ' ὡς τᾷ ὅ, τι δήποτε τολμῆσαι πρόφασιν ἔχουσα δικαίαν τιὼ ἐκ τῆς ἀδελφότητος χέσιν· τᾶτὶ δ' ἀριδήλως σημαίνει τὸ παραυτίκα προσεθὲν, στχ. 160.

„Χώρει, ἐκ ἀπέοικε . . . . . .

Στίχ: 160. . . . . ΤΑΧ' ΟΙΚΤΡΟΙΣ ΕΨΕΤ' ΑΜΕΙΝΩ. Ὅρα καὶ αἴθις οἷον παραφρονοῦσαν τιὼ Ἥραν, (ὡς καὶ ἐν τῷ Ι. τῆς Αἰν: στχ. 665.) ἐφ' οἷς τὰ τῶν Μοιρῶν ἀμεμφθιῶαι πως ἔχειν οἴεται:

Tu, pro germano ſi quid præſentius audes,
Perge, decet: forſan miſeros meliora ſequentur.
Vix ea: cùm lacrymas oculis Juturna profudit,
Terque quaterque manu pectus percuſſit honeſtum.
Non lacrymis hoc tempus, (ait Saturnia Juno)
Accelera, & fratrem, ſi quis modus, eripe morti:
Aut tu bella cie, conceptumque excute fœdus.
Auctor ego audendi. Sic exhortata reliquit
Incertam, & triſti turbatam vulnere mentis.
Interea reges (ingenti mole Latinus
Quadrijugo vehitur curru, cui tempora circum
Aurati bis ſex radii fulgentia cingunt,
Solis avi ſpecimen: bigis it Turnus in albis,
Bina manu lato criſpans haſtilia ferro.
Hinc pater Æneas, Romanæ ſtirpis origo,
Sidereo flagrans clypeo, & cœleſtibus armis,
Et juxta Aſcanius, magnæ ſpes altera Romæ)
Procedunt caſtris; purâque in veſte ſacerdos
Setigeri fœtum ſuis, intonſamque bidentem
Attulit, admovitque pecus flagrantibus aris.
Illi ad ſurgentem converſi lumina Solem,
Dant fruges manibus ſalsas, & tempora ferro
Summa notant pecudum, paterisque altaria libant.
Tum pius Æneas ſtricto ſic enſe precatur:
Eſto nunc Sol teſtis, & hæc mihi terra vocanti,
Quam propter tantos potui perferre labores:

Et

❀ ❀ ❀

Στίχ: 164. ΣΠΕΥΔΕ κτ: Ἰϋτύρνη Ἥρα παρακελέυεται ἀπελθεῖν, καὶ τὰ ὅρκια δηλῆναι. καθάπερ ὁ Ζεὺς Ἀθηνᾷ, Ἰλ: Δ. στίχ. 70.

„Αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ Ἀχαιούς,
„Πειρᾶν δ', ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
„Ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.

Στίχ: 167. ΑΜΦΙ ΦΡΑΖΟΜΕΝΗΝ . . . . Ὑπενδοιάζουσαν, ἐλιννύουσαν. Πῶς δ' εἶπερ ὡρισμένως αὐτῇ τὸ ποιητέον Ἥρα ὑπέθετο, ἐποτρυώσα δὴ καὶ σπεύδειν κελεύσασα; Ἀλλὰ τιὼ τῶν πραγμάτων ἐκβασιν, εἰ κατ' εὐχλιὼ ἔψεται, ἀόριστον εἴασε, καὶ ἐν ἀμφιβόλοις ἀπήρτησε, διςακτικῶς τά τῆς προτροπῆς περάνασα. „ . . . . Τάχ' οἰκτροῖς ἕψετ' ἀμείνω.

Στίχ: 168. ΤΟΦΡΑ ΔΕ ΤΟΙ ΚΡΕΙΟΝΤΕΣ κτ: Ἡ ἀπόδοσις ὑπερβιβάζεται, ἄχρι στίχ. 176. „ΒΑΙΝΟΝ κτ: τὸ δὲ ὑπερβατὸν ἐν παρενθέσει γραπτέον καὶ ἀναγνωστέον. Διασκευάζει δ' ὁ Μάρων ἐνταῦθα τιὼ τελετιὼ τῶν ὁρκίων, πρὸς τύποι τῶν παρ' Ὁμήρῳ τελεσθέντων Ἀχαιοῖς καὶ Τρωσὶν. (Ἰλ: Γ.) ἄριστα προσεφαρμόζων τοῖς ὑποκειμένοις αὐτῷ προσώποις καὶ πράγμασι. Πομπικώτερον δέ πως τὲς συνερχομένης ἑκατέρωθεν βασιλεῖς διακοσμεῖ καὶ καταγλαΐζει· καὶ διὰ τῦτο τάχα Σκαλιγερος, (Βιβλ: Ε. Κεφ: Β) Ταὲ μὲν Ὁμήρε ἐπη, ἐπὶ χθονὸς ἀπεφήνατο συντετάχθαι, οἷαπερ εἰπεῖν ἐξ ἀνθρώπων τὰ δὲ τῦ Μάρωνος ἐν συναυλίᾳ τῇ τῶν Μεσῶν, αὐτῦ χοραγῦντος Ἀπόλλωνος. Homericos in terra, Virgilianos (verſus) inter Muſas à Phoebo factos. Ὃν δεόντως ἄν τις ἔροιτο, εἰ πιθανότητος μᾶλλον ἐστὶν ἐχόμενον καὶ τῦ πρέποντος, τὲς ἐπὶ σωθήναις διὰ Θεῶν ἐπικλήσεως, καὶ δὶ ὅρκων εἰς ταὐτὸ συνιόντας, χρυσείοις περιαστραπτομένης παρειαῖς εἰς μέσον, καὶ δόρυ πάλλοντας;

Στίχ:

Τρὶς τ' ἰδὲ τετταράκις γ' ἐὰ καλὰ ϛήθεα πόψεν.
Ἀλλ' ὅτοι καιρὸς ϑριώων (Κρονιὰς προτιείπατο Ἥρη)
Σπεῦδε, ἀτὰρ κάσιν, αἴχ' οἷον τ' ἐξάρπασον οἴτυ,
Ἠὲ μάχας κίνει, δηλῆναι δ' ὅρκια πείϑε.
Κέλομ' ἐγὼ τολμᾶν· τάδ' ἐπεὶ ὠτρύνατο λεῖπεν
Ἀμφὶ φραζομένιω, αἰνὸν Φρεσὶν ἄλγος ἔχουσαν.
Τόφρα δέ τοι κρείοντες (ὀχήματι μὲν ῥὰ Λατῖνος
Ἦγετο πομπεύων τεϑρίππῳ, ϛέπτο δὲ κρᾶτα,
Δώδεκα ἀκτῖσι χρυσείαις ἠελίοιο,
Σῆμα ἑῦ πάππυ. Τύρνος λευκῇ δ' ἐπὶ δίφρυ
Χειρὶ δύω πάλλων βριαρῇ χαλκήρεε δοῦρε.
Ἔνϑεν δ' Αἰνείας, ῥίζωμα γένυς Ῥωμαίων,
Ἀϛράπτων φλογέῳ σάκει, ἔντεσι τ' ὠρανίοισιν.
Ἀσκάνιὸς ϑ', ἑτέρη μεγάλης ἐλπωρὴ Ῥώμης.)
Βαῖνον ἀνὰ ϛρατὸν. Ἐν καϑαρᾷ δ' ἀρητῆρ χλαίνῃ,
Χαιτηέσσης οἷσεν υἱὸς γόνον, οἶν τε ἄκαρτον·
Πάρϑετο δὲ κτήνη παρὰ βωμοῖς καιομένοισιν.
Οἱ δὲ πρὸς ἠέλιον τετραμμένοι ἀντέλλοντα,
Οὐλοχύτας προβάλοντο, τάμον κεφαλῶν δ' ἀπὸ κόρσας
Πώεσι, καὶ βωμοῖς ἐκ κρητήρων ἐπιλεῖβον.
Ἦορ χειρὶ δ' ἔχων Αἰνείας ἤυχετο ὧδε:
Μάρτυς δή μοι νῶϊ ἔσο Ἥλιός τ' ἰδὲ Γαῖα
Αὐτη, τῆς περ ἔκητι τοσόϛδε ἀγῶνας ὑπέτλιω·
Καὶ σὺ Πάτερ πάντων μεδέων, Κρονιάς τε σὺ Ἥρη,
Νῶϊ κρείσσων, λίτομαι, νῶϊ ϑειοτέρη· Σύτε Ἄρες,
Ὅς ῥὰ τεῷ κάρτει διέπεις πάσας ὑσμίνας·
Πηγὰς τ' αὖ, ποταμὸς τ' ἐπικέκλομαι. Αἰϑέριοί τε
Ὅσσοι, ἰδ' ὅσσοι ἔασσι Θεοὶ γλαυκῷ ἐνὶ πόντῳ·
Αἴκεν ἄρ' Αὐσονίῳ Τύρνῳ κληρῶϑο τὸ νῖκος,
Ἡμέας Ἐυάνδρα ἐπὶ ἕρπειν Ἄξυ δείσει,
Τῆς χώρης δὲ Ἴλος ἀφέξεται· αὐτὰρ ἔπειτα
Οὐκέτι Αἰνεάδαι τό γε δεύτερον ἄυδις ἐν ὅπλοις
Οὐ μὴ ἐξερέϑωσ' ἀντάρται κάρτεα ταῦτα.
Ἦν δ' ἡμῖν νίκιω Ἄρης αὐτοῖς ἐπινεύσῃ,

Ε 2 (Ὡς

❁ ❁ ❁

Στίχ: 177. . . . . ΤΟ'Σ ΓΟ'ΝΟΝ, Ο'ΙΝΤΕ . . . . Ἐν τοῖς παῤ Ὁ. μήρῳ ὀρκίοις ἄρνες ἤχϑησαν σφαγιαϑησόμενοι, ἐνταῦϑα δὲ ὗς τε καὶ ἴϛς ϑύεται· ἦν γὰρ Ῥωμαίων τὸ ἔϑος (φησὶ Σέρβιος) ἐν ὅρκοις ὧν ϑύεϑαι· αἱ γὰρ πρῶται ζωοϑυσίαι (προσίϑησι Κέρδης) ἀπὸ Χοιρίων ἤρξαντο γίνεσϑαι· καὶ τέτε μάρτυς αὐτῷ Ὀυάρρων (ἐν Βιβλ: Β: Κεφ: Δ. τῶν Ἀγροικ.) καὶ δὴ, καὶ ὁ ἱερὸς Κλήμης (Στρωμ. Θ.) Φιλοσόφε παλαιέ τινος ϕῆσιν ἐπάγων, τὸν ὧν ὡς ϑῶν εἶναι εἰπόντος, ὡς εἰς ϑύσιν καὶ σφαγὴν μόνον ἐπιτήδειον.

Στίχ: 179. . . . . ΠΡΟ'Σ ΗΕ'ΛΙΟΝ . . . ΑΝΤΕ'ΛΛΟΝΤΑ, Τὸ κλῖτος σημαίνει, πρὸς ὃ τραπόμενοι ἠρῶντο.

Στίχ: 172—203. Ἦ'ΟΡ ΧΕΙΡΙ' Δ' ΕΧΩΝ ΑΙ'ΝΕΙ'ΑΣ. (Ὅρα Ἰλ: Γ. στίχ. 271—300.)

Στίχ:

Et Pater omnipotens, & tu Saturnia Juno,
Jam melior, jam Diva, precor: tuque inclyte Mavors,
Cuncta tuo qui bella, Pater, ſub numine torques:
Fonteſque, fluvioſque voco, quæque ætheris alti
Relligio, & quæ cæruleo ſunt numina ponto:
Ceſſerit Auſonio ſi fors victoria Turno,
Convenit Euandri victos diſcedere ad urbem:
Cedet Jülus agris: nec poſt arma ulla rebelles
Æneadæ referent, ferrove hæc regna laceſſent.
Sin noſtrum annuerit nobis victoria Martem,
(Ut potius reor, & potius Dii numine firment)
Non ego nec Teucris Italos parére jubebo,
Nec mihi regna peto. Paribus ſe legibus ambæ
Invictæ gentes æterna in fœdera mittant.
Sacra Deoſque dabo: ſocer arma Latinus habeto,
Imperium ſolemne ſocer; mihi mœnia Teucri
Conſtituent, urbique dabit Lavinia nomen.
Sic prior Æneas, ſequitur ſic deinde Latinus,
Suſpiciens cœlum, tenditque ad ſidera dextram:
Hæc eadem, Ænea, terram, mare, ſidera juro,
Latonæque genus duplex, Janumque bifrontem,
Vimque Deûm infernam,& diri ſacraria Ditis.
Audiat hæc genitor, qui fœdera fulmine ſancit.
Tango aras, medioſque ignes, & numina teſtor:
Nulla dies pacem hanc Italis, nec fœdera rumpet.
Quo res cunque cadent: nec me vis ulla volentem
Avertet: non ſi tellurem effundat in undas
Diluvio miſcens, cœlumve in Tartara ſolvat.
Ut ſceptrum hoc (dextrâ ſceptrum nam forte gerebat)
Numquam fronde levi fundet virgulta, necque umbras,
Cùm ſemel in ſylvis imo de ſtirpe reciſum
Matre caret, poſuitque comas & brachia ferro;
Olim arbos, nunc artificis manus ære decoro

Inclu-

❀ ❀ ❀

Στίχ: 204. ΤὨΣ ΑἸΝΕΊΑΣ ΠΡΩ̃ΤΟΣ ἘΦΕΞΗ̃Σ Δ᾽ ᾽ΩΔΕ ΛΑΤΙ̃ΝΟΣ. Οὕτω μὲν ὁ Μάρων. Ὅμηρος δ᾽ ἐυχόμενον πρῶτον Ἀγαμέμνονα εἰσάγει, ἔπειτα Πρίαμον, ἐπὶ τούτοις δὲ καὶ τὰς παρόντας πάντας ἑκατέρωθεν ἐπιφέρει τὰ εἰρημένα προσεπικυρῶντας, καὶ ἐπαρωμένης τὰ κάκιστα τοῖς ἀθετῆσαι τὰ ὁρκωμοτηθέντα ἐπιτολμήσασιν· Ἰλ: Αὐτ: στίχ. 296.

„. . . . . Εὔχοντο Θεοῖς αἰειγενέτῃσιν.
„Ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε.
„Ζεῦ κύδιστε κτ: . . . . . .

Στίχ: 207. . . . . ΛΗΤΟ̃ΤΣ ΔΙΠΛΟ̃ΤΝ ΓΈΝΟΣ . . . . Τὸν Ἀπόλλωνα νοεῖ, καὶ τὴν Ἄρτεμιν, Ἥλιόν τε καὶ Σελήνην.

Στίχ: Αὐτ: . . . . ἸΑΝῸΝ ΔΙΜΈΤΩΠΟΝ. (Ὅρα Ζ. Αἰν: στίχ. 192.)

Στίχ: 209. . . . . ΣΚΗΠΤΩ̃Ι ᾽ΟΡΙΑ ΚΥΡΟΙ̃. Κεραυνοβολῶν καὶ ἀποκλίνε τὰς ἀθετητὰς καὶ ἐπιόρκους.

Στίχ:

(Ὡς μᾶλλον δοκέω, μᾶλλον τε Θεοὶ τό γε δοῖεν!)
Οὐ Τεύκροις ἄκεν ὑποθήσω Ἰταλιώτας,
Οὐδ' ἀρ' ἐμοὶ κάρτος προμνώομαι· ἀλλ' ἐπὶ ἴσοις
Θεσμοῖς, ἄμφω ταῦτ' ἴφθιμα γένη ἀλλήλοις
Αἰὲν ἑηξομένοις ξωθήκας ἄμμιγ' ἐνάθων.
Ἱρὰ Θεάς τε ἐγὼ τάξω, ἀτὰρ ὅπλα Λατῖνος·
Κοιρανίῳ δ' ἕξει ἑκυρὸς. Τεῦκροι δ' ἄρ' ἕμοιγε
Ἄσυ δομήσασ' ᾧ Λαβίνῃ οὔνομα δώσει.
Τὼς Αἰνείας πρῶτος. Ἐφεξῆς δ' ὧδε Λατῖνος
Οὐρανὸν εἰσορόων, τείνας δέ τε χεῖρας ἀν' ἄστρα:
Ταὐτά σοι, Αἰνεία, χθόνα, πόντον, τέρε' ὀμόσσαι,
Καὶ Λητὰς διπλᾶν γένος, ἠδ' Ἰανὸν διμέτωπον.
Νερτερίων τε βίαν, αἰνά τ' ἄδυτ' Αἴδονῆος.
Κλύτω τῶν δὲ Πατὴρ, ὃς σκηπτῷ ὅρκια κυροῖ,
Βωμά δ' ἁπτομένῳ Θεοὶ ὧδ' ἐπιμάρτυροι ἔσων.
Οὔ τι ποτ' ἦμαρ ἐσεῖται, ὅ ὕστερον Ἰταλιώταις
Ξύμβασιν εἰρίνης τάυτης, ἀδ' ὅρκια ῥήξει,
Ὅς κε τὰ δ' ἔργα πέσῃ· οὔτις, δὲ γ' ἑκόντα με κίνως
Παρτρέψει· οὔκαν κ' ἄικε χθόν' ἐς ὕδατα χεύσῃ
Πλημμυρὶς ἀμμίξασα, πόλον δ' ἐπὶ τάρταρα λύσῃ.
Μὰ σκῆπτρον τόδε (ἐν γὰρ δεξιτερῇ τυχὸν εἶχε)
Τὸ σκιόεντάπερ, ἄποτ' ἐφεξῆς φύλα καὶ ὄζους
Φύσει, ἐπειδὴ πρῶτα τομὼ ἐν ὄρεσσι λέλοιπεν·
Οὐδ' ἀναθηλήσει, μητρὸς γὰρ ἓῆς ἄπο χάθη,
Φύλα δὲ καὶ φλοιὸν χαλκὸς περὶ εἵλετο λέψας!
Πρόσθε φυτὸν μὲν εἶω, τέκτων δ' ὀρίχαλκον ἐνάρσας
Ἐν παλάμῃς φερέμεν τὸ ῥὰ πατράσι δῶκε Λατίνοις.

Τοῖς

❋ ❋ ❋

Στίχ: 214. . . . . ΟΥΚΟΥΝ Κ' ΑΪΚΕ ΧΘΟ'Ν' ΕΣ ΥΔΑΤΑ ΧΕΎΣΗι. Καθ' ὑπαλλαγὴν (φησὶ Σέρβιος.) οἷον εἰ ἔλεγεν ἐθέλοι, καὶ εἰ ἐπὶ χθόνα τὰ ὕδατα χεύσῃ· οὐδ' εἰ καταποντισμὸς γένοιτο. Ἔχοι δ' ἄντις καὶ ἄνευ τῆς ὑπαλλαγῆς τὸ ῥηθὲν νοῆσαι, κατ' ἀρχαϊκήν τινα Φιλοσοφίαν, καθ' ἣν ἐκ γῆς λεπτυνομένης, ὕδωρ ὑπετίθετο γίνεσθαι, ὡς καὶ ἐξ ὕδατος ἀήρ, καὶ πῦρ ἐξ ἀέρος, κ.ξ: καθάπερ ἓν καὶ διὰ πυκνώσεως τὸ ἀνάπαλιν. Χύσις δέ τις ἐστὶν ἡ τὲ πυκνοτέρα εἰς τὸ ἀραιότερον μεταποίησις.

Στίχ: 215. . . . . ΠΟ'ΛΟΝ Δ' ΕΠΙ ΤΑΡΤΑΡΑ ΛΥ'ΣΗι. Οὐδ' ἦν τὰ ἄνω κάτω ποιήσῃ. Δεικνὺς τὸ ἀμετάθετον τῆς αὐτὲ γνώμης, ταῦτα Λατῖνος ἐπάγει τὰ γενέσθαι φύσει ἀδύνατα. Τοιοῦτον δὲ τὸ παρ' Ὁμήρ: Ἰλ: Υ. στίχ. 73. ὧδε μεταληφθὲν: (Οὐδ' εἴπερ)

„Γαῖαν ἀναῤῥήξειε Ποσειδάων ἐνοσίχθων,
„Οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη,
„Σμερδαλὲ' ἐυρώεντα, τά τε στυγέουσι Θεοίπερ.

Στίχ: 216—222. ΜΑ' ΣΚΗ'ΠΤΡΟΝ ΤΟ'ΔΕ κτ: Παρ' Ὁμήρῳ οὕτως, Ἰλ: Α. στίχ. 234—239.

„Ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔποτε φύλα καὶ ὄζους
„Φύσει, ἐπειδὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
„Οὐδ' ἀναθηλήσει, περὶ γὰρ ῥὰ ἑ χαλκὸς ἔλεψε
„Φύλλα τε καὶ φλοιὸν· νῦν αὖτέ μιν υἷες Ἀχαιῶν
„Ἐν παλάμῃς φορέουσι δικασπόλοι, οἵ τε θέμιστας
„Πρὸς Διὸς εἰρύαται· ὅδε τοι μέγας ἔσσεται ὅρκος.

Incluſit, patribuſque dedit geſtare Latinis.
Talibus inter ſe firmabant fœdera dictis,
Conſpectu in medio procerum: tum rite ſacratas
In flammam jugulant pecudes, & viſcera vivis
Eripiunt, cumulantque oneratis lancibus aras.
At vero Rutulis impar ea pugna videri
Jam dudum & vario miſceri pectora motu;
Tum magis, ut propius cernunt non viribus æquis,
Adjuvat inceſſu tacito progreſſus, & aram
Suppliciter venerans demiſſo lumine Turnus,
Pubentesque genæ, & juvenili in corpore pallor.
Quem ſimul ac Juturna ſoror crebreſcere vidit
Sermonem, & vulgi variare labantia corda,
In medias acies, formam aſſimilata Camerti,
(Cui gens à proavis ingens, clarumque paternæ
Nomen erat virtutis, & ipſe acerrimus armis)
In medias dat ſeſe acies, haud neſcia rerum,
Rumoreſque ſerit varios, ac talia fatur:
Non pudet, ô Rutuli, cunctis pro talibus unam
Objectare animam? numero ne, an viribus æqui
Non ſumus? en omnes & Troës & Arcades hîc ſunt,
Fataliſque manus, infenſa Etruria Turno:
Vix hoſtem, alterni ſi congrediamur, habemus.
Ille quidem ad ſuperos, quorum ſe devovet aris,
Succedet famâ, vivuſque per ora feretur:
Nos, patriâ amiſſâ dominis parére ſuperbis

Coge-

❀ ❀ ❀

Πῶς οὖν οἱ Νεώτεροι Ὁμηρομάστιγες Σορλῖνος, Περώλτης, Μώττης, καὶ οἱ λοιποὶ, τὴν χρῆσιν τῆ τοιῇδε κακίζουσιν ὅρκῳ, ὃν ἐπὶ λέξεως ἀντιγράψας χρήσαιθ᾽ ὁ καλὸς Οὐεργίλιος ἁβαμῶς ἀπηξίωσεν; Ἀλλ᾽ ἐκ ἐδεῖ (φησὶν De la Rue, ὁ καὶ ἀμφοῖν τῶν ἐν Ποιηταῖς κορυφαιοτάτων, ὡς ὤετο, κορυφαιότερος. Οὐ γὰρ (ὃ περὶ τῶν τοιούτων Κριτικῶν ὁ Des Fontaines εἰπεῖν ἐνήχθη) ἀπαιδευσίας αὐτὸς αἰτιασαίμην τὸς ἄνδρας, μὴ εἰδότας ὡς τύπος ἦν οὗτος ὁρκομωσίας τοῖς Βασιλεῦσιν, ἐπὶ τῷ ἰδίῳ σκήπτρῳ τοιῷδε τρόπῳ ὀμνύειν, καὶ ὑπὸ τοιοῖσδε τοῖς ῥήμασι. Nos modernes Apedeutes, ne ſçavent pas que c'etoit alors une formule de ferment pour les Rois· οὗ μάρτυρα φέρεσι καὶ Ἀριστοτέλη Πολιτικ. Βιβλ: Γ. Κεφ: Δ. λέγοντα, ὅτι τοῖς Βασιλεῦσι τὰς δίκας κρίνεσι, καὶ ὀμνύεσιν ὁ ὅρκος ἰῷ ἴδ σκήπτρῳ ἡ ἐπανάτασις. Μὴ πόθε δὲ, τῷδε τῷ ἀρχαιοτάτῳ ἔθει ϛοιχῶν καὶ ὁ Βασιλευς τὴν ὑπὸ δέος λειποθυμήσασαν Ἐθήρ ἀνελάβετο; (Κεφ: ΙΓ. Ἐδαφ: ΙΑ.) Καὶ ἄρας τὴν χρυσῆν ῥάβδον, ἐπέθηκεν ἐπὶ τὸν τράχηλον αὐτῆς. Σημείωσαι δὲ ὅτι καὶ ἄλλως οἱ Κριτικοὶ περὶ τὸ χωρίον τόδε διαπεφωνήκασι. Σκαλίγερος μὲν γὰρ, ὑπερφέρειν Ὁμήρε κἀνταῦθα τὸν Μάρωνα διατείνεται, ut (ὡς ὁ Κέρδης φησὶ.) Victoriam det Virgilio. (Βιβλ: Ε: Κεφ: Γ.) Ὁ δὲ Πόπιος τἐναντίον ἀπεφήνατο: Vim hoc in loco et ingenium Homeri ipſum vix aſſecutum Virgilium. (παρὰ Σαμ. Κλαρκ. ἐν ταῖς εἰς τὰ Ὁμήρε Σημειώσ. Ἰλ: Α. ϛίχ. 234.)

Στίχ: 228. . . . . ΠΑΝΤΟΙΩΣ ΘΡΑΤΤΕΤΟ Δ᾽ ΕΚΤΟΡ. Καὶ Αἴαντος δὲ ἐπὶ τῆς μονομαχίας χωρῆντος τῆς μετὰ Ἕκτορος, Ἰλ: Η. ϛίχ. 215.

„Τὸν δὲ καὶ Ἀργεῖοι μὲγ᾽ ἐγήθεον εἰσορόωντες,
„Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαϛον.
„Ἕκτορί τ᾽ αὐτῷ θυμὸς ἐνὶ ϛήθεσσι πάτασσεν. Στίχ:

Τοῖς δ' ἄρα σωθεσίας ἐπαμοιβήδιν προσεκύρων
Ἡγεμόνων μέσον· εἶτα δὲ ἱρευθέντα δεόντως
Θύματα παρὰ φλόγεσι σφάζον· καὶ γ' ἀσσαίροντα
Σπλάγχνα ἐρυσσάμενοι, πίνακας βωμοῖς ἐπινῆσαν.
Ἀλλ' ἔμπης Ῥοτόλοις δοκέειν ἐκ ἔμμεν' ὁμοίη
Ἤρξατο ἥδε μάχη, παντοίως θράττετο δ' ἦτορ·
Τῆμος δ' ἀσσοτέρω σωρεῦντας ἀνίσας ἀλκὰς,
Ὡς κρίνειν πεῖθεν, σιγῇ βωμόνδε πελάσσας,
Ἠδ' ἐπιλισσόμενος σκυθροῖσιν ἐν ὄμμασι Τύρνος,
Στύξ τε παρειάων, νεαροῖο τε σώματος ὤχρος.
Αἶψ' Ἰϋτύρνη δ' ἦ κάσις, ὡς ἔπος εἶδεν ἀέξον,
Κῆρ δέ τε καππίπτον Φρονεόντων ἄνδιχα ὄχλων,
Ἐν μέσσῃς ἕλῃσι Καμέρτῃ εἶδος ὁμοίη,
(Τῷ γένος ἐκ πάππων μέγα, ἰωρέης τε πατρῴης
Οὔνομα κεδνὸν ἔλω, ὀξεῖ καὐτῷ δ' ἐνὶ ὅπλοις.)
Εἵλκυς ἐν μέσσαις πρὸβη, εὖ πάντ' εἰδυῖα,
Παντοίας κεδάνυ φήμας, ἠδ' ἔννεπεν ὧδε·
Οὐκ αἰδὼς, Ῥοτόλοι, ψυχλὺ ἑνὸς ἀντί γε πάντων
Παρβαλέμεν τοιῶνδε; ἀριθμῷ, ἠέτ' ἄρ' ἀλκῇ
Ἥττονες ἡμεῖς; ἠνὶ ῥὰ Τρῶες τ', Ἀρκάδιοί τε,
Καὶ χεὶρ Ἐτρύσκων ἡ Τύρνῳ δυσμενέουσα·
Οἳδ' ἡμῖν μόλις ἶσοι ἐναλλάξ μαρναμένοισι.
Τύρνος ὑπερτερίοις, τῶν περ βωμοῖς ὁσιῶται,
Ἕξαγ ἑῶν ἐνάριθμος, ἰὰν ξομάτων διὰ πάντων·

❁ ❁ ❁

Στίχ 230. ΩΣ ΚΡΙΝΕΙΝ ΠΕΙΘΕΝ . . . . Ὑφορῶντο γὰρ Τύρνῳ τὴν μονομαχίαν ἐκ ἐπ' ἀγαθῷ ἐσομένην, ἔκ τε τῆς σιγῆς, καὶ τῆς κατηφείας τῶ προσώπε, καὶ τῆς ὠχρότητος ἐξεικάζοντες.

Στίχ: 469. . . . ΔΙΑ' ΆΧΑΥ΄ΟΣ . . . Διὰ τῦ ἐκ τῆς τῦ στρατῦ κινήσεως ἐγειρομένυ κονισάλυ.

Στίχ: 470—475. ὭΣ ΌΤΕ ΔΗ' ΛΑΊΛΑΨ κτ: Εὑρήσεις τλῷ παραβολλῷ ταύτλω καὶ Παρ' Ὁμ: Ἰλ: Δ. στίχ. 275.

„Ὡς δ' ὅτ' ἀπὸ σκοπιῆς εἶδεν νέφος αἰπόλος ἀνὴρ
„Ἐρχόμενον κτ:

Στίχ: 475. . . . . ΆΓΟ΄Σ ΤΡΟΙΤΗΊΟΣ . . . . Ὁ Αἰνείας, ὡς ἀπὸ Τροιτέυ, τῶν ἐπὶ Τροίας ἀκρωτηρίων ἑνὸς ἐπώνυμος· περὶ ἧ ὅρα Γ. Αἰν: στίχ. 114.

Στίχ: 476. . . . . ΑΙ΄ ΔΕ΄ ΚΑΤΑ΄ ΣΦΗ΄ΝΑΣ . . . Αἱ εἶλαι σφηνοειδῶς ἐπυκνώθησαν. Καλεῖται δὲ σφηνοειδεῖς ἐμβολαὶ κατὰ τὲς στρατηγικὲς τὰ ἀγήματα, τὰ ἀπὸ ἐυρυτέρας πλευρᾶς εἰς στενωτέραν προμηκυνόμενα. Ἔμβολον γὰρ παράταξεως ὄνομα, τὸ ἥμισυ, φασὶ, τῦ Ῥόμβυ. Διὸ καὶ ῥομβοειδὴς εἴρηται, ἢ σφηνοειδὴς αὕτη παράταξις· λέγεται δὲ καὶ ἐμβολικὴ προβολὴ, καὶ γόμφος.

Στίχ:

Λεῦσσον δ' Αὐσόνιοι· παγερὸς δὲ διέδραμεν ὀσᾶ
Ἐμμύχια κλόνος. Ἡδ' Ἰϋτύρνη πρόσθε Λατίνων,
Ἦχον ἀκοντίσθη, τρομέουσα δ' ἐχάσσατο φύζῃ.
Σπεύσας δ' Αἰνείας διὰ ἀχλύος ἐς στρατὸν ἔπτη.
Ὡς ὅτε δὴ λαίλαψ, χθονὶ ὑψόθεν ἐγκαταράξων,
Αἴσσει πόντα διὰ μέσσα· τῆλε δ' ἰδῶσιν,
Οἰκτροῖς γειομόροις κῆρ ῥίγησ', ὅνεκ' ὀλέθρου
Δένδρεσι καὶ σπορίμοις πάντῃ δὴ πάντες' ἐποίσει·
Πρόσθε δ' ἐφιπτάμενοι βρομέουσ' ἐπὶ θῖνας ἀῆται·
Τὼς ἄρ' ἐπ' ἀντιάοντας, ἀγὸς Ῥοιτήϊος ἅλας.
Ἔξαγεν, αἱ δὲ κατὰ σφῆνας πυκινῶς ἐλέλιχθεν.
Ἄορι ἓν Ὄσιριν Θυμβραῖος ἐπάλμενος ἔτα,
Ἀρχέτιον Μνεσθεὺς, Ἐπύλωνα δὲ κέρσεν Ἀχάτης,
Καὶ γ' Οὔφεντα Γύας· πέσε καὶ μάντις δὲ Τολούμνος,
Ὃς κατὰ ἀντιπάλων πρῶτος γε βέλος προέηκε.
Αἰνὴ δ' ὠρανὸν ἔστε, ἰωγὴ τόφρα ἐπῆρτο.
Οἱ δ' ἐπαμοιβήδιν Ῥοτόλοι φύζῃ τρεφθέντες,
Ἔμπλεάπερ κόνεως διὰ ἀγρῶν νῶτα παρεῖχον.
Αὐτὸς δ' ἀντιβίης ἔτοι κατὰ ᾧθετο πέφνειν,
Οὐδ' ὁμόσ' ἐρχομένους, οὐδ' ἄλλως φυζοβολοῦντας,
Ἤθελ' ἐλαυνέμεν. Ὅιον ἐν ἀχλύϊ δίζετο Τύρνον
Πυκνῇ ἀνσκοπέων· οἷον πρὸς ἀγῶνα μὶν ἦτει.
Τῷ ῥὰ δονηθεῖσα φρεσὶν ἀντιάνειρ Ἰϋτύρνη,
Ἡνίοχον Τύρνου λώρων μέσον ὦσε Μετίσκον,
Τῆλε δ' ἀπ' ἐκ ῥυμοῖο ἀφῆκε πεσόντα χαμᾶζε,
Ἡδ' ἀναδεξαμένη στρέφεν ἠνία κυματόεντα,
Ὅπλα τε εἰκέλη, ἠδ' αὐδιώ τε, δέμας τε, Μετίσκῳ.
Ὡς δ' ὅτε κυανέη ἀφνειῶ δώματα ἀνδρὸς
Ἱπταμένη περίεισ' αἰπεινὰ μέλαθρα χελιδών,

❀ ❀ ❀

Στίχ: 480. Ὃς . . . . ΠΡΩΤΟΣ ΓΕ ΒΈΛΟΣ . . . . . Ὅρα ἀνωτ: στίχ. 270. καὶ 278.

Στίχ: 486. . . . . ΟΙΟΝ . . . . ΔΙΖΕΤΟ ΤΎΡΝΟΝ. Οὕτω καὶ Μενέλαος Πάριν. Ἰλ. στίχ. 449.

„Ἀτρεΐδης δ' ἂν ὅμιλον ἐφοίτα, θηρὶ ἐοικώς,
„Εἴπερ ἐσαθρήσειεν Ἀλέξανδρον θεοειδέα.

Καὶ Ἰλ: Π. στίχ. 730.

„Ἕκτωρ δ' ἄλλους μὲν Δαναοὺς ἐᾶ, ἀὐδ' ἐνάριζεν·
„Αὐτὰρ ὁ Πατρόκλῳ ἔπεχε κρατερώνυχας ἵππους.

Στίχ: 489. ΗΝΙΌΧΟΝ ΤΎΡΝΟΥ . . . . ΜΕΤΊΣΚΟΝ. Ὡς ἡ Ἀθηνᾶ παρ' Ὁμήρῳ Ἰλ: Ε. στίχ. 835.

„ —— Σθένελον μὲν ἀφ' ἵππων ὦσε χαμᾶζε
„Χειρὶ πάλιν ἐρύσασ' . . . . . .
„Ἡ δ' ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον.

Στίχ: 491. . . . . ΗΝΙΆ ΚΤΜΑΤΟΈΝΤΑ, Τὰ μὴ διὰ σκληρότητα ἀγναμπτα, τῇ δὲ συσάσει χαῦνα, καὶ ταῖς διακάμψεσι δοκέντα οἷον διακυμαίνεσθαι.

Στίχ:

Et nunc porticibus vacuis, nunc humida circum
Stagna ſonat: ſimilis medios Juturna per hoſtes
Fertur equis, rapidoque volans obit omnia curru:
Jamque hîc germanum, jamque hîc oſtentat ovantem:
Nec conferre manum patitur: volat avia longe.
Haud minus Æneas tortos legit obvius orbes,
Veſtigatque virum, & disjecta per agmina, magnâ
Voce vocat. Quoties oculos conjecit in hoſtem,
Alipedumque fugam curſu tentavit equorum,
Averſos toties currus Juturna retorſit.
Heu, quid agat? vario nequicquam fluctuat æſtu:
Diverſæque vocant animum in contraria curæ.
Huic Meſſapus, uti lævâ duo forte gerebat
Lenta, levis curſu, præfixa haſtilia ferro,
Horum unum certo contorquens dirigit ictu.
Subſtitit Æneas, & ſe collegit in arma,
Poplite ſubſidens: apicem tamen incita ſummum
Haſta tulit, ſummaſque excuſſit vertice criſtas.
Tum vero aſſurgunt iræ, inſidiiſque ſubactus
Diverſos ubi ſenſit equos, currumque referri,
Multa Jovem, & læſi teſtatus fœderis aras,
Jam tandem invadit medios, & Marte ſecundo
Terribilis, ſævam nullo diſcrimine cædem
Suſcitat, irarumque omnes effundit habenas.
Quis mihi nunc tot acerba Deus, quis carmine cædes
Diverſas, obitumque ducum, quos æquore toto
Inque vjcem nunc Turnus agit, nunc Troïus heros,
Expediat? tanton' placuit concurrere motu,
Juppiter, æternâ gentes in pace futuras?
Æneas Rutulum Sucronem (ea prima ruentes
Pugna *loco ſtatuit* Teucros) haud multa moratus,

Exci-

❀ ❀ ❀

Στίχ: 495. . . . . ΚΑΛΙΑΪΣ . . . . ᾽ΑΔΟΛΕΣΧΟΣ. Καθ' ὑπαλλαγὴν εἴρηται. Οὐ γὰρ ἡ καλιὰ δήπου, ἡ δὲ χελιδὼν ἐστὶν ἡ κωτίλλη, καὶ λάλος, καὶ ψίθυρος, καὶ ἀδόλεσχος.

Στίχ: 500. ΣΥΜΒΑΛΕ᾽ΜΕΝ Δ᾽ ΟΥ᾽ ΤΛΑΪΣ᾽ . . . Οὐ φέρουσα Τύρνον ὁμόσε τῷ Αἰνείᾳ εἰς χεῖρας ἐλθεῖν ἐάσαι. . .

Στίχ: 503. ᾽ΑΝΕ᾽ΡΟΣ ῞ΙΧΝΙΑ ΔΙΪΖΕ . . . . Οἱονεὶ κωμητῶν, καὶ ὀπίσω βαίνων τῆς θήρας ἀεὶ φευγέσης.

Στίχ: 504. ῞ΙΠΠΟΙΣ ᾽ΩΚΥΠΟ᾽ΔΕΣΣΙ ΘΕ᾽ΩΝ ᾽ΕΦΑ᾽ΜΙΛΛΟΣ . . . .

Στίχ: 506. . . . . ΚΥΜΑΙ᾽ΝΕΤΟ . . . . Ὡς ἀμηχανῶν ὅ, τι πράξειε, καὶ μάτην σφαδάζων.

Στίχ: 509. . . . . ΔΟ᾽ΥΡΕ ΔΥ᾽Ω ΚΕΚΟΡΥΘΜΕ᾽ΝΑ ΧΑΛΚΩΪ. ᾽Ιλ: Γ. στίχ. 18.

„ — ᾽Αυτὰρ ὁ δοῦρε δύω κεκορυθμένα χαλκῷ
„Πάλλων . . . . . .

Στίχ: 513. . . . ᾽ΕΚ ΚΟ᾽ΡΥΘΟΣ ΦΑ᾽ΛΟΝ ῞ΕΓΧΟΣ ΧΑ᾽ΛΚΕΟΝ, Τὸ χάλκεον ἐπὶ τῷ ἔγχει θετέον, οὐκ ἐπὶ τῷ φάλῳ· τὰ γὰρ ἡφαιστότευκτα ὅπλα οὕτω ῥᾴδια ἦν σωτηρίβεσθαι· ὁ δὲ φάλος τὸ ἐπὶ τῷ λεγομένῳ κόνῳ τῆς περι-

Παῦρα δέ τοι ξωάγυσα καλιαῖς σῖτ' ἀβολέχοις,
Νιῶ μὲν ὑπ' αἰθύσσησι κεναῖς, νιῶ δ' αὖ περὶ λίμνας
Ὑγρὰς ἀμφιάχει· τοίη ϛρατιῶν ἐνὶ μέσσῳ
Ῥίμφ' ἐπιδίφριος ὣς Ἰϋτύρνη ἵπτατο πάντῃ.
Ὃν δεικνῦσα κάσιν γ' ἐυάξοντ' ἔνθα καὶ ἔνθα,
Συμβαλέμεν δ' ἀ τλᾶσ' ἀνὰ δύσβατα τῆλε ποτᾶτο.
Ἄντα δὲ Αἰνείας, κύκλως καμπτὸς ἀνελίσσων,
Ἀνέρος ἴχνια δίζε, κεδαννυμέναις δ' ἐνὶ ἅλως
Μακρὸν ἀΰτει· ἀλλὰ γὰρ ὁσσάκι δήϊον ἀθρῶν
Ἵπποις ὠκυπόδεσσι θέων ἐφάμιλλος θωῦε,
Τοσσάκις ἀνϛρέψασ' Ἰϋτύρνη ἅρμ' ἀνακάμπτεν.
Ὤμοι! τίπτ' ἔρξαι; κυμαίνετο ἀχαλόων μάψ,
Μέρμερα δὲ φρένας ἐξ ἄλλων ἄλλ' ἀντιμεθῆλκε.
Τετάκι δ' ἄρ Μέσαπος γυμνήτης, ᾗ τύχε, θείων,
Χερσί τε πάλλων δῦρε δύω κεκορυθμένα χαλκῷ,
Θάτερον εὐθυβόλως τῷδ' ἀμπεπαλὼν ἐπαφῆκε·
Στῆ δ' Αἰνείας, αὐτὸν ἕ δ' αἶψα ϛῆλε σὺν ὅπλοις,
Γυὺξ ἐπερείσας· τοῖο δὲ δὴ κορυφῆς κατὰ ἄκρης
Πλάγξαν, ἐκ κόρυθος φάλον ἔγχος χάλκεον ἦρε.
Τόφρ' οἱ δ' ὀργαὶ ἔγερθεν, ἐπεὶ ῥὰ νόησεν ἐνέδρας,
Τῆλε τ' ἐλαυνομένους ἵππους σὺν ὄχεσφιν ἐσεῖδε·
Πολλὰ δὲ κεκλόμενος Ζιῒ αὐτὸν μάρτυρον ἔμμεν
Καὶ βωμὸς δ' ἱερὸς, δηλήσεος εἵνεκα ὅρκων,
Ἐς μέσσους ἐπόρουσε τέως, ἀτὰρ Ἄρεϊ οὔρῳ,
Αἰνὸς τ' ἔκπαγλός τε, φόνον τινα ἄκριτον ἔρδεν,
Ἥ δ' ἄλλῃ ὀργαῖσι χαλινὸς πάντας ἀνῆκε.

Τὶς

❁ ❁ ❁

περικεφαλαίας ὑπῆρχε κόσμημα, τὸ ἐκ πτερῶν, ἢ χαίτης αἰρόμενον ἵππε, εἰ τύχοι. καὶ τῶν τοιούτων. Ἐπιτυχέστερος ἦν, ἢ ἐνταῦθα Μέσαπος Αἰνείᾳ, ὁ παρ' Ὁμήρῳ Διομήδης ἐγένετο Ἕκτορος. Ἰλ: Δ. στιχ. 349. οὗτος γὰρ:

„Ἦ ῥα καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
„Καὶ βάλεν, ἀδ' ἀφάμαρτε τιτυσκόμενος κεφαλῆφιν
„Ἀκρίῳ κακκόρυθα· πλάγχθη δ' ἀπὸ χαλκὸς,
„Οὐδ' ἵκετο χρόα καλὸν, ἐρύκακε γὰρ τευφάλεια
„Τρίπτυχος, αὐλῶπις, τὴν οἱ πόρε Φοῖβος Ἀπόλλων.

Διὸ καὶ ὁμὲν ὑποχωρήσας μακρὰν, καὶ ἐμβροντηθεὶς τῇ πληγῇ, κατηδάφισαι σκοτοδινιάσας·

„Ἕκτωρ δ' ὦκ' ἀπέλεθρον ἀνέδραμε, μίκτο δ' ὁμίλῳ·
„Στῆ δέ γυὺξ ἐριπὼν, καὶ ἐρείσατο χειρὶ παχείῃ
„Γαίης· ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψεν·

Αἰνείας δὲ τας ἐπὶ χώρας ὡς ἔχεν, εἰς ὀργὴν μείζονα ἀνεκαύθη· (στιχ. 514)

„Τόφρα οἱ δ' ὀργαὶ ἔγερθεν. ἐπεὶ ῥὰ νόησεν ἐνέδρας.

Στίχ: 519. ΑΙ'ΝΟ'Σ Τ' ΕΚΠΑΓΛΟ'Σ ΤΕ ΦΟ'ΝΟ'Ν ΤΙΝΑ ΑΚΡΙΤΟΝ ΕΡΔΕΝ. Τὶς; ὅς περὶ μικρῦ στιχ. 484.

„Αὐτὸς δ' ἀντιβίης ἔτοι κατὰ ὤθετο πέφνεν. κτ:

Ὑφ' ἧ γὰρ ἐπήθηται δόλῳ, εἰς ὀργὴν ἀκάθεκτον ἐξερεθισθεὶς ἀπενήνεκται.

Excipit in latus, &, quà fata celerrima, crudum
Transadigit coſtas & crates pectoris enſem.
Turnus equo dejectum Amycum, fratremque Diorem,
Congreſſus pedes, hunc venientem cuſpide longâ,
Hunc mucrone ferit, curruque abſciſſa duorum
Suſpendit capita, & rorantia ſanguine portat.
Ille Talon, Tanaïmque neci, fortemque Cethegum,
Tres uno congreſſu, & mœſtum mittit Onyten,
Nomen Echionium, matriſque genus Peridiæ:
Hic fratres Lyciâ miſſos & Apollinis agris,
Et juvenem exoſum nequicquam bella Menœten
Arcada; piſcoſæ cui circum flumina Lernæ
Ars fuerat, pauperque domus: nec nota potentum
Munera, conductâque pater tellure ſerebat.
Ac velut immiſſi diverſis partibus ignes
Arentem in ſylvam, & virgulta ſonantia lauro;
Aut ubi decurſu rapido de montibus altis
Dant ſonitum ſpumoſi amnes, & in æquora currunt,
Quiſque ſuum populatus iter: non ſegnius ambo
Æneas Turnuſque ruunt per prælia: nunc, nunc
Fluctuat ira intus: rumpuntur neſcia vinci
Pectora: nunc totis in vulnera viribus itur.
Murrhanum hic, atavos & avorum antiqua ſonantem
Nomina, per regeſque actum genus omne Latinos,
Præcipitem ſcopulo, atque ingentis turbine ſaxi
Excutit, effunditque ſolo. Hunc lora & juga ſubter
Provolvére rotæ: crebro ſuper ungula pulſu
Incita, nec domini memorum proculcat equorum.

Ille

❀ ❀ ❀

Στίχ: 521. ΤΙΣ ΡΑ' ΜΟΙ ΕΞΕΙΠΟΙ ΘΕΩΝ, κτ: Κατ' ἐκεῖνο τὸ Ἰλ: Α. στίχ. 8.
„Τὶς τ' ἄρ' σφῶϊ Θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;

Στίχ: 524. ΝΥΝ ΜΕΝ ΔΗ ΤΥΡΝΟΣ, ΝΥΝ Δ' ΑΥ ΤΡΩΣ κτ: Νοεῖν πάρεστὶ κατὰ τὸ σιωπώμενον, ὅτι Αἰνείᾳ ἤδη κατὰ Ῥοτόλων ὁρμήσαντος, μηδὲ μόνῳ Τύρνῳ προσέχοντος, τότε καὶ ἕτος (Ἰυτύρνης ἀγέσης) εἰς μάχλιν τιὼ κατὰ τῶν ἄλλων ἐτράπετο.

Στίχ: 525. . . . . ΤΟΣΗΝ Δ' ΑΡ' ΠΡΟΣ ΔΗΡΙΝ . . . . Ὁμοίως ἦν ἐρωτῶν ὁ Ποιητὴς ἐκ ἀθαυμαστὶ καὶ ἐν Α. Αἴν: στίχ. 15.
„ —— ἦ τόσος ἐστὶ χόλος φρεσὶν ἐρανίοισιν;

Στίχ: 528. . . . . ΣΤΗΣΕ ΡΥΕΝΤΑΣ.) . . . . Διασκεδαθέντας τὸ τέως σωπήσαγεν, ὡς μὴ φεύγειν, ἡδὺ δὲ μάχεσθαι· οὕτω δὴ Σέρβιος. Ὁ δὲ Κέρδης, ὀρέοντας μᾶλλον, φησὶν, ἅμα τῷ Αἰνείᾳ κατὰ τὸ Σέκρονος, ἑνὸς ὄντος τῶν ἐν Ῥοτόλοις ἀρίστων, καὶ Τευκροις ἀντεπιόντος, ἔσησεν αὖτη ἡ πρὸς ἐκεῖνον Αἰνείᾳ ἀντιπαράταξις, καὶ τῆς ὁρμῆς κατέσχε, τὸ μηκέτι προσωτέρω χωρῆσαι, εἰς ὃ τὸ Ῥοτόλε αὐτὸς περιγένηται.

Στίχ: 529. . . . . ΚΗΡ Δ' ΕΝΘΑ ΤΑΧΙΣΤΗ κτ: Κατ' αὐτιὼ δήπε τιὼ καρδίαν, ἧς τρωθείσης παρὰ πόδας ὁ θάνατος. Ὅρα Καλαβρὸν Β. Παραλειπ. στίχ: 257.
„ . . . . . διήλασε δ' ὄμβριμον ἔγχος

„Ες

Τὶς ῥά μοι ἐξείποι γε Θεῶν νωῖ ἅλια τόσσα;
Τὶς δ' ἀνδροκτασίας παντοίας, πότμον ἀγῶντε,
Τάς περ ἀν' ἐυρὺ πέδον κατ' ἀμοιβιὶ ἐξ ἀλλήλων,
Νωῖ μὲν δὴ Τύρνος, νωῖ δ' αὖ Τρὼς ἔμπαλιν ἦρως
Πέφνε; τοσσὶ δ' ἄρ πρὸς δῆριν, Ζεῦ, ἔναδ' ἀνῶξαι
Ἔθνεα, τοῖσι πέπρωθ' ἑξῆς περ ἄγειν εἰρίωλα;
Σάκρονα Αἰνείας Ῥοτόλον, (πρώτη γ' ὑσμίνη
Αὐτη Τεύκρας ϛῆσε ῥυέντας) μὴ μάλα τοι δὴν
Ἐνσάντα, πλαγίως ἅτε κὴρ δ' ἔνθα ταχίϛη,
Τᾶ διὰ δὴ πλευρᾶς καὶ ϛέρνα φάσγανον ὦσε.
Τύρνος δ' ἐκσεύσας ἵππα Ἄμυκόν τε, κάσιν τε
Τοῖο Διώρια, τὸν μὲν μακρῷ ἔγχεϊ πεζὸς,
Τὸν δέ τοι ἅορι πλῆξε· κάρη δ' ἀμφοῖν ἀποκέρσας
Ἤρτησ' ἐξ ὀχέων, ϛαλάοντα δ' ἐν ἅμασ' ἀπῆγεν.
Αἰνείας δὲ Τάλον, Τάναΐν τε, κρατώ τε Κεθῆγον,
Τρεῖς ἅμ' ἐνῆρεν, ἀτὰρ ϛυθρὸν τ' ἐπὶ τοῖσδε Ὀνύτιον,
Οὔνομ' Ἐχιόνιον, μητρὸς δὲ τέκος Περιδίης.
Τύρνος δ' αὖ Λυκίης ἐξ ἀγρῶν τῶν Ἑκαέργε
Πεμπομένους δοιὼς, κάσιας πεφυῶτας, ἀνεῖλε·
Πρὸς δ' ἔτι μάψ πολέμους ϛυγέοντα νεᾶνα Μενοίτιον,
Ἀρκάδα, τῷ βίοτος κύκλῳ περὶ ῥεύματα Λέρνης
Ἔπλετο ἐξ ἁλίης, οἶκος δὲ πένης, ἀγνὼς δὲ

❀ ❀ ❀

„Ἐς κραδίην, θυητοῖσιν ὅπη πέλει ὠκὺς ὄλεθρος.
Καὶ Παραλ: ΙΑ. ϛίχ. 105.
„ . . . . . Οὕνεκα κῆρες ὁμῶς θορέοντο βελέμνῳ
„Καίριον εἰς κραδίην, ὅθι περ νόος ἔζετ' ἀνδρῶν,
„Καὶ μένος . . . . . .

Στίχ: ϛ532. . . . . ΤΟ'Ν ΜΕ'Ν ΜΑΚΡΩ͂ ΒΕΊΧΕΙ ΠΕΖΟ'Σ . . .
ϛ533. ΤΟ'Ν ΔΕ' ΤΟΙ ΆΟΡΙ ΠΛΗ͂ΞΕ . . . . Ὥσπερ Ἀχιλλεὺς, Ἰλ: Υ. ϛίχ. 460.
„ . . . . : Λαογόνον καὶ Δάρδανον υἷε Βίαντος,
„Τὸν μὲν δερὶ βαλὼν, τὸν δὲ χεδὸν ἄορι τύψας.

Στίχ: 537. ΆΟΥΝΟΜ' ΈΧΙΟ'ΝΙΟΝ. . . . . Ἐκ Θηβῶν ἔτως ὀνομαθῖῶαι παρέδωκαν, παρὰ τὸ Ἐχίωνα ποτὲ τῶν Θηβῶν βασιλεῦσαι, ἐξ οὗ Ἐχιώνιοι οἱ Θηβαῖοι. Ἐκ γὰρ τῶν τᾶ Δράκοντος ὀδόντων, ὃν ὁ Κάδμος Ἀθιωᾶς ὑποθήκη ἀπέκτεινε, διασπαρέντων, ἀνέτειλαν ἀπὸ γῆς ἄνδρες ἔνοπλοι, ἃς ἐκάλεσαν σπαρτὰς . . . . . περιεσώθησαν δὲ (ἐκ τῆς κατ' ἀλλήλων μάχης) πέντε: Ἐχίων, Οὐδαῖος, Χθόνιος, Ὑπερίωρ, Πέλωρ. Ἀπολλόδ: Βιβλ: Γ. Κεφ: Δ.

Στίχ: 538. . . . . ΛΥΚΙΉΣ ΈΞ ΆΓΡΩΝ ΤΩ͂Ν ΈΚΑΕ'ΡΓΟΥ. Ἡ γὰρ Λυκία ἱερὰ ἰῶ Ἀπόλλωνι. (ὅρα Δ'. Αἰν: ϛίχ. 155. καὶ Αὐτ:)

Στίχ: 540. ΜΑ'Ψ ΠΟΛΕ'ΜΟΥΣ ΣΤΥΓΕ'ΟΝΤΑ . . . . ΜΕΝΟ'ΙΤΗΝ. Τὸν νεᾶνα τόνδε, οἷον ἀποδειξιν ἐνταῦθα ὁ Ποιητὴς παρεισάγει, τᾶ τὸ πεπρωμένον εἶναι ἀναπόδραϛον· ὡς καὶ Πίνδαρος ἤδε Πυθ. ΙΒ. „Τόγε μόρσιμον ἃ πάρφυκτον.

Στίχ: 541. . . . . ΡΕΥ'ΜΑΤΑ ΛΕ'ΡΝΗΣ. Ἐκ τῶν ἑλῶν τῆς Ἀργολικῆς ταύτης λίμνης, ποταμὸς ἀπέρρει ὁμώνυμος, ἐκβάλλων ὑπὸ τὸ Πράσιον, ἰχθυοφόρος, ὅθεν ὁ Μενοίτης ἐξ ἁλίας διέζη. Ἀλλὰ περὶ τῆς Λέρνης ὅρα ϛ'. Αἰν: ϛίχ: 318. καὶ Η. ϛίχ. 312.

Στίχ:

Ille ruenti Hillo, animiſque immane frementi
Occurrit, telumque aurata ad tempora torquet:
Olli per galeam fixo ſtetit haſta cerebro.
Dextera nec tua te, Grajûm fortiſſime Creteu,
Eripuit Turno: nec Dii texêre Cupencum,
Ænea veniente, ſui: dedit obvia ferro
Pectora, nec miſero clypei mora profuit ærei.
Te quoque Laurentes viderunt, Æole, campi
Oppetere, & late terram conſternere tergo.
Occidis, Argivæ quem non potuêre phalanges.
Sternere, nec Priami regnorum everſor Achilles:
Hîc tibi mortis erant metæ, domus alta ſub Ida,
Lyrneſſi domus alta: ſolo Laurente ſepulchrum.
Totæ adeo converſæ acies, omnesque Latini,
Omnes Dardanidæ: Mneſtheus, acerque Sereſtus,
Et Meſſapus equûm domitor, & fortis Aſylas,
Tuſcorumque phalanx, Evandrique Arcadis alæ:
Pro ſe quiſque viri, ſummâ nituntur opum vi.
Nec mora, nec requies: vaſto certamine tendunt.
Hîc mentem Æneæ genitrix pulcherrima miſit,
Iret ut ad muros, urbique adverteret agmen
Ocius, & ſubitâ turbaret clade Latinos.
Ille, ut veſtigans diverſa per agmina Turnum,
Huc atque huc acies circumtulit, aſpicit urbem
Immunem tanti belli, atque impune quietam.
Continuo pugnæ accendit majoris imago.

Mneſt-

❁ ❁ ❁

Στίχ: 543 ΟΥΔΟΣ Ο ΠΛΟΥΤΟΥΝΤΩΝ , : : : Οὐ γὰρ ἠξίε θυροκοπεῖν οἴκες πλησίον, τοῖς πόνοις τῶν ἰδίων καρπῶν διατρέφεθαι ςέργων· τινὰ δὲ τῶν χειρογράφων ἔχει: Limina Potentum (οὐδὲς τὰς τῶν Δυναςευόντων.) τά δὲ: munera (Ὑπερηγίας, Θητείας.) ὅπερ εἰς ταὐτὸ ἥκει καθ' ἑκατέραν τιὼ γραφιὼ, ἀντὶ τῆς θεραπείας τῶν ἐν δυνάμει καὶ πλέτῳ ὑπακεόμενον.

Στίχ: Αὐτ: . . . . ΔΑΣΜΩΙ ΕΓΕΩΡΓΕΙ. Ἀγρὲς γεπονῶν ἀλλοτρίες ὑπὸ δασμοφορᾷ· τὸ μὲν γὰρ ἐξ αὐτῶν τοῖς τιὼ γιῶ κεκτημένοις καρποδοτῶν, τὸ λοιπὸν ὡς μιθὸν τῆς ἐργασίας αὐτῷ ἀπεφέρετο.

Στίχ: 544—548. ΩΣ Δ' ΟΤ' ΕΝΑΦΘΕΙΗ ΠΥΡ κτ: Τὰς δύο ταύτας εἰκόνας ἐυρήσεις καὶν τῷ Β'. τῆς Αἰν: στχ. 324.

Στίχ: 559. . . . . ΧΡΥΣΟΪΣΙ . . . . . ΚΡΟΤΑΦΟΙΣΙ, Τοῖς χρυσῇ κόρυθι περιςκεπομένοις.

Στίχ: 560. ΤΟΥ ΔΕ ΔΙ ΑΡ ΚΥΝΕΗΣ κτ: Ἰλ: Μ. στχ. 182.

„ . . . . Περιθόε υἱὸς, κρατερὸς Πολυποίτης
„Δερὶ βάλεν Δάμασον, κωπῆς διὰ χαλκοπαρῆε
„Οὐδ' ἄρα χαλκείη κόρυς ἔχεθεν· ἀλλὰ διὰ πρὸ
„Ἀιχμὴ χαλκείη ῥῆξ' ὀςέον· ἐγκέφαλος δὲ
„Ἔνδον ἅπας πεπάλακτο . . . .

Στίχ: 561. ΟΥΔΕ ΒΡΑΧΙΩΝ ΣΟΣ . . . . ΚΡΗΤΕΥ. Ἄλλος ὁ ἐνταῦθα Κρητεὺς ἦτος, παρὰ τὸν ἐν τῷ Θ'. Αἰν: στχ: 802. ὑπὸ τὲ αὐτῷ Τύρνε ἀναιρεθέντα. Ἐκεῖνος γὰρ Ποιητὴς ἦναι ἐλέγετο, καὶ περὶ κιθαρῳδίαν εὖ ἤσκητο.

Οὐδὸς ὁ πλιστύντων· δασμῷ δ' ὁ πατὴρ ἐγεώργει.
Ὡς δ' ὅτ' ἐναφθείη πῦρ κήλεον ἔνθεν ἰδ' ἔνθεν
Δρυμὸν ἐς ἀυαλέον, ψοφόεντά τε θράυσαναι δάφνης·
Ἤ ὅτε δὴ λάβρον ποταμοὶ κατ' ὄρεσφι ῥέοντες,
Καππέδον ἀφρώδεις καναχηδὸν χεύμενοι εἶσιν,
Οἳ δ' ὄιμλω ἰδίαν πορθῦσ· ὲ βάρδιον ἄμφω
Ὄρνιωτ' Αἰνείας καὶ Τύρνος δηριάασθαι.
Νωῦ δὴ, νωῦ γε χόλος κυμαίνει, σέρνα τ'ἀήθη
Εἴκειν, ῥήγνυται· ὥς ἔνι νωῦ χωρῦσ' ἐπὶ τρώσεις.
Μύρμανον Αἰνείας, πάππυς αὐτάρ τε προπάππυς
Κομπάζοντα, γένος Λατίῳ ἐξῆκον Ἀνάκτων,
Πλήξας δὴ σκοπέλοιο ἀναιδεῖ κλάσματι πέτρης,
Κάρραξ' ἐξ ὀχέων γε ἔρασ'· ὑπὸ μὶν δὲ ἱμάντας
Ἄντυγες ἐκκύλισαν, κραιπναὶ τὸν δ' ὁπλαὶ ὕπερθεν
Ἵππων δεσπότεω ἀλογόντων, ἠλοίησαν.
Τύρνος δ' ἐμμεμαῶτι Ἴλῳ μέγα βρυχομένῳ τε,
Πῆλεν ἐπαντιάσας χρυσοῖσι βέλος κροτάφοισι,
Τᾦ δὲ δι' ἄρ κωπέης κρανίῳ δόρυ ἐμπαγὲν ἔσῃ.
Οὐδὲ βραχίων σὸς, Γραικῶν σε μέγ' ἄλκιμε Κρητεῦ,
Εἴρυσε Τύρνα. Οὐδὲ Θεοί γε Κύπεγκον σέξαν
Ἄντιω Αἰνείαο· ἐπεὶ προβαλόντι σιδήρῳ·
Στήθεα, ἀκ οἰκτρῷ χραίσμησέ τι χάλκεος ἀσπὶς.
Καὶ σὲ δὲ Λωρεντοῖο ὀπώπασιν, Αἴολε, ἀγροὶ
Ἡμύσαντα μέγαν μεγαλωσὶ ταθέντ' ἐπὶ γαίης,
Τὸν πάρος Ἀργείων καββαλλέμεν ἄτι ῥὰ ἔχον
Εἴλαι, κἀδ' Ἀχιλεὺς ὁ κράτος Πριάμοιο ἐρείψας.
Ὧδε τέλος θανάτοιο· τεὸς δόμος αἰπὺς ὑπ' Ἴδιω,

Λυρ-

❋ ❋ ❋

ἤσκητο· περὶ δὲ τότε ἀδὲν ὧδε τοιῦτον, ἀλλ' ἤ ὅτι Γραικὸς ἦν, καὶ ἐπίσημος τιὼ ἀλκιὼ. Διακρίνεται δὲ καὶ τῦνομα ἐπὶ τύτοιν· ἐπ' ἐκείνε γὰρ διὰ δασέως (Θ) ἡ λήγεσα, ἐπὶ δὲ τότε διὰ ψιλῦ. (Τ). Κατὰ δέ τινα τῶν Ἀντιγράφων, καὶ πλεῖον ἔτι ἀπαντᾷ τὸ διάφορον, (Ρητεῦ) ἀντὶ τᾦ (Κρητεῦ) ἀναγινώσκειν ἐνταῦθα παρεχομένων.

Στίχ: 562. . . . . ΟΥ'ΔΕ' ΘΕΟΊ ΓΕ ΚΥ'ΠΕΓΚΟΝ ΣΤΕ'ΞΑΝ. Οἱ δ' ἄλλως (Κύπεντον, ἢ Κύπεντα) γράφεσι. Σημειωτέον δὲ μετὰ Σερβίε, ὡς τὸν μὲν ἐγγὺς ἀνωτέρω Κρητέα, ἡ περιῦσα οἱ ἀλκὴ διασῶσαι ἀκ ἴσχυσε, τᾦ μὴ ὑπὸ Τύρνε ἀναιρεθλῶναι, Κύπεγκον δὲ τῦτον, τὸν ὑπὸ Αἰνείε κατειργασμένον, ἀδ' αὐτοὶ οἱ Θεὸι, ὃυς ἦν ἔχων προσάτας, ἐρύσαντο· καὶ διὰ ταύτης οὖν τῆς παραθέσεως, ἀνθρωπικὴ μὲν ἡ Τύρνε δώαμις ὑποδείκνυται, Θεία δέ τις ἡ τᾦ Αἰνείε, καὶ μείζων ἢ κατὰ ἄνθρωπον.

Στίχ: 565. ΚΑΙ' ΣΕ' ΔΕ' . . . . ΑΊΟΛΕ . . . . Μετ' ἐπιστροφῆς Αἴολον ὁ Ποιητὴς προσφθέγγεται. Ἄνδρα τῦτον παρισῶν πελώριον μὲν τὸ δέμας, ἐπίσημον δὲ τιὼ ἀλκιὼ, τὸν μηδ' αὐτᾦ Ἀχιλλέως, μηδὲ τῶν Ἑλλιίσκων λόχων ἧττονα ἐν Τροίῃ γενόμενον, νῶ ὑπὸ Τύρνε δαμέντα, καὶ τῶν ὑψερόφων δωμάτων, οἷς ἐ τρυφᾶν ἐν ὑπωρείοις εἶχε τῆς Ἴδης, τὸν πρὸς τὰ Λωρεντῶ τάφον ἀνταλλαξάμενον.

Στίχ: 569. ΩΔΕ ΤΕ'ΛΟΣ ΘΑΝΑ'ΤΟΙΟ . . . . Ἰλ: Π. στίχ. 787. Οὕτως Ὅμηρος ὤκτειρε τὸν Μενοιτιάδιω.

„Ἐνθ' ἄρα τοι, Πάτροκλε φάνη βιότοιο τελευτὴ.

Καὶ Ἰλ: Υ. στίχ. 390. Ἀχιλλεὺς ἐπευχόμενος ἐπὶ τῇ ἀναιρέσει Ἰφιτίωνος:

Mneſthea, Sergeſtumque vocat: fortemque Sereſtum
Ductor s; tumulumque capit, quo cætera Teucrûm
Concurrit legio: nec ſcuta, aut ſpicula denſi
Deponunt. Celſo medius ſtans aggere fatur:
Nequa meis eſto dictis mora: Juppiter hâc ſtat:
Neu quis ob inceptum ſubitum mihi ſegnior ito.
Urbem hodie, cauſſam belli, regna ipſa Latini,
(Ni frenum accipere, & victi parere fatentur)
Eruam, & æqua ſolo ſumantia culmina ponam.
Sciiicet Expectem, libeat dum prælia Turno
Noſtra pati? rurſuſque velit concurrere victus?
Hoc caput, ô cives, hæc belli ſumma nefandi.
Ferte faces propere, fœduſque repoſcite flammis.
Dixerat: atque animis pariter certantibus omnes
Dant cuneum, denſaque ad muros mole feruntur.
Scalæ improviſo, ſubituſque apparuit ignis:
Diſcurrunt alii ad portas, primoſque trucidant:
Ferrum alii torquent, & obumbrant æthera telis.
Ipſe inter primos dextram ſub mœnia tendit
Æneas, magnâque incuſat voce Latinum;
Teſtaturque Deos, iterum ſe ad prælia cogi;
Bis jam Italos hoſtes, hæc altera fœdera rumpi.
Exoritur trepido inter diſcordia cives:
Urbem alii reſerare jubent, & pandere portas

Darda-

❀ ❀ ❀

„Κεῖσαι, Ὀτρωτεῖδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν.
„Ἐνθάδε τοι θάνατος· γενεὴ δέ τοι ἐς' ἐπὶ λίμνῃ
„Γυγαίῃ, ὅθι τοι τέμενος πατρώϊον ἐξίν.
„Ὕλῃ ἐπ' ἰχθυόεντι, καὶ Ἕρμῳ δινήντι.

Στίχ: 570. ΛΥΡΝΗΣΣΟΎ ΔΌΜΟΣ. . . . . Περὶ Λυρνησσῦ τῆς πόλεως εἴρηται I. Αἰν: στίχ. 134.

Στίχ: 578. . . . : ΦΡΕΣΊΝ Ὕββαλε ΔΙ᾽ ἈΦΡΟΔΊΤΗ Ἰλ: Σ. στίχ. 157.
„Τῇ δ' ἄρ' ἐπὶ Φρεσὶ θῆκε Θεὰ γλαυκῶπις Ἀθηνὴ.

Στίχ: 589 ΜΗ᾽ ῬΆΤΙΣ ἌΜΒΟΛΊΗ ἘΠΈΕΣΣΙΝ . . . . Οὕτως Ἀγαμέμνων τέναντίον προτρέπων: Ἰλ. Β. στίχ. 139.
„Ἀλλ' ἄγεθ', ὡς ἄν εἴπω, πειθώμεθα πάντες.
Οὗτος δὲ καὶ ἑαυτὸν συμπεριείληφε τοῖς ἄλλοις, τῷ Θεῷ κελεύσαντος.

Στίχ: 596 ΖΕΥ̓Σ Ὥ᾽ ἘΣΤΗΚΕΙ . . . . Ὑπὲρ ἡμῶν ἵσαται τῶν ἐμμεμενηκότων τοῖς γενομένοις, ὅρκιος Ζεὺς ὅρκοις· κατὰ δὲ τέτων τῶν ἀσωθέτων τε καὶ ἀταθάλων, τῶν τὰς ὅρκας παραβεβηκότων κινηθήσεται.

Στίχ: Αὐτ: . . . . . ΌΤΙ Δ᾽ ἈΙΦΝΊΔΙΟΝ ΤΟΎΤ᾽ ἜΡΓΟΝ Οὐ δήπε τὸ τῆς μάχης, σιωπῇ γὰρ ὁ πόλεμος ἐκ ἀκήρυκτος, ἐκ δὲ παρασκευῆς ἑκατέρωθεν· Ἀλλα τὸ τῆς ἐμβολῆς καὶ ἐφόδε, κατ' αὐτῆς ἀμέσως τῆς Λατίνε πόλεως γενησομένης· τέτο γὰρ ἤδη τοῖς πολεμίοις ἂν αἰφνίδιον εἴη μὴ προσδοκᾶσιν, εἰς ὃ πρὸ μικρε καὶ ἡ μήτηρ αὐτὸν ὑπήλειφεν, ἡ ἐν Φρεσὶν αὐτῷ καθυποβαλεῖσα, τῷ ἐκ παρατάξεως ἀγῶνος παυσάμενον, καὶ τῆς μετὰ τῷ ἀντιπάλε Τύρνε μονομαχίας, ὡς ἀεὶ Φεύγοντος, ἀπεγνωκότα, διὰ τειχομαχίας ἀμέσως κατ' αὐτῷ χωρῆσαι πειραθλῶσι τῷ Ἄσεος, Ἄνωτ. στίχ. 59.
„Ἀσσοτέρω μολέοντα μάχλιν περοτὶ τείχεσιν ὄρσαι,
„Λίφνιδίῳ τ' ὤκισα Λατίνες θραῦσαι ὀλέθρῳ.

Στίχ:

Λυρνησσοῖο δόμος, τύμβος Λωρέντιος ἔτος.
Τόφρα κατ' ἀλλήλων ἐλέλιχθεν ἀγήματα πάντα
Ἄμμιγα πασσυδίῃ γε Λατίνων Δαρδανιδῶν τε.
Καὶ μιὼ καὶ Μνεσθεὺς ἔτι, καὶ δριμὺς δὲ Σερέστης,
Μέσσαπος ἱπποδάμας τε, ἀτὰρ κρατερός γε Ἀσύλας·
Τυρρίωων τε φάλαγξ, Εὐάνδρε τ' Ἀρκάδος ἴλαι.
Ἧι δ' ἄρ' ἕκαστος ἔχεσκε βίῃ ἀπερείδετο πάσῃ,
Ἀμβολίης τε ἄτερ, ἐπέρχοντο ἀπείρονα δῆριν.
Μήτηρ δ' Αἰνείᾳ φρεσὶν ὕββαλε δι' Ἀφροδίτη,
Ἀσσοτέρω μολέοντα μάχῃ προτὶ τείχεσιν ὄρσαι,
Αἰφνιδίῳ τ' ὦκισα Λατίνους θραῦσαι ὀλέθρῳ.
Ὡς δ' ὅγε μαιμώων κατὰ ἴλας πάντοσε Τύρνον,
Ἔνθα τε ἠδ' ἔνθα σκοπέων περὶ δέρκετο Ἄξυ,
Οὔτι τελοῦμ πολέμῳ, νηποινὶ δ' ἐχέσκον ἑκήλως,
Αἶψα ῥὰ μειοτέρης ἀνὰ χάρμης εἰκόνι κάυθη.
Μνεσθέα, Σεργέσῖω τε καλεῖ, κρατερόν τε Σερέσῖω,
Ἀρχὲς, βῆ δὲ κολωνὸν, ἵν' ἄθρους ἄμμιγα Τεύκρων
Σωὸ λεγεὼν ἔρρει θαμέες· σάκε οἱ δὲ καὶ ἔγχη
Οὐκ' ἀποθέντο· μέσον τέτοις δὲ σὰς μεγ' αὔτα.
Μὴ ῥάτις ἀμβολίη ἐπέεσσιν ἐμοῖσι γινέσθω·
Ζεὺς ὧδε σήκει· ὅτι δ' αἰφνίδιον τῦτ' ἔργον,
Τέκνα μηδείς μοι νῶῖ ὀκναλέος χωρείτω·
Σήμερον Ἀρχέκακον πόλιν, ἠδ' ἀρχιὼ τε Λατίνε,
(Αἰὲ ἄρα μὴ πείθεθ' ἐθέλοιεν, μηδὲ δαμέντες·)
Πέρσω, ἐς δ' ἔδαφος καπνώδες ἀνάκτορ ἐρείψω.
Ἦέ μενητέον εἰς ὅκεν ἠδὺ γένηται Τύρνῳ,
Ἐς δῆριν τλῆν' αὖθ' ὁμόσ' ἐλθεῖν ἡττηθέντα;
Τετὶ μάχης κεφάλαιον ἀθέσμε ἄμμιν ἐτεῦροι.
Εἶ' ἄγε δᾶδας· φλοξὶν ἀπαιτεῖσθε ξωθήκας.
Ἦ, αὐτὰρ θυμοῖσιν ὁμῶς δὴ πρόφροσι πάντες
Σφιωηδὸν παρτάχθεν, ἰδ' ἄρ πύκα τείχεσι βρίσαν.
Κλίμακες αἶψα φέροντ', ἀδοκήτως πῦρ δ' ἐπὶ λάμψεν.
Ἄλλοι μὲν ῥὰ πύλαςδε θέον, πέφνον δ' ἀντῶντας,

❀ ❀ ❀

Στίχ: 597. ΤΟΥΤΙ' ΜΑ'ΧΗΣ ΚΕΦΑ'ΛΑΙΟΝ . . . . Καιμιὼ, αὐτὸς τῶν κακῶν παραίτιος ὁ Τύρνος ἦν, ὡς καὶ Δράγκης ἔλεγεν ἀνωτέρω ἐλέγχων. ΙΑ. Αἰν: στιχ. 376.

„Τίπτε ῥὰ τοσσατίαις κακότησ' οἰκτρὲς πολίτας
„Ἐκπροιάπτεις, ὦ Λατῖν' ἀρχαίτιε μόχθων;

Ἀλλὰ τῆς μάχης κεφάλαιον ἡ τιὰ πόλιν ἐνταῦθα λέγει, ὅτι ἐν αὐτῇ ἰῶ ἡ Λαβίνη, ὑπὲρ ἧς ἡ πᾶσα σωίσατο ὄρις· ἤ, καὶ ἅπλως ἐπὶ τιὰ πόλιν ἀνάγει τὸ αἴτιον, καθὸ Τύρνῳ συμμαχῆσαν, ὃν ἀναχαιτῖσαι, καὶ ἀπεῖρξαι τῆς θρασύτητος ὤφειλεν.

Στίχ: 598. . . . . ΦΛΟΞΙ'Ν Ἀ'ΠΑΙΤΕΙ'ΣΘΕ ΞΥΝΘΗ'ΚΑΣ. Τὰς ὑπ' αὐτῶν ἀθετηθείσας. Ἄνωτ στίχ. 278.

Στίχ: 600. ΣΦΗΝΗΔΟ'Ν ΠΑΡΤΑ'ΧΘΕΝ . . . . Ὅρα ἄνωτ: στίχ. 476.

Στίχ:

Dardanidis, ipſumque trahunt in mœnia Regem:
Arma ferunt alii, & pergunt defendere muros.
Incluſas ut quum latebroſo in pumice paſtor
Veſtigavit apes, fumoque implevit amaro:
Illæ intus trepidæ rerum per cerea caſtra
Diſcurrunt, magniſque acuunt ſtridoribus iras.
Volvitur ater odor tectis: tum murmure cæco
Intus ſaxa ſonant: vacuas it fumus ad auras.
Accidit hæc feſſis etiam fortuna Latinis,
Quæ totam luctu concuſſit funditus urbem.
Regina ut tectis venientem proſpicit hoſtem,
Inceſſi muros, ignes ad tecta volare;
Nuſquam acies contra Rutulas, nulla agmina Turni;
Infelix pugnæ juvenem in certamine credit
Extinctum, & ſubito mentem turbata dolore,
Se cauſam clamat, crimenque, caputque malorum:
Multaque per mœſtum demens effata furorem,
Purpureos moritura manu diſcindit amictus;
Et nodum informis lethi trabe nectit ab alta.
Quam cladem miſeræ poſtquam accepêre Latinæ,
Filia prima manu flavos Lavinia crines
Et roſeas laniata genas: tum cætera circum
Turba furit: reſonant latè plangoribus ædes.
Hinc totam infelix vulgatur fama per urbem.
Demittunt mentes; it ſciſſâ veſte Latinus,
Conjugis attonitus fatis, urbiſque ruinâ,
Canitiem immundo perfuſam pulvere turpans:
Multaque ſe incuſat, qui non acceperit ante
Dardanium Æneam, generumque adſciverit ultro.
Interea extremo bellator in æquore Turnus
Palantes ſequitur paucos, jam ſegnior, atque

Jam

❀ ❀ ❀

Στίχ: 603 . . . . ΣΚΙΟΌΩΤΟ ΔΕ᾽ ΤΟΎΞΟΙΣ ᾽ΑΙΘΗΡ. Τὸ δ᾽ αὐτὸ ἔφασκεν ὁμοίως, καὶ ΙΑ. Αἰν: στίχ. 636.
" . . . . . Βαθὲη δ᾽ ἕλεν ἠρανὸν ὄρφνη.

Στιχ: 608. . . . . ᾽ΑΘΕΤΕΙΝ Δ᾽ ᾽ΕΣ ΔΕΥΤΕΡΟΝ ΌΡΚΟΥΣ. Πρῶτον μὲν, ἐπὶ τῆς διὰ Ἰλιονέως πεμφθείσης ὡς αὐτὸν πρεσβείας, πίστιν εἰρήνης τε ἅμα καὶ ἐπιγαμβρεύσεως παραχών. Ζ. Αἰν: στίχ. 366—308. Δεύτερον δὲ, ἐπ᾽ αὐτῇ τῇ ἀρτίως διὰ θυμάτων καὶ ὅρκων ἑκατέρωθεν βεβαιωθείσῃ μονομαχίᾳ μεταξὺ Τύρνε καὶ Αἰνείε. Ἄνωτ: 168—226.

Στιχ: 609, ... ΝΕΓΚΟΣ ᾽ΕΝΩΡΤΟ. Οὐδ᾽ ἐν ἀκμῇ τῇ κινδύνε ἐτύγχανον ὁμοφρονοῦντες. Οἱ μὲν γὰρ τὰς τῆ Ἄρεος ἀναπεταθῆναι πύλας εἰς ὑποδοχὴν Αἰνείε ἠροῦντο· οἱ δ᾽ ὅπλοις ἀμύνεσθαι, καὶ τῆς πόλεως δεῖν ἀπείργειν ἀντιδιετείνοντο. Διὸ δὴ καὶ τὸν Ἄνακτα αὐτὸν ἐπὶ τὰς ἐπάλξεις ἀνεῖλκον. στίχ. 611. Δυνάτος δ᾽ ἔτως ἠρμήνευσεν· ὅτι ἄρα ἐπὶ τῶν ἐπάλξεων ἑστῶτα τὸν Λατῖνον, διχονοοῦντες οἱ Ἀρυκοὶ, οἱ μὲν ἔνθεν μεθεῖλκον, διαλύσεις ποιεῖσθαι πείθοντες, οἱ δ᾽ ἔνθεν τἐναντίον ἐποτρωυοντες, τῷ πολέμῳ τὴν τῶν πραγμάτων κρίσιν ἐφιέναι παραβιαζόμενοι.

Στίχ:

Οἱ δ' ἔγχη πάλλον· σκιόωτο δὲ τόξοις αἰθὴρ·
Αὐτὸς δ' ἐν προμάχοισιν ἀναχὼν χεῖρ ἀνὰ τείχη
Αἰνείας μέγ' ἄϋσε, Λατίνῳ κάρτα δ' ὁμόκλα,
Καί γε Θεὰς πάντας μαρτύρετο ἄυθις ἀνάγκῃ
Αὐτὸς δηριάαν, δὶς δ' ἤδη Ἰταλιώτας
Ἄρχεθαι πολέμου, ἀθετεῖν δ' ἐς δεύτερον ὅρκους.
Τῆμος δειμαλέοις πολιήτας νεῖκος ἐνῶρτο.
Ἄλλοι ἀνοιγέμεν Ἄσυ κέλοντο πύλας τε πετάσσαι
Δαρδανίοις, αὐτὸν δὲ ἄνακτ' ἀν' ἐπάλξιας εἶλκον·
Ἄλλοι δ' ὅπλα φέρον, καὶ ἀπεῦδον τείχεσ' ἀμυνεῖν.
Ὡς δ' ἄρ' μηλοβοτὴρ, ὅτε ἐν πέτρῃ γλαφυέσσῃ
Σμιλῶος ἀνιχνεύων, δρίμυξε μελίσσας καπνῷ,
Αἱ δ' ἐν σφῶν κλισίας κηρώδεσιν ἐγκλονέονται,
Αὐτὰρ ἀολλέες ὀξὺ χοάμεναι ἐμβριμόωνται,
Ὀδμὴ δ' ἀμφιμέλαινα ἑλίσσεται ἐν τεγέεσσι·
Βομβεῖ δ' ἄρ σίμβλον, θρώσκει λιγνὺς δὲ ἀν' ἄυρας.
Τοῖον τιωίκα δὴ κακοδαίμοσι γέντο Λατίνοις,
Καὶ πᾶν ἐν πένθει ἄρδιν ἐδονήσατο Ἄσυ.
Δήϊον ὡς δ' ἤδη ἐπιόντα ἄνασσα κατῆδε,
Τείχεά τ' ἀμβαίνοντα, καὶ οἴκοις δ' ἱπτάμενον πῦρ,
Εἶλας δ' ἀδαμόθεν Ῥοτόλων, καὶ τάγματα Τύρνυ,
Αὐτὸν δόξε νεᾶνα δαμέντα πεσεῖν ἐνὶ χάρμῃ·
Αἶψα δέ τοι φρένας ἦ δύσλυσος ἄχεϊ θραχθεῖσα,
Βῶσεν, ἀταθαλίης αὐτιὼ τῆς δ' αἴτιον ἔμμεν,
Τῶν τ' ἐνσκηψάντων δεινῶν κεφάλαιον ἁπάντων.
Πολλὰ δὲ ἐμμανέως φαμένη ἔκφρων ὑπ' ἀνίης,
Εἵματα πορφύρεα, θνήξασ' ὡς, χείρεσι ῥήγνυ,
Καὶ βρόχον ἁψαμένη ἀχήμονα εἵλετο πότμον.
Λοίγιον ἄρ τόδ' ἐπεί γ' οἰκτραὶ πεπύθοντο Λατῖναι,
Πρώτη ξάνθὴς ἡ παῖς πλοχμὸς τίλλε Λαβίνη,

Δρύπ-

❁ ❁ ❁

Στίχ: 613. ΩΣ Δ' ΑΡ' ΜΗΛΟΒΟΤΗΡ . . . . Ὅτι δ' ὁ καπνὸς Μελισσῶν τῇ φύσει ἐχθρός ἐστιν ἀφόρητος, καὶ δι' αὐτῆ τυφόμεναι φυγαδεύονται, κοινῇ τε δῆλον, καὶ ἐκ πείρας τὸ πιστὸν ἔχον ἐστὶν (Γέρα Δ. Γεωργ. στίχ. 386.) Τῇ δ' εἰκόνι ταύτῃ καὶ Ἀπολλώνιον ἐν τοῖς Ἀργον. Βιβλ: β. στίχ. 130. χρησάμενον ἐπάγουσιν.

„Ὡς δὲ Μελισσάων Σμιλῶος μέγα μηλοβοτῆρες
„Ἠὲ μελισσοκόμοι πέτρῃ ἔνι καπνιόωσιν,
„Αἱ δ' ἤτοι τείως μὲν ἀολλέες ὦ ἐνὶ Σίμβλῳ
„Βομβηδὸν κλονέονται, ἐπὶ τρὸ δὲ λιγνύοεντι
„Καπνῷ τυφόμεναι πέτρης ἑκὰς αἴσσουσι

Στιχ: 626. ΒΩΣΕΝ. ΑΤΑΣΘΑΛΙΗΣ ΑΥΤΗΝ ΤΗΣ Δ' ΑΙΤΙΟΝ ΕΜΜΕΝ. Οὐδ' ἐψεύδετο τοῦτο γε. Ὅρα δὲ ἐν Ζ. Λίν: στίχ. 368—431.

Στίχ: 630. ΚΑΙ ΒΡΟΧΟΝ ΑΨΑΜΕΝΗ κτ: Ὥσπερ καὶ ἡ παρ' Ὁμήρῳ Ἐπικάση, Ὀδυσ. Λ. στίχ. 276.

„Ἡ δ' ἔβη εἰς Ἀΐδαο πυλάρταο κρατερο῀ο,
„Ἀψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλο῀ο μελάθρου,
„Ὠι ἄχεϊ χομένη . . . . . .

Jam minus, atque minus ſucceſſu lætus equorum.
Attulit hunc illi cæcis terroribus aura
Commiſtum clamorem, arrectaſque impulit aures
Conſuſæ ſonus urbis, & illætabile murmur;
Hei mihi, quid tanto turbantur mœnia luctu?
Qniſve ruit tantus diverſa clamor ab urbe?
Sic ait, adductiſque amens ſubſiſtit habenis.
Atque huic, in faciem ſoror ut converſa Metiſci
Aurigæ, cnrrumque & equos & lora regebat,
Talibns occurrit dictis: Hac, Turne, ſequamnr
Trojugenas, qua prima viam victoria pandit:
Sunt alii, qui tecta manu defendere poſſunt.
Ingruit Æneas Italis, & prælia miſcet:
Et nos ſæva manu mittamus funera Teucris:
Nec numero inferior, pugnæ nec honore recedes.
Turnus ad hæc:
O ſoror, & dudum agnovi, cum prima per artem
Fœdera turbaſti, teque hæc in bella dediſti:
Et nunc nequicquam fallis Dea. Sed qnis Olympo
Demiſſam tantos voluit te ferre labores?
An fratris miſeri lethum ut crudele videres?
Nam quid ago? aut quæ jam ſpondet fortuna ſalutem?
Vidi oculos ante ipſe meos, me voce vocantem
Murthanum (quo non ſuperat mihi charior alter)
Oppetere ingentem, atque ingenti vulnere victum.
Occidit infelix, ne noſtrum dedecus Ufens
Aſpiceret: Teucri potiuntur corpore & armis.
Exſcindine domos (id rebus defuit unum)
Perpetiar? dextrâ nec Drancis dicta refellam?
Terga dabo? & Turnum fugientem hæc terra videbit?
USQVE adeone mori miſerum eſt? Vos ô mihi Manes
Eſte boni, quoniam Superis adverſa voluntas.
Sancta ad vos anima, atque iſtius inſcia culpæ,
Deſcendam, magnorum haud unquam indignus avorum.
Vix ea fatus erat: medios volat ecce per hoſtes

Vectus

❁ ❁ ❁

Στίχ: 649. . . . . Ἡ ΣΧΗΜΑ ΜΕΤΙΣΚΟΥ ΑΜΕΙΠΤΟ, κτ: Ὅρα ἀνωτ: στίχ. 489. κξ:

Στίχ: 660. ΟΥΔΕ ΜΕ ΝΥΝ ΓΕ ΘΕΑΙΝ ΑΠΑΦΟΙΟ. Οὐρσῖνος δὲ καίνταῦθα τῦ Ὁμηρικῦ Τυδείδε ἐμνήσθη, πρὸς Ἀθλιωᾶν λέγοντος. Ἰλ: Ε. στίχ. 815.

„Γινάσκω σε, Θεὰ, θύγατερ Διὸς Αἰγιόχοιο.

Στίχ: 664. . . . . ΟΠΩΠΑ ΓΕ ΚΕΚΛΟΜΕΝΟΝ ΜΕ
665. ΜΥΡΡΑΝΟΝ . . . . . Τετὶ κατὰ τὸ σιωπώμενον. οὐδὲν γὰρ πλέον περὶ Μύρρανε ἀνωτέρω εἴρηται, ἢ ὅτι πεσὼν ὑπὸ Αἰνείε, ἀναιδεῖ λίθε κλάσματι ἀπὸ τῦ ὀχήματος, ὑπὸ τῶν ἵππων τῶν αὐτῦ κατηλόηται, ἐν ᾧ Τύρνος Ἴλον διὰ τῶν κροτάφων ἀντετόρησεν. (Ἀνωτ: στίχ. 552—560.

Στίχ:

Δρύπτε παρειὰς δ' ἅς ῥοδέας· σίφος ἀμφὶ δ' ἔπειτα
Μαίνετο, καὶ θριώοις πάντ' ἐυρέα δώματ' ἐπήχει.
Ἔνθεν λευγαλέη περιέπτη φῆμις ἀν' Ἄσυ.
Πάντες δὲ θράχθεν· κίε ῥῆξας δ' εἶμα Λατῖνος,
Ἔκπληκτος μοίρας τ' ἀλόχω, πόλιώς τε ὀλέθρῳ,
Πολλά γε οἱ τ' αὐτῷ ὀνοτάζων, ἕνεκα δὴ πρὶν,
Δάρδανον Αἰνείαν μὴ γαμβρὸν δέξατο πρόφρων.
Τετάκι ἀμπεδίον πύματόν πε μάρναται Τύρνος,
Πάυρας ἠλάσκοντας ἐλαύνων νωχελέως περ,
Ἠδ' ἀτυχῶς πάντῃ πολεμίζων, αὐτὸς ἰδ' ἵπποι.
Τιὼ δε γὰρ οἱ πόρθμευσ' ἁλαοῖς ἐνὶ δείμασιν αὔρα,
Συμμιγέα κραυγῇ, προχόντι τε ἔασι βάλλεν
Ἄσευς θρᾶς θ' ὅμαδός τε, ἐνὶ σονόεντι κυδοιμῷ.
Ὦ πόποι! ἦλίκον ἆρ θροέει νῶῖ τείχεα πένθος;
Τίςπτε ἰωγὴ ἥδε ἀπ' Ἄσεος ὦρτο τοσάυτη;
Ὡς φάτο· ἠδ' ἔκφρων ἀνερύσσας ἰῶία ἔσῃ.
Τῷ δὲ κασιγνήτῃ, ἥ χῆμα Μετίσκε ἀμάπτο,
Οἷα δὲ διφρευτὶς δίεπεν καὶ λῶρα καὶ ἵππας,
Ἔνθεν φθεγξαμένη, ἐσσώμεθ', ἔφη, ὦ Τύρνε,
Τρωσὶν, ὅθεν νίκης πρώτη ὁδὸς ἡμῖν ὄιχθη.
Δώμασι τοῖσι πόλιος ἀμυύειν εἰσὶ καὶ ἄλλοι·
Μέσφα δ' ἄρ Αἰνείας ἐπιμάρναται Ἰταλιώτας,
Τόφρα γε ἡμέας αὖνὰ ἰάπτειν πένθεα Τεύκροις.
Οὗτοι ἀριθμῷ, ἀδέ νυ κύδει χάσσεαι ἥσσων.
Τοῖα παραφαμένῃσι, ὧδ' ἀντεπαμείψατο Τύρνος·
Ὦ Κάσις, ἀδὲ πάρος με λελήθεις, εὖ τε ῥὰ πρῶτον
Ὄρκια συγχεύσασα μέμιξ' ἐνὶ δήρισι τοῖσδε,
Οὐδὲ με νῶῖ γε Θέαιν' ἀπάφοιο. Τὶς ἐξ Οὐλύμπε
Πᾶσε κατελθοῦσαν, τοσσὸσδ' ἀνατλήμεν' ἀγῶνας;
Ἠὲ κασιγνήτε ὄφρ' οἰκτροῦ πότμον ἐπόψῃ;
Τίκεν ῥέξω; ἦ τὶς δαίμων ἔκ με σαώσει;
Αὐτοῖς ὀφθαλμοῖσιν ὅπωπάγε κεκλόμενόν με
Μύρρανον, (ἔ μηδεὶς πέρι δή μοι φίλτερος ἄλλος.)
Τεθνήξαντα μέγαν μεγαλωσί τε καττρωθέντα.
Ὤχετο καὶ Οὖφης δὲ τάλας, μὴ αἶχος ἐσείδῃ
Ἡμέτερον· δέμας αὐτὰρ ἔλον καὶ τεύχεα Τεῦκροι·
Πορθεῖθαι νῶῖ ἠδ' οἴκους (τὸ ῥὰ λέπετο οἷον!)
Τλήσομαι, ἀδ' ἔργοις ἔπεα Δράγκοιο ἐλέγξω;
Νῶτα δέ τοι, δραπέτης ὡς, τρέψω; καὶ νύ γε Τύρνον,

❁ ❁ ❁

Στίχ: 667. Ὤχετο καὶ Οὖφης . . . . Ἀνωτ: στίχ. 479.

Στίχ: 670. . . . . Ο'ΥΔ' ΕΡΓΟΙΣ ΕΠΕΑ ΔΡΑΓΚΟΙΟ ΕΛΕΓΞΩ; Ὅρα ΙΛ. Λίν. στίχ. 357—391.

Στίχ: 671 . . . . ΚΑΙ' ΝΥ' ΓΕ ΤΥ'ΡΝΟΝ κτ: Περιαυτολογία ἔτι γε μεμπτέα. Οὐ γὰρ μεγαλεῖα περὶ ἑαυτῷ ἐνταῦθα διέξεισιν. ἀλλὰ τὸ δειλανδρίσαντα τῷ πολέμῳ αἰχρῶς ἀποχωρῆσαι, τῆς πατρίδος ἐν ἀκμῇ ἔσης κινδύνε,

Vectus equo ſpumante Saces, adverſa ſagittâ
Saucius ora: ruitque implorans nomine Turnum:
Turne, in te ſuprema ſalus: miſerere tuorum:
Fulminat Æneas armis, ſummaſque minatur
Dejecturum arces Italûm, excidioque daturum:
Jamque faces ad tecta volant: in te ora Latini,
In te oculos referunt: muſſat rex ipſe Latinus,
Quos generos vocet, aut quæ ſeſe ed fœdera flectat.
Præterea Regina tui fidiſſiima, dextrâ
Occidit ipſa ſuâ, lucemque exterrita fugit.
Soli pro portis Meſſapus & acer Atinas
Suſtentant aciem. Circum hos utrinque phalanges
Stant denſæ, ſtrictiſque ſeges mucronibus horret
Ferrea. Tu currum deſerto in gramine verſas!
Obſtupuit varia confuſus imagine rerum
Turnus, & obtutu tacito ſtetit: æſtuat ingens
Imo in corde pudor, miſtoque inſania luctu,
Et Furiis agitatus amor, & conſcia virtus.
Ut primum diſcuſſæ umbræ, & lux reddita menti,
Ardentes oculorum acies ad mœnia torſit
Turbidus, éque rotis magnam reſpexit ad urbem.
Ecce autem flammis inter tabulata volutus
Ad cœlum undabat vortex, turrimque tenebat,
Turrim, compactis trabibus quam eduxerat ipſe,
Subdideratque rotas, ponteſque inſtraverat altos.
Jam, jam fata, ſoror, ſuperant: abſiſte morari:

Quò

❀ ❀ ❀

κινδυνώσε, μὴ πρὸς αὐτῦ εἶναι ἡγεῖται· κρίνει δὲ τῷ τοιαύτῳ φυγῷ ἐλεεινοτέραν καὶ αὐτῦ τῦ θανάτε. στίχ. 673.

„Ὡς οἰκτρὸν τὸ θανεῖν; . . . . . .

Στίχ: 680. ΤΥΡΝ' ἘΠΙ' Ὄ ΙΩ ΣΟΙ ΤΟ' ΣΑΩΣΑΙ . . . . Ἡ δὲ Ἰυτύρνη ἐξαπατῶσα ὑπετίθετο τὐναντίον· Αἰνητ: στίχ. 653.

„Δώμασι τοῖσι πόλιος ἀμυνέειν εἰσὶ καὶ ἄλλοι.

Στίχ: 685. ΜΥ'ΖΕΙ . . . . Οἷον τὰ χείλη συμμύων ἐσθ' ὅτι ὑποτονθορύζει ἀμηχανῶν, μηδ' ἐξειπεῖν σαφῶς ἔχων τὸ παρισάμενον.

Στίχ: 686. . . . . ΚΡΕ'ΙΟΥΣΑ' ΤΕ . . . . Καὶ δὴ αὐτὴ ἄρα ἐν ζῶσι περίεσιν ἡ Ἀμάτη, ἥτις τὸν ὁμευνέτιν εἰς τόδε ὑπὲρ Σῦ ἵσατο πείθουσα, καὶ τῦ Αἰνεία σωθῆναι ἀπάγουσα.

Στίχ: 690. . . . . ΞΙΦΕ'ΩΝ . . . . ΔΗ'Ι"Α ΦΡΙ'ΣΣΕΙ. Ἰλ: Ν. στίχ. 339.

„Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι.

Περὶ δὲ τῆς μεταφορᾶς ταύτης, ὅρα καὶ Ζ. Αἰν: στίχ. 564.

Στίχ: 601. . . . . ΧΑΟΙ'ΗΝ ἘΣ ἘΡΗΜΗΝ. Ταυτὸν εἰπεῖν, ἔξω τῦ τῆς μάχης σαδίε μάτιν περιάγεις, ἐπ' ἐχατιᾶς, ἢς. ὅπω στρατὸς ἐπιβὰς ὅθ' ἵππέων, ἐδὲ πεζῶν, τιν ὑπὸ τοῖς ποσὶ χλοάζουσαν πίαν ἀπομαράνας διέβλαψεν.

Στίχ: 692 . . . . ἘΠΙ' ΠΟΙΚΙ'ΛΗ ἘΙΚΟ'ΝΙ ΤΗ"ΔΕ. Πῶς ἡ ποικίλη ἡ εἰκών; Αἰνείας κορυνονβολῶν ὅπλοις παντοίοις κατὰ τῦ Ἄρεος· Τείχη περθόμενα, καὶ ὅσον ὅπω κατερειπόμενα· πυρσὰ κύκλοθεν ἀφιέμενα, καὶ τὲς ἐν τῇ πόλει δόμες περιπτάμενα· ὁ γηραιὸς Ἄναξ ἐγγὺς ὑπὸ φόβε, καὶ ἀμηχανῶν ὅ, τι ποτὲ πρὸς ἀπαλλαγὴν τῦ ἐπικειμένε αἱρετέον, ἐλέθρε· ἡ ἄνασσα

Φέυγοντ' ἐκ πολέμυ γαῖα προτιόψεται αὖτή;
Τὼς οἰκτρὸν τὸ θανεῖν; Θεοὶ ἀλλ' ὦ νέρτεροι ὔμμες,
Ἐυμενέες παρέοιτε, ἐπεὶ μὴ ὑπέρτεροι ἔσκον.
Ἀγνὴ ὡς ὑμέας ψυχὴ καταβήσεται ἥδε,
Οὐκ ἀλιτήμων, οὐδέ τ' ἀεικελίη γενετῆρσι.
Τοῖα λέγοντα μέσον, διὰ δήϊα ὅπλα διαπτὰς,
Ἠνὶ ἐπ' ἀφρίζοντι Σάγης ἐποχούμενος ἵππῳ,
Ὦπα δὲ τραυματίας ἰῷ, ἐπικέκλετο Τύρνον.
Τύρν', ἐπὶ οἵῳ σοὶ τὸ σαῶσαι· Σὰς γ' ἐλέαιρε.
Αἰνείας σκηπτῦ δέμας Ἰταλικ' Ἄσεα ὅπλοις
Πέρθων, πάντ' ἄρδιν ἐπαπειλεῖ πρόχνυ ἐρείψειν.
Ἤδη πυρσὰ δόμυς περιίπταται· ὡς σὲ Λατῖνοι,
Ὡς σὲ τρέψαντ' ὄσσε· Ἄναξ αὐτὸς δὲ Λατῖνος
Μύζει, τόν κ' ἐρέει γαμβρόν, τὰ δ' ἐς ὅρκια νεύσει.
Πρὸς δ' αὐτὴ κρείσσά τε, ἧ γ' ἐπὶ σοὶ ῥὰ ἐώλπει,
Αὐτοφόνος θάνε, φῶς δὲ καταπτήξασα ἀπέδρα.
Οἷοι πρόθε πυλῶν, Μέσαπος, δριμύς τε Ἀτίνας.
Θαρσωέως' ἔλας· πυκιναὶ δ' ἑκάτερθε φάλαγγες,
Τὰς πέρι ἔσαν· καὶ ξιφέων δ' ἄρ λήϊα φρίσσει
Ταρφέ', ὁ δὲ χλοίῳ ἐς ἐρήμιῳ ἅρμα τιταίνεις.
Θάμβησεν ῥὰ ταφὼν ἐπὶ ποικίλῃ εἰκόνι τῇδε
Τύρνος· σὴ δ' ἐνεὸς σιγῶν· πάφλαζε δ' οἱ αἰδὼς
Ἐν μυχάτοις κραδίης, μανίη τ' ἄμμικτος πένθει,
Αὐτὰρ ἐρινυώδης τ' ἔρος, ὠρέη θ' οἱ δήλη.
Ὡς πρῶτον δ' ἀχλύς τε κεδάσθη, νὼς τ' ἐπιφαῦσεν,
Ὅσσε πυριφλεγέθοντ' ἰθὺς προτὶ τείχε ἔφηκε
Σκυθρὸς, ἰδ' ἐξ ὀχέων αὐτὸν κατὰ δέρξατο Ἄσυ.
Ἠνὶ μέσον δ' ἦρτο φλογέῃ σανιδώμασι δίνη,
Ἀγκυμαινομένη δ' εἰς ὐρανὸν, εἶχετο πύργυ·

Πύρ-

❋ ❋ ❋

ἄνασσα βρόχον ἀψαμένη, καὶ ἐν ἀπογνώσει τελείᾳ τῷ ψυχῷ κακῶς ἀποχρέμψασα. Οἱ τῶν πολιορκέντων ἀρχηγοὶ καὶ σημάντορες, ἐπὶ τὰ πρόσω χωρεῖν τὰς ἴλας ἐπιθαρσιώοντές τε καὶ κατεπείγοντες. Πυκναὶ φάλαγγες ἄλλαι πάντοθεν παρατεταγμέναι, καὶ ὁποιανῦν ἔξωθεν συμμαχίαν τῦ πολιορκεμένυ Ἄσεος ἀποφράττεσαι. Δήϊα ὅπλων ἄντικρυς, ἀπανταχῦ φρίσσοντα. κτ: κτ:

Στίχ: 693. . . . . ΣΤΗ Δ' ΕΝΕΟΣ ΣΙΓΩΝ . . . . Καταλέγει τὰ Τύρνῳ τιμὴ ἔκτασιν ἐμποιήσαντα. Τοῖς δ' αὐτοῖς ἔπεσιν ὁ Μάρων κέχρηται, καὶ ἐν τῷ Γ'. τῆς Αἰν. στίχ. 915. κτ:

Στίχ: 698. ΣΚΥΘΡΟΣ . . . . Ἐν ὑπερβάλλοντι ψυχῆς ταράχῳ, ἐνεργὴς ἅμα καὶ συγγαλέος τῷ ὄψιν turbidus ἁπλῶς ἔχει ὁ Μάρων: (τεταραγμένος, τεθολωμένος.) Αὐτοὶ δὲ ἔτω (σκυθρὸς) ἡρμηνεύσαμεν, ὡς ἄν μήτις θέλωσιν αὐτῷ ψυχῆς περιῦσαν ἔτι ὑπολάβῃ τῷ ἐξ ἀμηχανίας, ἢ ἀορισίας, ὅπερ ἐν ἦν· προείληπται γὰρ στίχ. 696.

„Ὡς πρῶτον δ' ἀχλὺς τ' ἐκεδάσθη, νῆς τ' ἐπὶ φαῦσεν.

Στίχ: 700. ΑΓΚΥΜΑΙΜΟΜΕΝΗΝ . . . . Αἱ γὰρ τῆς αἰρομένης φλογὸς κορυφαὶ, κύμασιν οἷα τισὶ τοῖς θεωμένοις παρισῶσι καὶ σωήθης ἡ Μεταφορὰ αὕτη τῷ Μάρωνι. Ὅρα καὶ Α. Γεωργ: στίχ. 541.

„Αἴτνίῳ παφλάζεσαν ἐπώπαμεν; ὡς δὲ ῥαγέντων
„Τῆς δ' ἱπνῶν μυχίων, ῥοιζηδὸν κύματα χωῦτο;

Quò Deus, & quò dura vocat Fortuna, ſequamur.
Stat conferre manum Æneæ: ſtat, quicquid acerbi eſt
Morte pati: nec me indecorem, germana, videbis
Amplius. Hunc, oro, ſine me furere ante furorem.
Dixit, & è curru ſaltum dedit ocyus arvis,
Perque hoſtes, per tela ruit, mœſtamque ſororem
Deſerit, ac rapido curſu media agmina rumpit.
Ac veluti montis ſaxum, de vertice præceps
Cum ruit avulſum vento: ſeu turbidus imber
Proluit, aut annis ſolvit ſublapſa vetuſtas;
Fertur in abrupto magno mons improbus actu,
Exultatque ſolo, ſylvas, armenta, viroſque
Involvens ſecum Disjecta per agmina Turnus,
Sic urbis ruit ad muros, ubi plurima fuſo
Sanguine terra madet, ſtridentque haſtilibus auræ:
Significatque manu, & magno ſimul incipit ore:

Par-

❖ ❖ ❖

Στίχ: 701. . . . . ΑΤΤΟΣ ΣΤΗΣΕ ΞΥΜΠΗΞΑΣ, Αὐτῷ γὰρ Τύρνῳ, τὸ τῷ ξυλίνῳ πύργῳ ἐπιόημα ὑπῆρχε καὶ ἔργον, ἵνα διὰ τροχηλιῶν μετακομιζομένῳ οἷπερ ἄν δέῃ τῷ πυργώματος, παρῇ τοῖς ἐν τῷ Ἄσει ἐξ ὑπερδεξιῶν αὐτόθεν τοὺς πολιορκοῦντας ἀμύνεσθαι, καὶ τὸ τείχους ἀποσοβεῖν. Ἐξέπληξεν οὖν καὶ τοῦτο Τύρνον, οὐδὲν ἧττον τῶν ἄλλων, εἰς κενὸν τε καὶ μάτην κατιδόντα ἀποβᾶσαν αὐτῷ τὴν ἐπινοιαν τῷ μηχανεργήματος.

Στίχ: 703 ΝΙΚΑΙ Γ' ΑΚ ΜΟΙΡΩΝ ΚΛΊΣΙΣ . . . . Πρὸς Ἰυτύρνῃ ταῦτα, τὴν γενομένην αὐτῷ τῆς ἀναβολῆς παραίτιον. Ὅρα ἀνωτ: στίχ. 650—656.

Στίχ: 704. ΕΣΠΟ'ΜΕΘ' ΟΙ ΘΕΟΣ, ΟΙ Τ' ΑΙΝΗ ΔΑΙΜΩΝ . . . . Οὕτω καὶν τῷ Ε'. Αἰν: στίχ. 749

" . . . . ἢ Μοῖραι ἄγωσ' ἀπάγωσίν τ' ἔκειν

Ἀλλ' ἐκεῖσε μὲν παραινετικῶς, καὶ ἐν ὑποθήκης τρόπῳ ὑπὸ τῆ γηραιᾷ Ναύτῃ εἴρηται τῷ Αἰνείᾳ, ὧδε δὲ πρὸς Ἰυτύρνιν ὑπὸ τῆ ὀμαίμονος κατ' ὀργὴν, καὶ οἷον ἐξ ἀπογνώσεως.

Στίχ: 705. ΣΤΗΣ' ΟΜΟΣ' ΑΙΝΕΙΑΙ ΧΩΡΗΣΕΙΝ . . . . Περιθέμην καὶ ἔσησα βεβαίως τε καὶ ἀμεταθέτως.

Στίχ: 707. . . . ΜΑΝΙΗΝ . . . . ΜΑΝΗΝΑΙ. Ἀττικὸς ὁ τρόπος. Σέρβιος δὲ φησὶν ὅτι Ἀρχαϊκὸν τὸ ῥῆμα, πρὸς Λατίνους ἀφορῶν παρ' οἷς, ἡ χρῆσις ἔτοι μάλα σωνήθης ὕστερον. Ἐπεὶ δὲ παρενετέθη (το πρὶν) ante, ἐξέσαι καὶ ἔτω παραφράσαντας τὸ ῥηθὲν ἑρμηνεῦσαι: Ἔα με ταῖς προθυμίαις μαίνεσθαι, καὶ πρὶν ἢ χερσὶν ἐλθόντα τοῖς πολεμίοις ἔργῳ μανιῶσαι· Ἡ δὲ μανία αὕτη πρὸς τὴν ἐξῆς μέλλουσαν, προπαρασκευή τις οἷον ἰῶ καὶ παράθηξις. Ὡς καὶ περὶ τῶν Ταύρων εἴρηται, τῶν καὶ πρὸ τῆς κατ' ἀλλήλων μάχης προκεδιαζόντων τὰ τῆ ἀγῶνος. Γ. Γεωργ. στίχ. 269.

Στίχ: 708. Ἤ, ΚΑΙ Γ' ΕΞ ΟΧΕΩΝ κτι Ἰλ: Γ. στίχ. 29.

„Αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἄλτο χαμᾶζε.

Στίχ: 711—715. ΩΣ Δ' ΟΤΕ ΕΞ ΟΡΕΟΣ ΚΟΡΤΦΗΣ . . . . Ἰλ: Ν. στίχ. 136.

„ . . . . Ἦρχε δ' ἄρ' Ἕκτωρ
„Ἀντικρὺ μεμαὼς· ὀλοοίτροχος ὡς ἀπὸ πέτρης
„Ὅν τε κατα σεφάνης ποταμὸς χειμάρροος ὦσῃ,
„Ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης.
„Ὑψι τ' ἀναθρώσκων πέτεται, κτυπέει δὲ θ' ὑπ' αὐτῆ
„Ὕλη, ὁ δ' ἀσφαλέως θέει ἔμπεδον, ὄφρ' ἄν ἵκηται
„Ἰσόπεδον, τότε δ' ἔτι κυλίνδεται, ἐσσύμενός περ·

Στίχ:

Πύργε, τὸν ῥὰ δοκεῖς αὐτός σῆσε ξυμπήξας,
Νέρθε τροχοὺς ὑποθεὶς, γεφύρας τ' ἐφύπερθε σρώσας.
Νικᾷ τ' ἀπ' Μοιρῶν κάσις, ἀμβάλλεσθαι ἀπόχε·
Ἐσσόμεθ' οἳ Θεὸς, οἵ τ' αἰνὴ δαίμων κιπλήσκει.
Στῆσ' ὁμόσ' Αἰνείᾳ χωρήσειν· σῆσ' ὅ, τι δεινὸν
Τετλήσειν θανάτοιο. Ἐλεγχέα ἄτι με δέρξη
Ὦ κάσις· ἀλλ' εἶα μανίῃσι πρὶν τιὼ με μανιῶσαι.
Ἦ, καὶ γ' ἐξ ὀχέων ἐπ' ἀρούρας ἅλτο χαμᾶζε,
Αὐτῷ δ' ἐκπρολιπών γε κασιγνήτιο ἀχέεσσαν,
Θωῦε δι' ἄρ' βελέων, καὶ δήϊ' ἀγήματα ῥήγνυ.
Ὡς δ' ὅτε ἐξ ὄρεος κορυφῆς ὁλοοίτροχος ὄγκος
Ὃν τε κατὰ σεφάνης ποταμὸς χειμάῤῥοος ὦσῃ
Ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης,
Ὕψι δ' ἀνασκιρτῶν πέτετ', ἐνδυκπῶν δ' ἐλελίττει
Ὕλας, πώεα, ἄνδρας· ὁμῶς μεμαὼς ἰδὲ Τύρνος,
Ἐκκεδάσας τε λόχυς ωρσ' ἀνὰ τείχεα Ἄξευς,
Ἔνθα ἔϊω πολλοῖσι διάβροχος αἵμασι γαῖα,
Αἰνὰ δ' ἐπιβρέμον ἐν ταρφειοῖς ἔγχεσιν ἄυραι·
Χειρὶ δὲ σημαίνων, κράζων τε μέγ' ὧς ἐπαΰτα.
Φείδεσθ' ὦ Ῥοτόλοι, βελέων τ' ἴχεσθε Λατῖνοι·
Ἠμὴ, ἤ κεν ἔοι γ', ἢ δαίμων· εἰκὸς ἔμ' οἷον
Ὄρκυς ἐκπλῆσαι θ' ὑμέων, καὶ κρῖν' ἑνὶ ὅπλοις.
Πάντες μὲν ῥὰ χάσαντο, μέσον δὲ μεταίχμιον ἔων.
Δῖος δ' Αἰνείας, ὡς τὸν νόμ' ἄκουσε τὸ Τύρνυ,
Τείχεά τ' αἶψα λίπεν, λίπεν αὐτὰρ θ' ἕρκεα ἄκρα,
Ἄββαλε δ' αμβολίας, ῥῆξεν δὲ τ' ἐέργματα πάντα·
Βαῖνε δὲ γήθων· ἀμφὶ δ' ἄϊ οἱ βράχε τεύχεα δεινὸν.
Ὅσσος Ἄθως, ἢ ὅσσος Ἔρυξ, ἢ αὐτὸς ὁπόσσος,
Εὖτε βρέμων πρίνοις σιλπνοῖσι πατὴρ Ἀπενῖνος,
Ἐξαίρων ἄ κάρη χιονώδης χαίρει ἀὴ αὔρας.

❀ ❀ ❀

Στίχ: 717. ΈΝΘΑ ΈΗΝ ΠΟΛΛΟΪΣΙ ΔΙΑΒΡΟΧΟΣ ΑΙΜΑΣΙ ΓΑΪΑ, Ἔνθα τὸ ἰχυρότερον ἦν τῆς μάχης. Ἰλ: Ν. σίχ. 789.
„Βὰν δ' ἴμεν ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν.

Στίχ: 719. ΧΕΙΡΙ ΔΕ ΣΗΜΑΪΝΩΝ, ΚΡΑΖΩΝ ΤΕ . . . . Καὶ χήματι καὶ φωνῇ τὸς Ῥοτόλυς ἀπείργων τῦ μάχεσθαι, καὶ τιὼ πρόθεσιν τιὼ ἑαυτῦ καταγγέλλων, ὡς καὶ ὁ παρ' Ὁμήρῳ Ἕκτωρ, Ἰλ: Γ. σίχ. 77.
„Καί ῥ' ἐς μέσσον ἰὼν, Τρώων ἀνέεργε φάλαγγας
„Μέσσυ θυρὸς ἑλὼν . . . . . .

Στίχ: 726. ΆΒΒΑΛΕ Δ' ΑΜΒΟΛΙΑΣ . . . . Ὑπερέθετο τιὼ ἐκπολιόρκησιν τιὼ διὰ μονομαχίας σωτομωτέραν τῦ πολέμυ αἱρέμενος κρίσιν.

Στίχ: 728. . . . . ΆΘΩΣ . . . . ΈΡΥΞ κτ: Περὶ μὲν τῦ Ἄθωνος, ὅρα Α. Γεωργ: σίχ. 379. Περὶ δὲ τῦ Ἔρυκος, ὅπερ ἰῶ Σικελίας ὄρος, ὑπὲρ Ἰῶ ἐκεῖ πόλιν τὸ Δρέπανον ὑπερτεῖνον, ἐν Α. Αἰν: σίχ. 616. Τύτοις οὖν τοῖς ὄρεσι, καὶ ἐπὶ τύτοις καὶ τρίτῳ συμπαραληφθέντι τῷ Ἀπεννίνῳ, (ἰφεξ: σίχ. 729) εἰς ὕψος ἔξοχον κορυφεμένοις, καὶ ταῖς ἐν αὐτοῖς ὕλαις, ταῖς βιπαῖς ἀνέμων σφοδρῶς καταδονεμέναις, ἔκπαγλον περιηχεμένοις, τὸν Αἰνείαν ἐξεκάζει ἐπὶ τιὼ μονομαχίαν μακρὰ βιβῶντα, καὶ τῷ ὁπλισμῷ περιβράχοντα.

Parcite jam, Rutuli, & vos tela inhibete, Latini.
Quæcumque eſt fortuna, mea eſt: me verius unum
Pro vobis fœdus luere, & decernere ferro.
Diſceſſêre omnes medii, ſpatiumque dedêre.
At pater Æneas, audito nomine Turni,
Deſerit & muros, & ſummas deſerit arces,
Præcipitatque moras omnes, opera omnia rumpit,
Lætitiâ exultans, horrendumque intonat armis.
Quantus Athos, aut quantus Eryx, aut ipſe, coruſcis
Cum fremit ilicibus, quantus gaudetque nivali
Vertice ſe attollens pater Apenninus ad auras.
Jam vero & Rutuli certatim, & Troës, & omnes
Convertêre oculos Itali; quique alta tenebant
Mœnia, quique imos pulſabant ariete muros;
Armaque depoſuêre humeris. Stupet ipſe Latinus,
Ingentes, genitos diverſis partibus orbis,
Inter ſe coiiſſe viros, & cernere ferro.

Atque

❁ ❁ ❁

χοντα. Σημειῶσι δ' ἐνταῦθα οἱ Σχολιασταὶ, ὅσον ὑπερέχοντα Τύρνε Αἰνείαν ὁ Μάρων παρέσησεν· ἐκεῖνον γὰρ, φασὶ, πέτρας ὄγκῳ, τὰ ἐξ ὄρεος καταῤῥασσομένῳ εἰκάσας, (ἀνωτ: στίχ. 711.) τοῦτον ὄρεσι νιφοκερέσι, τρισὶ δὲ, καὶ τέτοις τῶν ἐπὶ Ἑλλάδος καὶ Ἰταλίας τοῖς μάλιστα περιωνύμοις, παρέβαλεν.

Στίχ: 742. . . . . ΣΥΛΛι . . . . ΤΑΒΥΡΝΩι, Τὸ μὲν, ὄρος ἐστὶ Βρεττίων ὁ Σύλας, ἢ ἡ Σύλα· ἤτις καὶ Σύλβα (Sylva) εἴρηται διὰ τὸ δασώδες, οἷον Ὕλα. Βρεττία δὲ ἡ νῦν Καλαβρία, ἣν ὁ τῶν Ἐθνικῶν Συγγραφεὺς μοῖραν ὑποτίθησι Σικελίας, διὰ τὸ παλαι ταύτην σωῆφθαι πρό γε τῆς ῥήξεως, ὡς καὶ Μέλας μὲν ὄιεται (Βιβλ: Β'. Κεφ: Ζ'.) καὶ Πλίνιος (Βιβλ: Γ. Κεφ: Η'.)· ὁ δὲ Κλαβέριος μετ' ἐκείνες αὐτὸ ὑπὸ ζητήσει, φέρεθαι ἔθετο, ἐν Α'. Βιβλ: περὶ τῆς πάλαι Σικελίας, Κεφ: Α'. Τὸ δέ τοι Τάβυρνον, (περὶ ὃ ἐν Β'. τῶν Γεωργ. στίχ. 42.) ὄρος ἰδῶ τῆς πάλαι Ἰαπυγίας, ἐλαίαις ἐν τοῖς ὑπωρείοις κατάκομον. Τοῖς ἕν, ἐν τοῖς δρυμόσι τέτοις, ἀντικερατιζομένοις τὰ πολλὰ Ταύροις, Αἰνείαν τε δὴ καὶ Τύρνον ὁ Ποιητὴς, ἐν τῇ κατ' ἀλλήλων συσάσῃ μάχῃ παραβάλλει. Ἀλλὰ τὰ περὶ τῆς τοιᾶς δὲ Ταυρομαχίας, ἐυρήσεις καὶ ἐν τῷ Γ. τῶν Γεωργ. στίχ. 252. ἐκτιθέμενα.

Στίχ: 743. ΕΥΤΕ ΔΥΩ . . . . ΤΑΥΡΩ, Ὡς λίαν προσφυῶς ὁ Μάρων τῇ εἰκόνι τῇδε ἐνταῦθα κέχρηται. Παρώξυνε γὰρ καὶ τὸς Ἥρως ἡμῖν ὧδε Λαβίνη, ὥσπερ ἐκεῖ τὸς Ταύρες ἡ καλὴ πόρταξ, (Γ. Γεωργ. στίχ. 254.) Τῇ δ' αὐτῇ τῇ δε εἰκόνι, ἐπὶ τῆς πυγμαχίας Ἀμύκε τῦ Βεβρύκων Ἄνακτος, καὶ Πολυδεύκες τῦ Τυνδαρίδε, καὶ Ἀπολλώνιος κέχρηται Ἀργον. Βιβλ: Β'. στίχ. 88.

„Ἅψ δ' αὖτις συνόρεσσαν ἑωυτοῖσι, ἠΰτε Ταύρω
„Φορβάδος ἀμφὶ βοὸς κεκοτηότε δηριάασθαι.

Στίχ: 752—755 . . . . ΖΕΥΣ ΧΡΥΣΕΙΑ ΤΑΛΑΝΤΑ ΤΙΤΑΙΝΩΝ κτ: Ἰλ: Θ. στίχ. 69.

„Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα.
„Ἐν δὲ τίθει δύο κῆρε ταωπλεγέος θανάτοιο,
„Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων·
„Ἕλκε δὲ μέσσα λαβὼν, ῥέπε δ' ἄισιμον ἦμαρ Ἀχαιῶν.
„Αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πολυβοτείρῃ
„Ἐξέφθιν. Τρώων δὲ, πρὸς οὐρανὸν ἐυρὺν ἄερθεν.

Καὶ Ἰλ: δὲ Χ. στίχ. 209. Τὰ αὐτὰ ὑπὸ Ὁμήρε ἐπανειλήπται ἔπη, παρ' ἴσον, ἐν μὲν τοῖς προτεθεῖσιν, ἡ τῶν Τρώων πρὸς τὸν Ἀχαιῶν ἀντιταλαντεύεται

Ἤδη καὶ Ῥοτόλοι δὲ, ἀτὰρ Τρῶες, καὶ πάντες
Ἰταλοὶ ὅσσε τρέψαν· ὅσοι τε ἐπάλξιας εἶχον
Αἰπὰς, καὶ κριοῖσιν ἔνερθ' οἵ τείχεα κόπτον,
Τεύχε' ἀπ' ὤμων θέντο· ὁ δ' ἄρ θάυμαζε Λατῖνος
Ἐξόχω ἐισορόων, ἐξ ἀλλοδαπῆε δὲ φῶτε,
Ἄνδρε δύω συξάντε διακρινθήμεναι ὅπλοις.
Τὼ δ' ἀνὰ πεπταμένον πέδον ἄντιω ὡς ἐπιῶφθεν,
Ὁρμῇ ἐντροχάλῳ ἔγχη τηλῦ προϊέντε,
Ἄρῃω συμβαλέτην σάκεσ' ἐυήχῳ χαλκῷ τε·
Γαῖα δ' ὑπεξονάχει· πληγὰς δὲ πύκα ξιφέεσσι
Δίπλαξον, κ' εἰς ταὐτὸ τύχη τ' ἀρετή τε σωῆφθεν.
Ὡς δ' ἄρ ἐν ὑλήεντι Σύλᾳ, αἰπῷ τε Ταβύρνῳ,
Εὖτε δύω τρέψαντ' ἐν ἀγῶνι μετώπατα Ταύρω,
Ὄρνωτ' ἀντιβίω, δειλοὶ δὲ χάσαντο βοῶτας·
Ποίμνη δ' ἐννεὸς ἴξατ', ἀτὰρ μύξασ' αἱ πόρτεις,
Τὶς ῥ' ἄρξει ἀγελης, ποτέρῳ δ' ἄρα πώεα εἵξει·
Τὼ δὲ κατ' ἀλλήλοιν μίγνυτον τρώσιας ἴφι,
Σκηρίπτοντε κέρα, πλώσι δ' ἐν αἵμασι λάβροις,
Ἀυχένας ἠδ' ὤμως· ἠχεῖ μυκήθμασι δ' ἄλσος·
Τρὼς τ' Αἰνείας ἔκ ἄλλως, καὶ Δαύνιος ἥρως
Ὦρσαν σακέεσσιν· ἐς ὀρανὸν ἤρετο δὲ θρῦς.
Τόφρα πατὴρ δὲ Ζεὺς χρύσεια τάλαντα τιταίνων,
Ἔνθετο ἀμφοτέρων μοιρηΐα ἤτι ὁμοῖα.
Πλάσιγγας δ' ἀνέχων, διὰ δὴ σκοπέων τρυτάνευεν,

Ὅς

❀ ❀ ❀

τεύεται αἶσα, ἐν δὲ τοῖς ἐκεῖ πρὸς τὸν Ἀχιλλέως ἡ Ἕκτορος, καθὰ καὶ παρὰ τῷ ἡμετέρῳ ἐνταῦθα ἡ τῆ Τύρνε πρὸς τὸν Αἰνείαν. Σημειῶται δὲ καὶ τούτοις Μακρόβιος (Βιβλ. Δ'. Κεφ. ΙΓ') τὸν ὑπεροχὸν Ὁμήρε ὑπὲρ τὸν Μάρωνα. Ἡδὲ, ἐκ ἐν τῇ εἰκόνι καθ' αὐτὸ κεῖται, (ἡ αὐτὴ γὰρ ἐστὶ παῤ ἀμφοῖν καὶ μία.) ἀλλ' ἐν τῇ χρήσει. Ταλαντεύει γὰρ ὁ τῆ Ὁμήρε Ζεὺς τὰ τοῖς ἀναγινώσκεσιν ἔτι ἀτέκμαρτα, ὡς μήπω ἐκπεφασμένα· ὁ δὲ τῆ Μάρωνος, τὰ, ἐξ ὧν ἔφθη προειρῆθαι, ἐκέτι ἄδηλα, ὧδε τὸν ῥοπὸν ἀμφιβαλλομένῳ ἔχοντα. Ἢ ἐχὶ δῆλα, ἅττα προλαβοῦσα Ἥρα πρὸς Ἰυτύρνῳ ἐφθέγξατο, εἰχ. 154—158; καὶ δοκεῖπως ἄρα Οὐιργίλιος ἐψὲ, καὶ ὅτε ἐκέτι καιρὸς ἦν, ἐν χερσὶ τῆ παῤ αὐτῷ Ζηνὸς τὸν Τρυτάνην θέθαι· ὅπερ ἐστὶ, παρὰ καιρὸν δοκεῖ τῇ Ὁμηρικῇ εἰκόνι προσχρήσαθαι. Ἀλλ' αὐτὸς καὶ τὸν Μακρόβιν περὶ τούτε κρίσιν, καί τοι πλατυτέραι ὄσαν, παραθέθαι ὧδε ἐ κατεκνίσω, ἣν ἤδη καὶ ὁ Ἄγγλος Σαμ. ὁ Κλάρκ. ἐν ταῖς εἰς τὰ Ὁμήρε Σημειώσεσιν αὐτῆ (Ιλ. Χ. εἰχ. 209.) παρέθετο. Inferiorem his Virgilium Homero obſervavit (Macrobius) eo quod Homerus hæc, jam ante quam appareret utram in partem propenderet victoria; Virgilius autem eadem ſero dicat, poſtquam & prævisum & præfictum fuiſſet Turnum utique periturum. „Ἡττώμενον ἐν τούτοις Οὐιργίλιον Ὁμήρε Μακρόβιος παρετή-„ρησεν. Ὅμηρος μὲν γὰρ τάδε πρὸ τῆ ἀναφανῖναι τὸν νικῶντα ὑποτέρωσε „ῥέψει Οὐιργίλιος δὲ τὰ αὐτὰ ὀψὲ λέγει, μετὰ τὸ καὶ προσραθῦναι καὶ „προβρηθῦναι, ὡς Τύρνος ἀπόλυθαι ἔμελεν.„ Εἶτα ὁ Κριτικὸς ὑπὲρ τῆ ἠττηθέντος εἶον ἀπολογούμενος, καὶ τὰ ἑξῆς προσίθησιν. ὧν ἕνεκα ἐκ ἰῶ ἄλλως, ἢ τὰ δευτερεῖα τῆ πρωτοτύπε ἔν τισιν ἀπενέγκαθαι, τὸν διὰ πάσης αὐτῆ τῆς Ποιήσεως ζηλῶσαι πεῤδάσαντα. Hæc autem ratio fuit non æquandi omnia quæ ab auctore transcripſit, quod in omni operis ſui parte alicujus Homerici loci imitationem volebat inſerere, nec tamen humanis viribus

Atque illi, ut vacuo patuerunt æquore campi,
Procurſu rapido, conjectis eminus haſtis,
Invadunt Martem clypeis atque ære ſonoro.
Dat gemitum tellus; tum crebros enſibus ictus
Congeminant: fors & virtus miſcentur in unum.
Ac velut ingenti Syla, ſummove Taburno,
Cum duo conuerſis inimica in prælia tauri
Frontibus incurrunt: pavidi ceſſêre magiſtri,
Stat pecus omne metu mutum, muſſantque juvencæ,
Quis pecori imperitet, quem tota armenta ſequantur:
Illi inter ſeſe multa vi vulnera miſcent,
Cornuaque obnixi infigunt, & ſanguine largo
Colla armoſque lavant: gemitu nemus omne remugit:
Haud aliter Tros Æneas, & Daunius Heros
Concurrunt clypeis: ingens fragor æthera complet.

Juve-

* * *

